ΒΙΒΛΙΟΘΗΚΗ
ΕΛΛΗΝΩΝ
ΠΑΤΕΡΩΝ

ΜΕΓΑΣ
ΑΘΑΝΑΣΙΟΣ

(ΜΕΡΟΣ Ε')

34

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

Printed in Greece
Athens 1964

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΤΡΙΑΚΟΣΤΟΣ ΤΕΤΑΡΤΟΣ

ΜΕΓΑΣ ΑΘΑΝΑΣΙΟΣ

(ΜΕΡΟΣ Ε΄)



ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΑΘΗΝΑΙ 1964

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΜΕΓΑΣ ΑΘΑΝΑΣΙΟΣ

(ΜΕΡΟΣ Ε′)

ΚΕΙΜΕΝΑ

ΑΜΦΙΒΑΛΛΟΜΕΝΑ

ΕΡΜΗΝΕΙΑ ΤΩΝ ΨΑΛΜΩΝ Η ΠΕΡΙ ΕΠΙΓΡΑΦΗΣ ΨΑΛΜΩΝ

ΜΕΓΑΣ ΑΘΑΝΑΣΙΟΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΑΘΑΝΑΣΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ
ΕΡΜΗΝΕΙΑ ΤΩΝ ΨΑΛΜΩΝ Η
ΠΕΡΙ ΕΠΙΓΡΑΦΗΣ ΨΑΛΜΩΝ*

ΒΙΒΛΟΣ ΨΑΛΜΩΝ

«Ψαλμὸς τῷ Δαυὶδ ἀνεπίγραφος παρ' Ἑβραίοις.»

ΨΑΛΜΟΣ Α'.

1. Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν,
2. Καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη,
3. Καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν·
4. Ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ,
5. Καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.
6. Καὶ ἔσται ὡς τὸ ξύλον, τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων·
7. Ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ,
8. Καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται·
9. Καὶ πάντα ὅσα ἂν ποιῇ, κατευοδωθήσεται.
10. Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως·
11. Ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.
12. Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει,
13. Οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων.
14. Ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων,
15. Καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.

Ἑρμηνεία Ψαλμῶν . . . . .
σίου τοῦ . . . . . .

ΨΑΛΜ. Α'.

1. Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη, ἐν βουλῇ ἀσεβῶν,
2. Καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη.

Ὡς μακάριοι πάντες οἱ ποιοῦντες οὕτως ὡσαύτως!

3. Καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν.

Ὁ καὶ Ἰωσὴφ ἀπὸ Ἀριμαθαίας οὐ συγκαθέζετο τοῖς Ἰουδαίοις.

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 27, σ. 649-1340.

4. Ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ·
Δοκιμάζον τὸ εὐάρεστον τῷ Θεῷ, καὶ τοῦτο ...
5. Καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.
6. Καὶ ἔσται ὡς τὸ ξύλον, τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων.
Ἡμέρας καὶ νυκτὸς μελετῶν ἐν τῷ νόμῳ ὡς δένδρον ἐστὶν . . . . ποτιζόμενον ὑπὸ τῆς γλ . . . . ἐν τῷ παραδείσῳ . . . . στως, οὕτως καὶ . . . τοι ὑπὸ. . . . . . υ.
7. Ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ. Ἡνίκα παρὰ . . . . .ῦς, παραδώσει ὥριμον τὸ καρπόν.
8. Καὶ τὰ φύλλα αὐτοῦ οὐκ ἀπορρυήσεται.
Καὶ ἡ εὐπρέπεια τῆς ψυχῆς οὐκ ἐκπεσεῖται.
9. Καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται. «Τοῖς μὲν ἀγαπῶσι τὸν Θεὸν πάντα συνε . . .[1]»
10. Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς. . . . .
«Ὑπάγετε, οἱ κατηραμένοι . . . . . . αἰώνιον τὸ ἡτοιμασμένον.[2] . . . .
11. Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει,
Εἰς ἐπερώτησιν τοῦ Θεοῦ.
12. Οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων.
Ἐν τῇ συναγωγῇ τῶν δικαίων λέγει· ἀφορίζει γὰρ αὐτοὺς δικαίους ἀπὸ τῶν ἁμαρτωλῶν.
13. Ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων.
Ἐπειδὴ αἱ πράξεις αὐτῶν, ἐν αἷς περιεπάτουν, ὀρθαί εἰσι.
14. Καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.
Τὰ ἐπιτηδεύματα τοῦ διαβόλου μετὰ τὴν ἀνάστασιν οὐκ ἔτι ἔσονται.

Ἀνεπίγραφος. ΨΑΛΜ. Β'.

1. Ἵνα τί ἐφρύαξαν ἔθνη,
2. Καὶ λαοὶ ἐμελέτησαν κενά;
3. Παρέστηταν οἱ βασιλεῖς τῆς γῆς,
4. Καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό, κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.
5. Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν,
6. Καὶ ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν.
7. Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς,
8. Καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς.
9. Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ,

---

1. Ῥωμ. 8, 28. 2. Ματθ. 25, 41.

10. Καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς.
11. Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ.
12. Ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ,
13. Διαγγέλλων τὸ πρόσταγμα Κυρίου.
14. Κύριος εἶπε πρός με· Υἱός μου εἶ σύ·
15. Ἐγὼ σήμερον γεγέννηκά σε.
16. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου,
17. Καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.
18. Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ,
19. Ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς.
20. Καὶ νῦν, βασιλεῖς, σύνετε,
21. Παιδεύθητε, πάντες οἱ κρίνοντες τὴν γῆν.
22. Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ·
23. Καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.
24. Δράξασθε παιδείας,
25. Μήποτε ὀργισθῇ Κύριος,
26. Καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας.
27. Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ,
28. Μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ τοῦ ψαλμοῦ προκειμένη ἐπιγραφὴ ἡ διὰ τῆς κινναβάρεως περιέχει· «Ἀνεπίγραφος», ὅπερ δηλοῖ· ἀγνωσίαν ἐθνῶν τε καὶ Ἰουδαίων ὑπεμφαίνειν τὸν ὑποτεταγμένον ψαλμόν. Πᾶν γὰρ τὸ ἀνεπίγραφον ἄδηλον ὑπάρχει τοῖς πολλοῖς. Ἀγνωσίαν οὖν ἐθνῶν Ἰουδαίων κατηγορεῖ ὁ ὑποτεταγμένος ψαλμός· ἀγνωσίαν δέ, ἣν ἐσχηκότες δείκνυνται περὶ τὸν ἑαυτῶν Δεσπότην, καθὼς γέγραπται· «Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω·[1]» εἰ γὰρ ἔγνωσαν αὐτόν, οὐκ ἂν αὐτὸν σταυρῷ προσέπηξαν.[2] Τὴν οὖν ἀγνωσίαν αὐτῶν ἐπειδὴ ὁ ψαλμὸς δημηγορεῖ, διὰ τοῦτο τὸ ἀνεπίγραφον ἐπίκειται αὐτῷ. Ὡς πλέον πλησθήσει [πληχθῇ] ἐπιστήσας ἑαυτὸν τῷ ψαλμῷ, «Τί γάρ», ἤρξατο λέγειν.

1. Ἵνα τί κατεπήρθησαν τοῦ Θεοῦ.
2. Καὶ ἐβουλεύσαντο ἅπερ οὐκ ἠδύναντο ἐκτελέσαι κατ' αὐτοῦ;
3. Ἡρώδης ὁ βασιλεύς.
4. Πόντιον Πιλᾶτον λέγει, καὶ Ἄνναν, καὶ Καϊάφαν.
5. Τὸν σύνδεσμον τῆς ἀγάπης, ἧς εἶχον οἱ ἄγγελοι πρὸς αὐτούς.
6. Λαβόντες γὰρ τὸν νόμον εἰς διαταγὰς ἀγγέλων οὐκ ἐφύλαξαν[3], ἀλλ' ἐδουλώθησαν τῇ ἁμαρτίᾳ.
7, 8. Ἐξουδενώσει γὰρ αὐτοὺς ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.
9. Ἐν τῇ κρίσει λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ,

---

1. Ἰω. 1, 10. 2. Πρβλ. Α' Κορ. 2, 8. 3. Πρβλ. Πράξ. 7, 53.

10. Καὶ ἀπορρίψει αὐτοὺς ἀπὸ τοῦ προσώπου αὐτοῦ.

11. Ἐγὼ δὲ ἀνεδείχθην βασιλεὺς ὑπὸ τοῦ Πατρὸς ἐν τῷ λέγειν αὐτόν, καθὼς ὑποτέτακται ἐνταῦθα· «Σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητός.[1]»

12. Τὸ «Σιὼν» ἑρμηνεύεται τόπος», ὅπου ἡ σκηνή. Βασιλεὺς οὖν ἀνεδείχθη ὑπὸ τοῦ Πατρὸς ἐπὶ Σιών, τουτέστιν ἐν τοῖς οὐρανοῖς, ἔνθα ἀληθινὴ σκηνή, «ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.[2]»

13, 14. Ἐκ τῶν οὐρανῶν ἀκουστὴν ἐποίησε τὴν φωνὴν αὐτοῦ βοῶν πρός με· «Σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητός.»

15. Ἦν ἐφανέρωσά σε.[3] Πρὸ γὰρ τῶν αἰώνων ἀποκεκρυμμένος ἦς ἐν ἐμοὶ τῷ Πατρί σου, καθὼς γέγραπται περὶ αὐτοῦ· «Ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρός.[4]»

16, 17. Διὰ τοῦτο ἔλεγεν ἐν Εὐαγγελίῳ· «Πάτερ, οὓς δέδωκάς μοι, θέλω ὅπου εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσιν.[5]»

18, 19. Ἐν ἐξουσίᾳ ἰσχυρᾷ πάντας τοὺς μὴ πειθομένους σοι λεπτυνεῖς καὶ δαμάσεις.

20. Ἐπίγνωτε, ὅτι οὗτός ἐστιν ὁ Θεός.

21. Ἐὰν μὴ δύνασθε ἐπιγνῶναι, παιδεύθητε ἐκ τῶν θείων Γραφῶν, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν.

22. Δουλεύσατε, λέγει, αὐτῷ ἐν φόβῳ καὶ ἐν τρόμῳ,

23. Καὶ ἀγαλλιᾶσθε ἐν τῇ βασιλείᾳ αὐτοῦ.

24. Ῥιζώσατε ἐν τῇ τοῦ Κυρίου διδασκαλίᾳ,

25. Μήποτε, ὡς ἀμελούντων ὑμῶν καὶ καταφρονούντων, ὀργισθῇ,

26. Καὶ ἀναξίους ὑμᾶς ἡγήσεται τῆς ἐκ δεξιῶν στάσεως τῶν ἁγίων.

27. Ὅταν τὸ πῦρ τῆς ἐκδικήσεως προπορεύεται ἔμπροσθεν αὐτοῦ,

28. Μακάριοι πάντες οἱ τὴν ἐλπίδα ἔχοντες εἰς αὐτόν.

«Ψαλμὸς τῷ Δαυίδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ.» ΨΑΛΜ. Γ'.

1. Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με;

2. Πολλοὶ ἐπανέστησαν [ἐπανίστανται] ἐπ' ἐμέ.

3. Πολλοὶ λέγουσι τῇ ψυχῇ μου·

4. Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.

Διάψαλμα.

5. Σὺ δέ, ἀντιλήπτωρ μου εἶ,

6. Δόξα μου, καὶ ὑψῶν τὴν κεφαλήν μου.

7. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα·

8. Καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.

---

1. Ματθ. 3, 17. 17, 5. Β' Πέτρ. 1, 17. 2. Ἑβρ. 8, 2. 3. Πρβλ. Ἰω. 17, 6. 4. Ἰω. 1, 18. 5. Ἰω. 17, 24.

9. Ἐγὼ δὲ ἐκοιμήθην, καὶ ὕπνωσα·

10. Ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου·

11. Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ τῶν κύκλῳ συνεπιτιθεμένων μοι.

12. Ἀνάστα, Κύριε· σῶσόν με, ὁ Θεός μου.

13. Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως·

14. Ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

15. Τοῦ Κυρίου ἡ σωτηρία·

16. Καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ τοῦ ψαλμοῦ προκειμένη ἐπιγραφὴ διὰ τῆς κινναβάρεως περιέχει· «Ψαλμὸς τῷ Δαυίδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ.» Τοῦτο οὖν ἐστιν ὃ λέγει ὁ ψαλμός, ὅτι περ ὁ χορὸς τῶν προφητῶν διώκεται ὑπὸ τοῦ λαοῦ τῶν Ἰουδαίων. Δαυὶδ γὰρ ἑρμηνεύεται «πεποθημένος», ὅπερ ἑρμηνεύεται ὁ χορὸς τῶν προφητῶν. Ὥσπερ οὖν ὁ Ἀβεσσαλὼμ ἀνταραι ἐζήτει κατὰ τοῦ ἰδίου πατρός, τουτέστι τοῦ Δαυίδ, οὕτως καὶ Ἰουδαῖοι ἐπανέστησαν κατὰ τῶν πατέρων αὐτῶν τῶν προφητῶν, μὴ δεχόμενοι τὰ προστάγματα τοῦ Θεοῦ, ἀλλ' ἀνθιστάμενοι αὐτοῖς.

1. Λογισμοὶ ἐχθροὶ τοῦ Θεοῦ.

2. Περὶ δαιμόνων λέγει.

3. Οἱ δαίμονες λέγουσι τῇ ψυχῇ μου·

4. Οὐ δύναταί σε ῥύσασθαι ὁ Θεὸς ἐκ τῶν ἐπιθυμιῶν ἡμῶν·

Τὸ διάψαλμα ἑρμηνεύεται «ἀεί.» Εἰς ὃν οὖν στίχον κεῖται, σημαίνει τὸ λεγόμενον ῥητὸν ὑπὸ τοῦ στίχου, ὅτι τοῦτο λεγόμενον ἐν τῷ στίχῳ ἐστὶν ἀεί, εἴτε ἀγαθόν ἐστιν ὃ λέγει ὁ στίχος, εἴτε φαῦλον· οὐ μόνον δὲ τοῦτο· ἀλλ' εἰς ὃν κεῖται τὸ διάψαλμα, σημαίνει, ὅτι περὶ τοῦ ἄλλου μέλλει λέγειν ὁ ψαλμὸς ποσώπου, καὶ οὐχὶ περὶ οὗ ἔλεγεν ἕως τοῦ διαψάλματος. Αὕτη οὖν ἡ διήγησις περὶ τοῦ διαψάλματος.

5. Τοῖς γὰρ ἐπερχομένοις τῇ ψυχῇ μου δαίμοσι πολεμοῖς.

6. Τουτέστι, τὴν ἐξουσίαν δέδωκάς μοι, ἣν ἔσχον πρὸ τούτου.

7. Ἀνεβόησα πρὸς αὐτόν· Κύριε, σῶσόν με,

8. Καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ, ἤγουν τοῦ οὐρανοῦ.

9. Ἕκαστος λέγει τῶν προφητῶν, ὅτι Ἐν μὲν κηρύγματί μου ἀνωφελὴς ἐγενόμην διὰ τὴν ἀπείθειαν τῶν ἀνθρώπων,

10. Ὕστερον δὲ ἐξανέστη ὁ λόγος μου, ὅτι Κύριος δι' ἑαυτοῦ ἐλάλησε τῷ κόσμῳ.

11. Τῶν πειρασμῶν λέγει τῶν ἐπερχομένων μοι,

12. Ἀνάστα, Κύριε, περὶ οὗ μέλλει λέγειν Θωμᾶς· «Ὁ Κύριός μου καὶ ὁ Θεός μου.[1]»

---

1. Ἰω. 20, 28.

13. Ὅτι σὺ σταυρωθεὶς ὑπὲρ ἡμῶν ἐπάταξας πάντας τοὺς κοσμοκράτορας τῆς ἁμαρτίας.
14. Τὰς διδαχὰς αὐτῶν τουτέστιν ἐν αἷς κατήσθιον τὰς καρδίας τῶν ὑπακουόντων αὐτοῖς.
15. Σοῦ γὰρ τοῦ κατὰ φύσιν Κυρίου,
16. Καὶ ἐπὶ τοὺς ἁγίους σου ἡ χάρις σου· πᾶσα γὰρ σωτηρία ἀνθρώπου ματαία.[1]»

«Εἰς τὸ τέλος, ἐν ὕμνοις, ψαλμὸς τῷ Δαυίδ.»
ΨΑΛΜ. Δ΄.

1. Ἐν τῷ ἐπικαλεῖσθαί με, εἰσήκουσέ μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου.
2. Ἐν θλίψει ἐπλάτυνάς μοι.
3. Οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου.
4. Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι;
5. Ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος;
6. Καὶ γνῶτε, ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ.
7. Κύριος εἰσακούσεταί μου, ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.
8. Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε·
9. Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.
10. Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον.
11. Πολλοὶ λέγουσι· Τίς δείξει ἡμῖν τὰ ἀγαθά;
12. Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε·
13. Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου.
14. Ἀπὸ καρποῦ σίτου, οἴνου [σίτου καὶ οἴνου] καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν.
15. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω.
16. Ὅτι σύ, Κύριε, καταμόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ τοῦ ψαλμοῦ προκειμένη ἐπιγραφὴ ἡ διὰ τῆς κινναβάρεως περιέχει· «Εἰς τὸ τέλος ἐν ὕμνοις, ψαλμὸς τῷ Δαυίδ.» Τοῦτο οὖν ἐστιν, Εἰς ὕμνον εἴρηται ὑπὲρ τῶν ἁγίων τοῦ Θεοῦ, ὑπὲρ τῶν ἀθανάτων μυστηρίων δι' ὧν σῴζονται οἱ ἅγιοι τοῦ Θεοῦ, δι' ὧν λέγουσι καὶ τὸν ὕμνον τῷ σώσαντι αὐτοὺς τῷ Υἱῷ τοῦ Θεοῦ. Δαυὶδ γὰρ ἑρμηνεύεται «ἱκανὸς χειρί», ὅπερ ἐστὶ Κύριος ὁ Θεὸς ἡμῶν.
1. Παραγενόμενος πρός με, ἐβοήθησάς μοι, λέγει,
2. Προσεσχηκὼς τὸ ἀσθενές μου,
3. Μὴ ἀπορρίψῃς τὴν ἱκεσίαν μου.

---
1. Ψαλμ. 59, 13.

4. Λιθοκάρδιοι.
5. Τὰ ἐν τῷ κόσμῳ.
6. Νοήσατε ὅτι ὁ Κύριος ἐδόξασε τὸν δουλεύοντα αὐτῷ.
7. Οὐδενὸς γὰρ παρορᾷ τῶν ἀναστεναζόντων πρὸς αὐτόν.
8, 9. «Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν.[1]»
10. Εὔξασθε καὶ ψάλατε ἐν καρδίᾳ καθαρᾷ.
11. Τὸν Κύριον σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον.
12. Ἐγνώσθη ἐν ἡμῖν ὁ Υἱός σου, Κύριε.
13. Τὸ Πνεῦμά σου λέγει τὸ ἅγιον.
14. Ἐκ τοῦ ἐπουρανίου ἄρτου, καὶ οἴνου, καὶ τῆς χάριτος τοῦ Πατρὸς τοῦ ἁγίου.
15. Ἀναπαύσομαι, λέγει.
16. Σὺ μόνος κατῴκισάς με ἐν τῇ βασιλείᾳ σου.

«Εἰς τὸ τέλος, ὑπὲρ τῆς κληρονομούσης, ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. Ε΄.

1. Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε·
2. Σύνες τῆς κραυγῆς μου [τῇ κραυγῇ μου]·
3. Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου,
4. Ὁ βασιλεύς μου καὶ ὁ Θεός μου.
5. Ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε·
6. Τὸ πρωὶ εἰσακούσῃ τῆς φωνῆς μου.
7. Τὸ πρωὶ παραστήσομαί σοι,καὶ ἐπόψει με,
8. Ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σύ εἶ.
9. Οὐ παροικήσει σοι πονηρευόμενος.
10. Οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου.
11. Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.
12. Ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος.
13. Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος.
14. Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου,
15. Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου.
16. Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου.
17. Ἕνεκα τῶν ἐχθρῶν μου κατεύθυνον, ἐνώπιόν σου τὴν ὁδόν μου.
18. Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια·
19. Ἡ καρδία αὐτῶν ματαία.
20. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν·
21. Ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν.
22. Κρῖνον αὐτούς, ὁ Θεός.
23. Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν·
24. Κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς·

---

1. Ἐφ. 4, 26.

25. Ὅτι παρεπίκρανάν σε, Κύριε.
26. Καὶ εὐφρανθείησαν [εὐφρανθήτωσαν] πάτες οἱ ἐλπίζοντες ἐπὶ σέ.
27. Εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς.
28. Καὶ καυχήσονται ἐν σοὶ πάντες οἱ ἀγαπῶντες τὸ ὄνομά σου·
29. Ὅτι σὺ εὐλογήσεις δίκαιον.
30. Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ τοῦ ψαλμοῦ προκειμένη ἐπιγραφὴ ἡ διὰ τῆς κινναβάρεως περιέχει· «Εἰς τὸ τέλος, ὑπὲρ τῆς κληρονομούσης, ψαλμὸς τῷ Δαυίδ.» Τοῦτον οὖν ὑπὲρ τῆς Ἐκκλησίας λέγει τὸν ψαλμὸν τῆς μελλούσης κληρονομεῖν τῶν οὐρανῶν. Λέγει δὲ «τὸν ψαλμὸν τῷ Δαυίδ», λέγω δὴ τῷ Υἱῷ τοῦ Θεοῦ. Δαυὶδ γὰρ ἑρμηνεύεται· «οὗτος ἀγαπητός», ὅπερ ἐλέχθη ὑπὸ τοῦ Πατρὸς τὸν μονογενῆ Υἱόν.[1]
1. Εἰσελεύσονται τὰ ῥήματά μου εἰς ἀκοάς σου.
2, 4. Ἀνάκρινε τὰ προσφερόμενά σοι παρ' ἐμοῦ·
5. Ὅτι σοι μέλλω προσιέναι.
6. Ἐν τῷ ἀνατεῖλαι τὸ φῶς σου ἐν τῇ καρδίᾳ μου.
7. Ὅτε πᾶσαν σκοτίαν ἀπελάσω ἀπ' ἐμοῦ, τοῦ παραστήσομαί σοι, καὶ τότε ἐπόψει με.
8. Οὐ γὰρ εἶ ὁ Θεὸς ἡδέως ὁρῶν σκοτεινὰς ἐνθυμήσεις ἐν καρδίᾳ ἀνδρός.
9. Οὐκ ἔσται σοι οἰκεῖος ὁ μὴ καθαρῶς σοι δουλεύων μετ' ἐννοίας.
10. Οὐ γὰρ ἀξιωθήσονται ἀτελευτήτως ἱστάναι ἐνώπιόν σου παράνομοι.
11. Ὁ ποιῶν τὴν ἁμαρτίαν καὶ τὴν ἀνομίαν ποιεῖ.
12. Βαλεῖς γὰρ αὐτοὺς εἰς τὸ πῦρ, ἔνθα ὁ διάβολος ὁ πατὴρ τοῦ ψεύδους.
13. Περὶ τῶν κατὰ τὸν Κάϊν λέγει καὶ τῶν λοιπῶν.
14. Εἰς τὴν ἄνω Ἱερουσαλήμ.
15. Εἰς τὴν ἐπουράνιον πόλιν.
16. Ὁδήγησόν με ἐν τῷ Υἱῷ σου, ὅτι φῶς ἐστι.
17. Διὰ τοὺς ἐχθρούς μου τοὺς ὄντας σκότος ἐν τῷ φωτί σου πορεύεσθαί με ποίησον.
18. Ἐν τῇ διδασκαλίᾳ αὐτῶν·
19. Ἡ ἐνθύμησις αὐτῶν.
20. Πάντας γὰρ τοὺς νεκροὺς ὄντας τοῖς παραπτώμασι καταπίνουσιν.
21. Κολακεύοντες ἀπατῶσιν.

1. Ματθ. 3, 17. 17, 5. Β' Πέτρ. 1, 17.

22, 23. Μὴ ἰσχυσάτω ἡ βουλὴ αὐτῶν·
24. Καθὼς ἑαυτοὺς ἐμάκρυναν ἀπὸ σοῦ ἐν τῷ καιρῷ τῆς ζωῆς αὐτῶν, οὕτως αὐτοὺς ἀπόρριψον ἀπὸ σοῦ ἐν τῇ ἀναστάσει·
25. Ὅτι παρεπίκρανάν σε ἐν τῇ ζωῇ αὐτῶν.
26. Ἀτελευτήτως εὐφρανθήσονται καὶ ἀγαλλιάσονται οἱ πιστεύοντες εἰς σέ,
27. Θεωροῦντες τὸ πρόσωπόν σου διὰ παντός.
28. «Ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω[1]»,
29. Λέγων πρὸς αὐτούς· «Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου.[2]»
30. Διὰ τοῦ σταυροῦ σου τῆς οὐρανίου βασιλείας ἠξίωσας ἡμᾶς.

«Εἰς τὸ τέλος, ἐν ὕμνοις ὑπὲρ τῆς ὀγδόης ψαλμὸς τῷ Δαυίδ.»
ΨΑΛΜ. Ϛ′.

1. Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με·
2. Μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.
3. Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι·
4. Ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου·
5. Καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα.
6. Καὶ σύ, Κύριε, ἕως πότε;
7. Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου.
8. Σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.
9. Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου,
10. Ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;
11. Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου,
12. Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου
13. Ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.
14. Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου·
15. Ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.
16. Ἀπόστητε ἀπ' ἐμοῦ, πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν·
17. Ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου.
18. Ἤκουσε Κύριος τῆς δεήσεώς μου·
19. Κύριος τὴν προσευχήν μου προσεδέξατο.
20. Αἰσχυνθείησαν καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου.
21. Ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ τοῦ ψαλμοῦ προκειμένη ἐπιγραφὴ διὰ τῆς κινναβάρεως περιέχει· «Εἰς τὸ τέλος, ἐν ὕμνοις ὑπὲρ τῆς ὀγδόης, ψαλμὸς τῷ Δαυίδ.» Τοῦτο οὖν λέγει· Ἐπὶ συντελείᾳ τῶν αἰώνων ῥυσθῆναι τῆς κρίσεως

---

1. Α′ Κορ. 1, 31. 2. Ματθ. 25, 34.

οἱ ἅγιοι παρακαλοῦσι καὶ ἀξιωθῆναι τῆς αἰωνίου μισθαποδοσίας. Τῷ γὰρ ἕκτῳ αἰῶνι συντελεῖται ὁ κόσμος· τῷ δὲ ἑβδόμῳ κρίνει τὴν οἰκουμένην ὁ Κύριος· τῷ δὲ ὀγδόῳ οὗτοι ἀπέρχονται «εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς κόλασιν αἰώνιον.[1]» Διὰ τοῦτο εἴρηται ὁ ψαλμὸς ὑπὲρ τοῦ ῥυσθῆναι τοὺς ἁγίους ἐν τῇ ὀγδόῃ.

1,2. Κύριε, μὴ ἐκτὸς τοῦ ἐλέους σου ἐλέγξῃς με, καὶ παιδεύσῃς με.

3. Σαθρὸς τῇ διανοίᾳ.

4. Καὶ οὐκ εἰμὶ ἐστηριγμένος περὶ τας ἐντολάς του.

5. Ἐν ἁμαρτήματι πεφυρμένος εἰμί, λέγει.

6,7. Ἐλθέ, Κύριε, ῥῦσαι τὴν ψυχήν μου,

8. Διὰ τὸ εἶναι ἐλεήμονα.

9. Ὁ ὅλως μνημονεύων σου ἐκκλίνει ἀπὸ τῆς ἁμαρτίας.

10. Ὁ γὰρ νοῦς ὁ κυριευόμενος ὑπὸ τῆς ἁμαρτίας οὐκ ἐξομολογήσεταί σοι.

11. Βαρούμενος ὑπὸ τῆς ἁμαρτίας στενάξω.

12. Καθαρίσω ἀπὸ πάσης ἁμαρτίας τὸ σῶμά μου·

13. Καὶ ἐν δάκρυσι τὴν ἀνάπαυσίν μου· τουτέστι τὸν Κύριον βρέξω, ὡς ἡ πόρνη ἐν Εὐαγγελίῳ.[2]

14. Οὐκ καθαρεύει ἡ διάνοιά μου ἀπὸ τοῦ διαβόλου ὑποβολῆς.

15. Ἠφανίσθην ὅλως, εἰς οὐδὲν ἐγενόμην.

16. Οἱ δαίμονες οἱ τὸ πρότερον ὁδηγήσαντές με πρὸς πᾶσαν πονηρὰν ἐπιθυμίαν.

17. Τοῦ ὀδυρμοῦ τῆς καρδίας μου.

18. Οὐκ ἀπεστράφη ταύτην.

19. Πληροῖ γὰρ αὐτήν.

20. Ἐντραπῶσιν, ὅτι οὐκ ἔτι με αἰχμαλωτίσαι δύνανται, διὰ τὸ φυλάττεσθαί με ὑπὸ Κυρίου, καὶ ὀργισθῶσιν ἕνεκεν τούτου,

21. Καὶ ἀναστρέψουσι καταισχυνθέντες πάνυ ἐν τάχει.

«Ψαλμὸς τῷ Δαυίδ, ὃν ᾖσε τῷ Κυρίῳ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενί.» ΨΑΛΜ. Ζ΄.

1. Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα·

2. Σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με.

3. Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου,

4. Μὴ ὄντος λυτρουμένου, μηδὲ σῴζοντος.

5. Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο,

6. Εἰ ἔστιν ἀδικία ἐν χερσί μου,

7. Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά·

---

1. Ματθ. 25, 46. 2. Πρβλ. Λουκ. 7, 38.

8. Ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός.
9. Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι,
10. Καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου,
11. Καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι.
12. Ἀνάστηθι, Κύριε, ἐν ὀργῇ σου,
13. Ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου.
14. Καὶ ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι, ᾧ ἐνετείλω,
15. Καὶ συναγωγὴ λαῶν κυκλώσει σε.
16. Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον.
17. Κύριος κρινεῖ λαούς.

Διάψαλμα.

18. Κρῖνόν μοι, Κύριε, κατὰ τὴν δικαιοσύνην σου,
19. Καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί.
20. Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν,
21. Καὶ κατευθυνεῖς δίκαιον,
22. Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός.
25. Δικαία ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ.
21. Τοῦ σῴζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ.
25. Ὁ Θεός, κριτὴς δίκαιος, καὶ ἰσχυρός, καὶ μακρόθυμος·
26. Καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν;
27. Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει·
28. Τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό.
29. Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου·
30. Τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο.
31. Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν.
32. Λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτόν,
33. Καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο.
34. Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ,
35. Καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται.
36. Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ.
37. Καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ ἡ διὰ τῆς κινναβάρεως περιέχει· «Ψαλμὸς τῷ Δαυίδ, ὃν ᾖσε τῷ Κυρίῳ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενί.» Τοῦτο οὖν λέγει ὅτι ᾖσε τὸν ψαλμὸν ὁ Δαυὶδ τῷ Υἱῷ τοῦ Θεοῦ προφητεύων ὑπὲρ τοῦ λαοῦ τοῦ μέλλοντος ἀπὸ ἁμαρτιῶν λυτροῦσθαι καὶ ἐπιστρέφειν, καὶ ἀξιοῦσθαι τῆς ἐκ δεξιῶν στάσεως τοῦ Χριστοῦ· Χουσὶ γὰρ ἑρμηνεύεται «Αἰθίοψ», τουτέστιν ὑπὲρ τοῦ λαοῦ τοῦ ὄντος μέλανος ἀπὸ τῶν ἁμαρτιῶν ᾖσε τὸν ψαλμὸν τῷ Κυρίῳ. Ἰεμενὶ δὲ ἑρμηνεύεται «δεξιά μου·» ἐπειδὴ ὁ λαὸς ὁ Αἰθίοψ, λέγω δὴ ὁ μέλας,

ῥυσθεὶς ἐκ τῶν ἀριστερῶν, μέλλει ἵστασθαι ἐκ δεξιῶν τοῦ Θεοῦ.

1. Σὲ ἐθέμην βοηθόν μου πάντοτε, σῶσόν με.
2. Τῶν δαιμόνων, λέγει.
3. Ὁ αἱμοπότης διάβολος.
4. Τοῦ ἀνθισταμένου αὐτῷ ὑπὲρ ἐμοῦ.
5. Ὁ μέλλων λέγειν·
6. Ἁρπαγή τις·
7. Εἰς αὐτὸν ἐξεδίκησά ποτε·
8. Ἐκπέσω τῆς υἱοθεσίας σου ἡττηθεὶς τοῖς δαίμοσιν·
9. Ἐκπέσω εἰς τὰς χεῖρας τοῦ διαβόλου, εἰ τοιοῦτον ἐποίησα τῶν προλεχθέντων.
10. Καὶ ὑποπόδιον αὐτοῦ ἔσομαι τὰ ἔτη μου πάντα·
11. Καὶ τὴν καρδίαν μου εἰς τὰς ἐπιθυμίας αὐτοῦ ἀποκλείσει.
12. Εἰς ἐμὴν βοήθειαν, ἐκείνων δὲ ἀπώλειαν.
13. Δοξάσθητι εἰς τὰ τέλη τῶν ἐχθρῶν σου.
14. Περὶ οὗ εἶπε τοῖς ἀποστόλοις· «Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι.[1]»
15. Οἱ ἀπόστολοι μετὰ τὴν ἀνάστασιν οἱ συναγαγόντες τὸν κόσμον ὅλον εἰς τὴν πίστιν.
16. Περὶ τῆς ἀναλήψεως τοῦ Κυρίου λέγει.
17. Παιδεύσει, λέγει.
18. Ποίησόν μοι, Κύριε, κατὰ τὴν δικαιοσύνην σου.
19. Κατὰ τὴν ἀγάπην μου οὕτως μοι ποίησον, ἣν ἔχω πρὸς σὲ καὶ πρὸς πάντας.
20. Ἀπολεῖται, λέγει.
21. Φωταγωγήσεις·
22. Ἐφορῶν τὰς ἐνθυμήσεις καὶ τὰς ἐπιθυμίας ἑκάστου.
23. Ἡ ἀληθὴς βοήθεια ἐκ Θεοῦ ἐστι, λέγει.
24. Κριτὴς μὲν δίκαιος ἐν τῷ μέλλοντι αἰῶνι· «ἑκάστῳ γὰρ ἀποδίδωσι κατὰ τὰ ἔργα αὐτοῦ.[2]»
25. Ἰσχυρὸς δὲ καὶ μακρόθυμος· τὸ μὲν κατὰ τῶν ἐναντίων δυνάμεων, τὸ δὲ πρὸς τὸ γένος τῶν ἀνθρώπων.
26. Ὡς ἐν τῇ ἐρήμῳ ἐπήγαγε τοῖς Ἰουδαίοις, οὐκ ἔτι ἐπάγει τὴν ὀργὴν αὐτοῦ, λέγει.
27. Τὴν ἀπειλὴν αὐτοῦ εὐτρεπίσει καθ' ἡμῶν.
28. Τὸ κήρυγμα αὐτοῦ λέγει·
29. Κατὰ τοῦ διαβόλου καὶ τῶν δυνάμεων αὐτοῦ·
30. Τοὺς ἀποστόλους κατὰ τῶν δαιμόνων.
31-35. Περὶ τοῦ διαβόλου λέγει.
36, 37. Καὶ ὕμνον ἀναπέμψω τῷ ὀνόματι Κυρίου τοῦ ἐπουρανίου.

---

1. Ματθ. 27, 63. 2. Ῥωμ. 2, 6.

«Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν, ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. Η'.

1. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ!
2. Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν.
3. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον.
4. Ἕνεκα τῶν ἐχθρῶν σου,
5. Τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.
6. Ὅτι ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου,
7. Σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας.
8. Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ;
9. Ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;
10. Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους·
11. Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν,
12. Καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου.
13. Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ,
14. Πρόβατα καὶ βόας ἁπάσας,
15. Ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου.
16. Τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης,
17. Τὰ διαπορευόμενα τρίβους θαλασσῶν.
18. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ·

'Αθανασίου 'Ερμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ ἡ διὰ τῆς κινναβάρεως περιέχει· «Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν, ψαλμὸν τῷ Δαυίδ·» Τοῦτο οὖν ἐστιν, ὃ λέγει· Ἐπ' ἐσχάτων τῶν χρόνων ὑπὲρ τῶν ἐχόντων ἐν ἑαυτοῖς τὸν οἶνον τὸν εὐφραίνοντα καρδίας, τουτέστι τὸν Κύριον· διὰ τοῦτο γὰρ «ληνοὺς» αὐτοὺς εἶπε. Ψάλλει οὖν Δαυὶδ εἰς ἑαυτοὺς τὸν ψαλμὸν τῷ Κυρίῳ.

1. Κύριε ὁ Θεὸς ἡμῶν, ὡς ἔνδοξον τὸ ὄνομά σου παρὰ πᾶσιν ὑπάρχει! ὅτι Θεὸς ὢν πέπονθας ὑπὲρ ἡμῶν.
2. Ἡ χάρις σου ἐν τοῖς ἀποστόλοις.
3. Τὰ παιδία λέγει τὰ ἐν τῷ ἱερῷ κράζοντα, καὶ τὰ ἐν Βηθλεὲμ ἀναιρεθέντα δι' αὐτόν.
4, 5. Περὶ τῶν Ἰουδαίων καὶ τοῦ διαβόλου λέγει.
6. Ἔργα λέγει τοὺς οὐρανοὺς τοῦ Πνεύματος τοῦ ἁγίου.
7. Σελήνην λέγει τὸν κόσμον, ἀστέρας δὲ τοὺς ἁγίους.
8. Οὐκ ἀπὸ γῆς ἐστιν ἕκαστος τῶν κατὰ φύσιν ἀνθρώπων;
9. Τίς οὕτως αὐτὸν ἠγάπησας;
10. Περὶ τοῦ Κυρίου λέγει καὶ τοῦ πάθους αὐτοῦ· ἐπειδήπερ οἱ μὲν ἄγγελοι ἀθάνατοί εἰσι, τὸν δὲ ὁμοούσιον αὐτοῦ Υἱὸν παρέδωκεν ὁ Πατὴρ ὑπὲρ ἡμῶν εἰς θάνατον·

11. Τοῦτο γὰρ αὐτῷ ὑπῆρχε δόξα.

12. Πάντας, οὓς ἔκτισας ἀνθρώπους, ἐποίησας φυλάττεσθαι ὑπ' αὐτοῦ.

13. Αὐτῷ γάρ, ὡς δυνατὸς ᾖ, ᾧ πᾶν γόνυ κάμψει ἐπουρανίων, ἐπιγείων, καταχθονίων, ἐξομολογούμενοι, ὅτι Ἰησοῦς ὡς ἀληθῶς Υἱός σου κατὰ φύσιν τῆς σῆς οὐσίας ἐστίν.

14, 15. Τὴν διαφορὰν λέγει τῶν ἀνθρώπων τῶν πιστευόντων εἰς αὐτόν.

16, 17. Τὰ πετεινὰ τοῦ οὐρανοῦ λέγει τοὺς ἔχοντας τὴν διάνοιαν εἰς τὰ ἐπουράνια· ἰχθύας δὲ τῆς θαλάσσης τοὺς ἐν τῷ κόσμῳ ἀναστρεφομένους.

18. Κύριε, ὁ ἐξαγοράσας ἡμᾶς τῷ τιμίῳ σου αἵματι, ὡς ἔντιμον καὶ ἔνδοξον τὸ ὄνομά σου ἐν πᾶσι τοῖς ἀνθρώποις!

«Εἰς τὸ τέλος ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ, ψαλμὸς τῷ Δαυίδ.»

ΨΑΛΜ. Θ'.

1. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου·
2. Διηγήσομαι πάντα τὰ θαυμάσιά σου.
3. Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί·
4. Ψαλῶ τῷ ὀνόματί σου, Ὕψιστε,
5. Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω.
6. Ἀσθενήσουσι, καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου.
7. Ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου·
8. Ἐκάθισας ἐπὶ θρόνου, ὁ κρίνων δικαιοσύνην.
9. Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής·
10. Τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
11. Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες.
12. Ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' ἤχου·
13. Καὶ ὁ Κύριος εἰς τὸν αἰῶνα μένει.
14. Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ·
15. Καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ·
16. Κρινεῖ λαοὺς ἐν εὐθύτητι,
17. Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι,
18. Βοηθὸς ἐν εὐκαιρίαις, ἐν θλίψεσι.
19. Καὶ ἐλπισάτωσαν ἐπὶ σοὶ οἱ γινώσκοντες τὸ ὄνομά σου·
20. Ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, Κύριε.
21. Ψάλατε τῷ Κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών·
22. Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ·
23. Ὅτι ὁ ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη·
24. Οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων.

25. Ἐλέησόν με, Κύριε· ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου.
26. Ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου,
27. Ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου
28. Ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.
29. Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου.
30. Ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ, ᾗ ἐποίησαν.
31. Ἐν παγίδι ταύτῃ, ᾗ ἔκρυψαν, συνελήφθη ὁ πούς αὐτῶν.
32. Γινώσκεται Κύριος κρίματα ποιῶν.
33. Ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός.
34. Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην·
35. Πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ.
36. Ὅτι οὐκ εἰς τέλος ἐπιλαθήσεται ὁ πτωχός·
37. Ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος.
38. Ἀνάστηθι, Κύριε, μὴ κραταιούσθω ἄνθρωπος·
39. Κριθήτωσαν ἔθνη ἐνώπιόν σου.
40. Κατάστησον, Κύριε, νομοθέτην ἐπ' αὐτούς·
41. Γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν.
42. Ἵνα τί, Κύριε, ἀφέστηκας μακρόθεν;
43. Ὑπερορᾷς ἐν εὐκαιρίαις, ἐν θλίψεσιν;
44. Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ, ἐμπυρίζεται ὁ πτωχός.
45. Συλλαμβάνονται ἐν διαβουλίοις, οἷς διαλογίζονται.
46. Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ·
47. Καὶ ὁ ἀδικῶν ἐνευλογεῖται.
48. Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλός·
49. Κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει.
50. Οὐκ ἔστιν ὁ Θεὸς ἐνώπιον αὐτοῦ·
51. Βεβηλοῦνται αἱ ὁδοὶ ἐν παντὶ καιρῷ.
52. Ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ·
53. Πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει.
54. Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· Οὐ μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ.
55. Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει, καὶ πικρίας καὶ δόλου,
56. Ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος.
57. Ἐγκάθηται ἐν ἐνέδρᾳ μετὰ πλουσίων,
58. Ἐν ἀποκρύφοις, τοῦ ἀποκτεῖναι ἀθῶον.
59. Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν·
60. Ἐνεδρεύει ἐν ἀποκρύφῳ, ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ.
61. Ἐνεδρεύει τοῦ ἁρπάσαι πτωχόν,
62. Ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκῦσαι αὐτόν.
63. Ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτόν·
64. Κύψει καὶ πεσεῖται, ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων.

65. Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· Ἐπιλέλησται ὁ Θεός.

66. Ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος.

67. Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου.

68. Ἕνεκεν τίνος παρώξυνεν ὁ ἀσεβὴς τὸν Θεόν;

69. Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἐκζητήσει.

70. Βλέπεις, ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς·

71. Τοῦ παραδοῦναι αὐτὸν εἰς χεῖράς σου.

72. Σοὶ ἐγκαταλέλειπται ὁ πτωχός.

73. Ὀρφανῷ σὺ ἦσθα βοηθός.

74. Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ·

75. Ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ.

76. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

77. Ἀπολεῖσθε, ἔθνη, ἐκ τῆς γῆς αὐτοῦ.

78. Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσε Κύριος.

79. Τῇ ἑτοιμασίᾳ τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου.

80. Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ.

81. Ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ ἡ διὰ τῆς κινναβάρεως περιέχει· «Εἰς τὸ τέλος, ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ, ψαλμὸς τῷ Δαυίδ.» Τοῦτο οὖν λέγει· Ἐπ' ἐσχάτου τῶν ἡμερῶν ὑπὲρ τῶν ἀκαταλήπτων μυστηρίων τοῦ Υἱοῦ λέγει τὸν ψαλμὸν τῷ Δαυίδ.

1. Ἐξείπω, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου·

2. Καὶ διηγήσομαι πάντα τὰ θαυμάσιά σου, μνησθεὶς τῶν ὑπὸ σοῦ γεγενημένων ὑπὲρ ἡμῶν.

3. Εὐφρανθήσομαι, καὶ ἀγαλλιάσομαι ἐπὶ τῇ σῇ μνείᾳ·

4. Καὶ ἀνυμνήσω σε μεγαλοπρεπῶς.

5. Τὸν διάβολον λέγει.

6. Ἀπὸ τῆς παρουσίας σου.

7. Ἐποίησας τὴν ἐκδίκησίν μου καταναλώσας τοὺς ἐχθρούς μου.

8. Κατέστησας τοὺς ἀποστόλους σου παιδευτὰς ἡμῶν, ὁ διδάσκων δικαιοσύνην ἐργάζεται.

9. Ἐνουθέτησας τὰ ἔθνη, τοῦ μὴ ἁμαρτάνειν· καὶ ἀπώλετο ὁ διάβολος.

10. Τὸν διάβολον λέγει ἐκ βίβλου ζώντων.

11. Τὰς δυνάμεις αὐτοῦ, καὶ τὰς ἀρχάς, καὶ τὰς ἐξουσίας λέγει.

12. Οὕτως ἀπώλοντο, ὥστε ἀκουστὴν γενέσθαι τὴν ἀπώλειαν αὐτῶν, καὶ μηδὲ μνήμην αὐτῶν φέρεσθαι·

13. Ὁ δὲ Κύριος ἀΐδιος ζωή ἐστιν.

14. Προώρισε τὸν θρόνον αὐτοῦ.

15. Αὐτὸς γὰρ κρινεῖ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ,

16. ᾿Ορθῶς, ἀπροσωπολήπτως

17,18. Βοηθὸς ἐν εὐκαιρίαις, ἐν θλίψεσιν· «εὐκαιρίαις», λέγει, ὡσανεὶ ἐν τῷ εἶναι τὸν πένητα τῇ ψυχῇ ἀβοήθητον, ἐγένου αὐτῷ βοηθός.

19. Οἱ γὰρ μὴ γνότες αὐτὸν ἐσταύρωσαν αὐτόν.

20. Τοὺς ἐπιποθοῦντάς σε, Κύριε.

21. ᾿Ανυμνήσατε τὸν οἰκήσαντα Κύριον ἐν τῇ Σιών, ἔνθα ὤφθη.

22. «᾿Επιτηδεύματα αὐτοῦ·» τὰ δικαιώματα λέγει.

23. «Αἷμα» λέγει τὰς ψυχὰς αὐτῶν.

24. «Τὴν κραυγὴν τῶν πενήτων», τῶν ἁγίων λέγει.

25. Τῶν διαβόλων λέγει.

26. «Πύλας θανάτου» λέγει τὰς διδαχὰς τοῦ διαβόλου.

27. ῞Οπως ἂν κηρύξω πάσας τὰς εὐφημίας σου.

28. «Σιὼν» μὲν ἑρμηνεύεται «σκοπευτήριον·» περὶ δὲ τῆς ἄνω ῾Ιερουσαλὴμ λέγει.

29. ᾿Αγαλλιασόμεθα ἐν τῷ πάθει σου, λέγει.

30, 31. ῎Εθνη λέγει τὰς δυνάμεις τοῦ ἐχθροῦ ἐμπαγείσας, καὶ συλληφθείσας ἐπὶ συντελείᾳ τῶν αἰώνων ἐν ταῖς ἀνομίαις, αἷς αὐτοὶ ἐφεῦρον· διὰ τοῦτο λέγει· «῾Ο πούς αὐτῶν συνελήφθη», τουτέστι τὰ ἔσχατα αὐτῶν· τέλος γὰρ παντὸς τοῦ σώματος ὁ πούς ἐστι· διὸ καὶ θεωρεῖται καὶ ἀλληγορεῖται εἰς τὰ μέλη τῶν αἰώνων.

32. ᾿Επέγνωσαν πάντες, ὅτι δύναται ἐκδίκησιν ποιεῖν.

33. Τῆς καρδίας αὐτοῦ λέγει.

34, 35. Οἱ γὰρ ὄντες εἰς τὴν γῆν ἀπελεύσονται, ὅτι ἐπελάθοντο τοῦ Θεοῦ τοῦ κτίσαντος αὐτούς, καὶ καταβήσονται εἰς πυθμένα ᾅδου.

36, 37. Πτωχὸν καὶ πένητα τὸν δίκαιον λέγει.

38. ᾿Ελθέ, Κύριε, μὴ ὡς αὐτοδεσποτησάτω ἕκαστος ἡμῶν.

39. Δειχθήτωσαν, ὅτι διαμαρτάνουσιν.

40. Νομοθέτην τὸν Κύριον λέγει.

41. ᾿Επιγνῶσι τὴν ἑαυτῶν ἀσθένειαν.

42. Εἴασας ἡμᾶς τῷ βουλήματι ἡμῶν πορεύεσθαι.

43. Εὐκαιρίαις, λέγει, ὡσανεὶ ἐν τῷ εἶναί με ἀβοήθητον.

44. ᾿Εν τῷ κατεπαίρεσθαι τὸν διάβολον κατὰ τῶν δικαίων, πολεμεῖ αὐτοῖς κατὰ διάνοιαν.

45. Καὶ λοιπὸν ἕκαστος τῶν ἀνθρώπων κρατεῖται λογισμοῖς τοῖς ὑποκειμένοις ὑπὸ τοῦ Προφήτου.

46, 47. ῞Εκαστος τῶν ποιούντων κακόν τι καὶ πλουτούντων, καὶ ταῖς ἐπιθυμίαις τοῦ κόσμου ἐκδιδόντων ἑαυτούς, ἐπαινεῖται καὶ δοξάζεται ὑπὸ τῶν αὐτῶν.

48, 49. ᾿Οργίζεται μὲν μεγάλως ἐπὶ τῷ ἁμαρτάνοντι, μακροθυμεῖ δὲ πάλιν ἐπ᾿ αὐτῷ.

50, 51. Ἐκεῖνος δέ, μὴ συνιὼν τὴν τοῦ Θεοῦ μακροθυμίαν, οὐ τίθησι τὸν Θεὸν κριτὴν αὐτοῦ· ἀλλ' ἐπὶ μὲν τῇ ἁμαρτίᾳ ἐν πᾶσιν ὁρῶ [ὁρᾷ].

52. Κεχώρισται τὰ δικαιώματά σου ὑπὸ τοῦ ἐχθροῦ.

53. Πάντων τῶν ἀνθρώπων κατακυριεύσει.

54. Εἶπε γὰρ ἐν τῇ καρδίᾳ αὐτοῦ ὁ διάβολος· Οὐκ ἂν ἀποστῶ ἀπὸ τοῦ κακοῦ ἀπὸ γενεᾶς εἰς γενεάν.

55. Ἐκκοπῆς γὰρ καὶ ἐπάρσεως γέμει τὸ στόμα αὐτοῦ.

56. Ἐν τῇ διδασκαλίᾳ αὐτοῦ θάνατος καὶ ὀδύνη.

57. Ἐνεδρεύει εἰς τὰς καρδίας τῶν ἀσεβῶν καὶ πονηρῶν ἀνθρώπων, διεγείρων αὐτοὺς κατὰ τῶν δικαίων.

58, 59. Ἐπιτηρεῖ τὸ [δὲ] πῶς αὐτὸν ἀπολέσει.

60-62. Δι' ἐνθυμήσεων καὶ λογισμῶν ἀνόμων ἁρπάσαι ζητεῖ τὸν δίκαιον.

63, 64. Καὶ ἐν τῷ αὐτὸν ταπεινῶσαι πολεμοῦντα τοὺς δικαίους, αὐτὸς πεσεῖται ὑπὸ τοὺς πόδας αὐτῶν, ἐν τῷ τὸν Θεὸν ἀντιλαβέσθαι τῶν δικαίων.

65, 66. Εἶπε γὰρ ἐν ἑαυτῷ ὁ διάβολος· Ἐπιλέλησται ὁ Θεὸς τοῦ γένους τῶν ἀνθρώπων, πρόνοιαν αὐτῶν οὐ ποιεῖται.

66. Βουλήθητι ἐπιδείξασθαι τὴν πρόνοιάν σου τὴν εἰς ἡμᾶς· μὴ τῶν ταπεινωθέντων καὶ βοώντων πρὸς σὲ τὴν μνήμην καταλείψῃς.

68. Τίνος χάριν παρώργισεν ὁ ἀσεβὴς τὸν Θεόν;

69. Εἶπε γὰρ ὁ διάβολος ἐν ἑαυτῷ· Οὐ ζητήσει τοὺς πεπλανημένους ὁ Θεός.

70, 71. Ὁρᾷς σύ, Κύριε, «τὸν θυμὸν καὶ τὸν πόνον», τουτέστι τὸν διάβολον, παραδοῦναι αὐτὸν ἐν τῇ παρουσίᾳ σου ὑπὸ τὴν ἐξουσίαν τῶν ἁγίων.

72. Εἰς τὴν σὴν βοήθειαν ἀφορᾷ.

73. Ὀρφανὸν λέγει τὴν ἀνθρωπίνην βοήθειαν μὴ ἔχοντα.

74. Τὴν δυναστείαν τοῦ διαβόλου.

75, 76. Ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐκ ἔτι αὐτὸς ὁ διάβολος οὐ μὴ εὑρεθῇ· διὰ τὸ παραδοθῆναι αὐτὸν τῷ αἰωνίῳ πυρί, καὶ λοιπὸν Κύριος μόνος βασιλεύσει.

77. Ἔθνη τὰ μὴ πειθόμενα αὐτῷ ἀλλοτριοῦνται τῆς ἐπουρανίου αὐτοῦ βασιλείας.

78. Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσακούει ὁ Θεὸς καὶ Κύριος, ἐπειδὴ τὰ ἀστερὰ [ἀρεστὰ] αὐτῷ ἐπιθυμοῦσι.

79. Τῶν συντετριμμένων καὶ τεταπεινωμένων τὴν καρδίαν ἤκουσε τῆς βοῆς τὸ οὖς σου.

80. Ποιῆσαι τὴν ἐκδίκησιν τῶν ἀβοηθήτων·

81. Ἵνα μὴ κατ' αὐτοὺς ὁ διάβολος καὶ οἱ αὐτοῦ τετυφωμένοι ὦσιν ἐπὶ τῆς γῆς.

«Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. Ι'.

1. 'Επὶ τῷ Κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ μου·
2. Μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον;
3. "Οτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον
4. 'Ητοίμασαν βέλη εἰς φαρέτραν,
5. Τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ·
6. "Οτι ἃ σὺ κατηρτίσω, αὐτοὶ καθεῖλον.
7. 'Ο δὲ δίκαιος τί ἐποίησε;
8. Κύριος ἐν ναῷ αὐτοῦ·
9. Κύριος, ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ.
10. Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἐπιβλέπουσι,
11. Τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων.
12. Κύριος ἐξετάζει τὸ δίκαιον καὶ τὸν ἀσεβῆ·
13. 'Ο δὲ ἀγαπῶν τὴν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν.
14. 'Επιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας·
15. Πῦρ, καὶ θεῖον, καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν.
16. "Οτι δίκαιος Κύριος, καὶ δικαιοσύνας ἠγάπησεν,
17. Εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ.

'Αθανασίου 'Ερμηνεία.

'Η προκειμένη ἐπιγραφὴ ἡ διὰ τῆς κινναβάρεως περιέχει· «Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ», τουτέστιν ἐπ' ἐσχάτων τῶν χρόνων εἴρηται ὁ ψαλμὸς εἰς τοὺς ἁγίους τοῦ Θεοῦ. Δαυὶδ γὰρ ἑρμηνεύεται, «τούτων ἐπόθησα», τουτέστι τῶν ἁγίων.

1. 'Επὶ τῷ Κυρίῳ ἤλπισα, τί συμβουλεύετε;

2. "Επαρον τοὺς ὀφθαλμοὺς τῆς διανοίας σου εἰς τὰ ἐπουράνια, καὶ μηδεμίαν ἔχει φροντίδα βιωτικήν.

3-5. "Οτι οἱ δαίμονες τὰς ἐπιθυμίας καὶ τὰς ἀλαζονείας τοῦ βίου καταπέμπουσιν εἰς τὰς καρδίας τῶν δικαίων ἐν τῷ σκότει τοῦ κόσμου.

6. Τὰ δικαιώματα τοῦ Κυρίου, ἃ αὐτὸς κατηρτίσατο, αὐτοὶ ἀπεστράφησαν.

7. 'Ο δὲ δίκαιος τί τοῦτο [τούτων] ἐποίησεν;

8. Κύριος οὐκ ἐν σπηλαίοις αἱρετικῶν κατοικεῖ, ἀλλ' ἐν ναῷ ἁγίῳ αὐτοῦ.

9. 'Εν τοῖς ὑψίστοις.

10. 'Επὶ τοὺς δικαίους αὐτοῦ.

11. 'Εφορᾷ Κύριος τὰ ἔργα τῶν ἀνθρώπων.

12. 'Ο Κύριος γυμνοῖ, καὶ φανεροῖ τὰς ἐνθυμήσεις καὶ τοὺς λογισμοὺς τοῦ δικαίου καὶ τοῦ ἀσεβοῦς.

13-15. 'Ο δὲ κολλώμενος τῇ ἁμαρτίᾳ μισεῖ ἑαυτόν· παραδίδοται

γὰρ τῷ αἰωνίῳ πυρί· ὡς Σόδομα καὶ Γόμορρα πρόκεινται δεῖγμα τοῦ αἰωνίου πυρὸς εἰς ἃς ἔβρεξεν ὁ Θεὸς πῦρ καὶ θεῖον.

16. Ὅτι ἀληθὴς Κύριος, καὶ τὴν ἀλήθειαν καὶ τοὺς ποιοῦντας αὐτὴν ἠγάπησεν.

17. Ὁδοὺς ὀρθὰς ἡδέως ἀγαπᾷ.

«Εἰς τὸ τέλος ὑπὲρ τῆς ὀγδόης ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΙΑ΄.

1. Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος·
2. Ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων.
3. Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ·
4. Χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησαν κακά.
5. Ἐξολοθρεύσει Κύριος πάντα τὰ χείλη τὰ δόλια
6. Καὶ γλῶσσαν μεγαλορρήμονα.
7. Τοὺς εἰπόντας· Τὴν γλῶσσαν μεγαλυνοῦμεν.
8. Τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι·
9. Τίς ἡμῶν Κύριός ἐστιν;
10. Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν,
11. Καὶ τοῦ στεναγμοῦ τῶν πενήτων,
12. Νῦν ἀναστήσομαι, λέγει Κύριος,
13. Θήσομαι ἐν σωτηρίῳ· παρρησιάσομαι ἐν αὐτῷ.
14. Τὰ λόγια Κυρίου, λόγια ἁγνά.
15. Ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ,
16. Κεκαθαρισμένον ἑπταπλασίως.
17. Σύ, Κύριε, φυλάξαις ἡμᾶς, καὶ διατηρήσαις ἡμᾶς,
18. Ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα.
19. Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι·
20. Κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ διὰ τῆς κινναβάρεως περιέχει· «Εἰς τὸ τέλος ὑπὲρ τῆς ὀγδόης ψαλμὸς τῷ Δαυίδ.» Τοῦτο οὖν ἐστιν, ὃ λέγει, ἐπὶ συντελείᾳ τῶν αἰώνων ῥυσθῆναι τῆς κρίσεως οἱ ἅγιοι παραβαλοῦσιν ἀξιωθῆναι τῆς αἰωνίου μισθαποδοσίας· τῷ γὰρ ἑξακισχιλιοστῷ ἔτει συντελεῖται κόσμος, καὶ τῷ ἑβδόμῳ κρίνει τὴν οἰκουμένην· τῷ δὲ ὀγδόῳ τοὺς μὲν παραδίδωσιν «εἰς κόλασιν αἰωνίαν, τοὺς δὲ εἰς ζωὴν αἰώνιον.[1]» Διὰ τοῦτο εἴρηται ὁ ψαλμὸς ὑπὲρ τῆς ὀγδόης παρὰ τὸν Δαυὶδ ἅγιον [τοῦ Δαυὶδ ἁγίου].

1. Σῶσόν με, Κύριε, ὅτι πάντες ἄθεοι ὑπάρχουσιν.
2. Οὐκ ἔστι διδασκαλία Θεοῦ παρὰ τοῖς ἀνθρώποις.

---

1. Ματθ. 25, 46.

3. Ἕκαστος δολίως ἐλάλησε πρὸς τὸν πλησίον αὐτοῦ.

4. Ῥήματα ἀκολασίας προσφέρουσι, καὶ ἐν τῇ καρδίᾳ αὐτῶν ἔχουσι τὴν κακίαν.

5. Τοὺς δαίμονας.

6. Τὸν Σατανᾶν λέγει.

7. Περὶ τῶν ἐναντίων δυνάμεων λέγει.

8,9. Ταῦτα οἱ δαίμονες ἂν εἴποισαν καὶ οἱ τούτοις ἑπόμενοι.

10. Ἕνεκεν τῆς ἀσθενείας τῶν ὀλιγοψύχων.

11. Τῶν δικαίων, λέγει.

12. Ἐπὶ τὸ παραγενέσθαι.

13. Τῷ σταυρῷ, λέγει, παρρησιάσομαι, καὶ θριαμβεύσω τὰς ἀρχάς, τὰς ἐξουσίας τοῦ σκότους τοῦ αἰῶνος τούτου.

14 - 16. Ἔστιν ἀργύριον ὅπερ πυρούμενον ἕβδομον θαυμαστότερον γίνεται· οὕτως οὖν τὰ λόγια Κυρίου ἐν ταῖς ἑπτὰ ἡμέραις δοκιμαζόμενα, τουτέστι καθ' ἑκάστην, δοκιμώτερα εὑρίσκονται τοῖς ἐκζητοῦσιν αὐτά.

17, 18. Σύ, Κύριε, κυκλώσεις ἡμᾶς, καὶ φρουρήσεις ἡμᾶς ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι.

19. Ἐν τῷ κόσμῳ ἢ ἐν ταῖς καρδίαις τῶν ἀνθρώπων οἱ δαίμονες περιπατοῦσι.

20. Κύριε, ἐν τῇ δυνάμει σου εἵλκυσας πρὸς σεαυτὸν τοὺς υἱοὺς τῶν ἀνθρώπων.

«Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΙΒ'.

1. Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος;
2. Ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;
3. Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου,
4. Ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός;
5. Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ;
6. Ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου.
7. Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον.
8. Μήποτε εἴποι ὁ ἐχθρός μου· Ἴσχυσα πρὸς αὐτόν.
9. Οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ·
10. Ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα.
11. Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου.
12. Ἄσω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με
13. Καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ ἡ διὰ τῆς κινναβάρεως περιέχει· «Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ·» τουτέστιν εἰς τὸ τέλος τῶν αἰώνων ὁ ψαλμὸς οὗτος εἴρηται τῷ ἱκανῷ τῇ χειρὶ τῷ Υἱῷ τοῦ Θεοῦ τὰ [τῷ] διὰ τῆς δυ-

ναστείας τῶν παθημάτων αὐτοῦ καταργήσαντι τὸν θάνατον, καὶ τὸν κράτος ἔχοντα τούτου τὸ διάβολον. Ὡσαύτως δὲ ἡ αὐτὴ ἐπιγραφή, ὡς οἶμαι, εἴρηται καὶ εἰς τὸ γένος τῶν ἀνθρώπων. Ἔχει γάρ· «Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυΐδ·» ὡσανεὶ εἰς τὸ τέλος τοῦ πληρώματος τῶν καιρῶν ὁ ψαλμὸς οὗτος εἴρηται τῷ μόνῳ, λέγω δὴ τῷ γένει τῶν ἀνθρώπων, φημὶ δὴ τῷ ἀβοηθήτῳ. Οὐ μόνον γὰρ Δαυΐδ ἑρμηνεύεται «ἱκανὸς χειρί», ἀλλὰ καὶ «μόνος», ὅπερ ὑπῆρχε τὸ γένος τῶν ἀνθρώπων πρὸ τῆς παρουσίας τοῦ Υἱοῦ τοῦ Θεοῦ.

1. Ἐκ προσώπου τῆς ἀνθρωπότητος λέγει.
2. Βδελύσσῃ μου τὴν δέησιν.
3. Ἕως πότε τὰς βουλὰς τῶν δαιμόνων δέξομαι ἐν τῇ ψυχῇ μου;
4. Ὀδύναι γάρ εἰσι διὰ παντὸς τῆς καρδίας μου.
5. Καταδυναστεύσει μου.
6. Προσεσχηκὼς τὴν τυραννίδα, ἣν τυραννοῦμαι ὑπὸ τοῦ ἐχθροῦ.
7. Τοὺς ὀφθαλμοὺς τῆς καρδίας μου φώτισον, ἵνα μη ἐναπομείνω τῇ ἁμαρτίᾳ.
8. Μήποτε εἴποι ὁ διάβολος· Περιγέγονα αὐτοῦ.
9. Τοὺς δαίμονας λέγει.
10. Ἐγὼ δὲ ἤλπισα, ὅτι σώσεις με ἐν τῷ σταυρῷ σου.
11. Ἐπὶ τῷ Υἱῷ σου.
12. Ὕμνον ἀναπέμψω τῷ Κυρίῳ τῷ ἰασαμένῳ τὴν ἀσθένειαν τῆς ψυχῆς μου.
13. Καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ἐπουρανίου.

«Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυΐδ.» ΨΑΛΜ. ΙΓ΄.

1. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός·
2. Διεφθάρησαν, καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν.
3. Οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.
4. Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων,
5. Τοῦ ἰδεῖν, εἰ ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν Θεόν.
6. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν·
7. Οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.
8. Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.
9. Οἱ ἐσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου;
10. Τὸν Κύριον οὐκ ἐπεκαλέσαντο·
11. Ἐκεῖ ἐδειλίασαν φόβῳ, οὗ οὐκ ἦν φόβος·
12. Ὅτι Κύριος ἐν γενεᾷ δικαίων.
13. Βουλὴν πτωχοῦ κατῃσχύνατε·
14. Ὁ δὲ Κύριος ἐλπὶς αὐτοῦ ἐστι.

15. Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ;
16. Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ,
17. Ἀγαλλιάσεται Ἰακώβ, καὶ εὐφρανθήσεται Ἰσραήλ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ ἡ διὰ τῆς κινναβάρεως περιέχει· «Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ·» τουτέστιν, ὑπὲρ τῆς παρουσίας τοῦ Κυρίου τῆς ἐπ' ἐσχάτων τῶν ἡμερῶν λέγει. Δαυὶδ γὰρ ἑρμηνεύεται «πεποθημένος», ὅπερ ἐστὶν καὶ παρὰ τῷ ἑαυτοῦ Πατρί, καὶ παρὰ τοῖς ἀνθρώποις [Υἱὸς] τοῦ Θεοῦ.

1. Ὁ Σατανᾶς καὶ οἱ αὐτοῦ εἶπαν περὶ τοῦ σταυρωθέντος.
2. Ὑπὸ τῶν ἔργων αὐτῶν τῶν πονηρῶν ἐμολύνθησαν, καὶ βδελυκτοὶ ἐγένοντο παρὰ τῷ Θεῷ.
3. Οὐκ ἔστι ποιῶν τι χρήσιμον.
4. Κύριος ἐκ τοῦ οὐρανοῦ ἐπεῖδεν ἐπὶ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων.
5. Ἄνω λαβεῖν τὸν Θεόν, καὶ ζητεῖν τοῦτον.
6. Πάντες ἀπέστησαν, ἅμα ἄχρηστοι ἐγένοντο.
7. Οὐκ ἔστι ποιῶν ἀγαθόν, οὐκ ἔστιν ἕως ἑνὸς τῶν ἀποστατούντων ἀπὸ τοῦ Θεοῦ.
8. Οἱ ἐργαζόμενοι τὴν ἀνομίαν οὐ γνώσονται τὸν Κύριον.
9. Οἱ καταδυναστεύοντες τὸν δίκαιον.
10. Οὐκ ἔθεντο αὐτὸν βοηθόν.
11. Εἰς τὸν κόσμον λέγει.
12. Ἐν μέσῳ αὐτῶν ἐμπεριπατεῖ καὶ ἐνοικεῖ.
13. Τὴν διδαχὴν τῶν δικαίων οὐκ ἐδέξασθε.
14. Τῆς αἰωνίου μισθαποδοσίας.
15. Εἰ μὴ αὐτὸς δι' ἑαυτοῦ χαρίσεται τὴν σωτηρίαν τοῖς εἰς αὐτὸν πιστεύουσιν. Ἰσραὴλ γὰρ ἑρμηνεύεται «ἀνὴρ ὁρῶν Θεόν.»
16. Ἐν τῷ σταυρῷ, λέγει.
17. Τὸν λαὸν ἐξ Ἰουδαίων, καὶ ἐξ ἐθνῶν μέλλοντα πιστεύειν λέγει. Ἰακὼβ γὰρ «πτερνιστὴς» ἑρμηνεύεται, ὅπερ ἦσαν οἱ Ἰουδαῖοι, οἱ Ἰσραὴλ θετὰ [Ἰσραὴλ δὲ τὰ] «ἔθνη».

«Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΙΔ'.

1. Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου;
2. Ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου;
3. Πορευόμενος ἄμωμος, καὶ ἐργαζόμενος δικαιοσύνην.
4. Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ·
5. Ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ,
6. Οὐδὲ ἐποίησε τῷ πλησίον αὐτοῦ κακόν·

7. Καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοὺς ἔγγιστα αὐτοῦ.
8. Ἐξουδένωνται ἐνώπιον αὐτοῦ πονηρευόμενος·
9. Τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει.
10. Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ, καὶ οὐκ ἀθετῶν·
11. Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ·
12. Καὶ δῶρα ἐπ' ἀθώοις οὐκ ἔλαβεν.
13. Ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.» Τοῦτο οὖν σημαίνει, ὅπερ εἴρηται εἰς τοὺς σῳζομένους ἁγίους ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος. Δαυὶδ γὰρ ἑρμηνεύεται «πεποθημένος», τουτέστιν ὁ χορὸς τῶν ἁγίων, ὃν ὁ Κύριος ποθήσας εἰς τέλος ἠγάπησεν αὐτούς, καὶ παρέδωκεν αὑτὸν εἰς θάνατον ὑπὲρ τοῦ πεποθημένου χοροῦ τῶν ἁγίων.

1. Ἐν τῇ πόλει σου τῇ ἁγίᾳ.
2. Ἐν τῇ ἄνω Ἱερουσαλήμ.
3. Πορευόμενος ἐν πίστει καὶ ἐργαζόμενος δικαιοσύνην.
4. Ἀνυποκρίτως οὕτως.
5. Ὁ πρὸς πάντας ἀνθρώπους ἀγάπην ἔχων.
6. Οὐκ ἐχάρη κακῶς πασχόντων τῶν ἐχθρῶν αὐτοῦ.
7. Οὔτε ὠνείδισεν αὐτοὺς ἐφ' οἷς ἥμαρτον.
8. Ἀνθιστάμενος τῷ Θεῷ, λέγει.
9. Αὐτῷ τῷ φοβεῖσθαι αὐτοὺς αὐτόν.
10. Μὴ ψευδόμενος.
11. Πνίγει γὰρ τὸν πτωχὸν ὁ τόκος· πνιγομένου δὲ τοῦ πτωχοῦ, ὁρᾷ πάντες ἡ ἁμαρτία τὸν ἐπὶ τόκων δανείσαντα [ὁρῶσι πάντες τὴν ἁμαρτίαν τοῦ ἐπὶ τόκων δανείσαντος]· ἄλλως τε καὶ πλεονεξία σαφής, ὅταν ἄν τις, ἃ δέδωκε, μόνα λαβεῖν οὐκ ἀνέχεται.
12. Περὶ τοῦ παντελῶς μηδὲν λαμβάνειν τὸν δανείζοντα χαρίσματος ἕνεκεν ἢ τόκου παρὰ τοῦ δανειζομένου.

«Στηλογραφία τῷ Δαυίδ.» ΨΑΛΜ. ΙΕ'.

1. Φύλαξόν με, Κύριε· ὅτι ἐπὶ σοὶ ἤλπισα.
2. Εἶπα τῷ Κυρίῳ· Κύριός μου εἶ σύ,
3. Ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις.
4. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ· ἐθαυμάστωσεν ὁ Κύριος.
5. Πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.
6. Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν.
7. Μετὰ ταῦτα ἐτάχυναν.
8. Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων.

9. Οὐδ' οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου.
10. Κύριος ἡ μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου.
11. Σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί.
12. Σχοινία ἐπέπεσάν μοι ἐν τοῖς κρατίστοις·
13. Καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοι ἐστίν.
14. Εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με,
15. Ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου.
16. Προεωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός,
17. Ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ.
18. Διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου,
19. Καὶ ἠγαλλιάσατο ἡ γλῶσσα μου,
20. Ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι·
21. Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾄδου.
22. Οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.
23. Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς.
24. Πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου·
25. Τερπνότητες ἐν τῇ δεξιᾷ σου εἰς τέλος.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Στηλογραφία τῷ Δαυίδ·» τοῦτο οὖν λέγει, τὰς τῶν ἁγίων πολιτείας στήλας διαγράφει. Εἴρηται οὖν ὁ ψαλμὸς παρὰ τοῦ Δαυὶδ εἰς τὰς τῶν ἁγίων ἀρετάς.

1. Ὅτι σε ἐθέμην βοηθόν, φύλαξόν με.
2. Ἐπέγνω [Ἐπέγνων] τὴν ἑαυτοῦ δεσποτείαν.
3. Τῶν χρημάτων μου οὐ χρείαν ἔχεις.
4. Τοὺς ἁγίους ἐδόξασεν.
5. Ἐν τοῖς ἁγίοις αὐτοῦ τὰ αἱρετά.
6. Οἱ πειρασμοὶ αὐτῶν ἐπληθύνθησαν.
7. Μετὰ ταῦτα παρῆλθον.
8. Τῶν δαιμόνων, λέγει.
9. Τῶν ἐναντίων δυνάμεων, λέγει.
10. Κύριος μερὶς καὶ τῆς αἰωνίας μου μισθαποδοσίας καὶ τῆς ἀναπαύσεώς μου.
11. Τὰς αἰωνίους σου ἀναπαύσεις.
12. Λογισμοὶ ἀγαθοὶ ἦλθόν μοι περὶ [παρὰ] τοῦ Κυρίου, λέγει.
13. Ἡ ἐπαγγελία τῆς βασιλείας τῶν οὐρανῶν ἀτελεύτητός ἐστιν.
14. Ἐπιγνώσομαι αὐτόν·
15. Ἕως δ' ἂν ἡσύχασα ἐκ τῶν τοῦ κόσμου πραγμάτων· καὶ τότε ἡ ἐπιθυμία μου πᾶσα γέγονεν ἐν αὐτῷ.
16. Πρὸ ὀφθαλμῶν μου εἶχον πάντοτε τὸν Κύριον ἀντιλαμβανόμενόν μου,

17. Καὶ ὁδηγοῦντα εἰς τὰς ὁδοὺς τὰς δεξιάς, ἵνα μὴ ἐκκλίνω ἀπ' αὐτῶν.
18. Διὰ τοῦτο χαρᾶς πνευματικῆς ἤμην πεπληρωμένος.
19. Ἐδόξασα αὐτὸν ἐν τῷ στόματί μου.
20. Προσδοκῶ ἀνάστασιν νεκρῶν.
21. Οὐκ ἂν ἐάσῃς αὐτὴν εἰς τὰ ταμεῖα τοῦ θανάτου, ἀλλὰ λυτρωσάμενος ἀναγάγῃς αὐτήν.
22. Περὶ τοῦ Κυρίου λέγει.
23. Τὰς ἐντολάς σου ἐδίδαξάς με.
24. Πληρωθῶ εὐφροσύνης, ὅταν ἴδω τὸ πρόσωπόν σου.
25. Χαρὰ μετὰ τῶν ἁγίων διαπαντός.

«Προσευχὴ τῷ Δαυίδ.» ΨΑΛΜ. ΙϚʹ.

1. Εἰσάκουσον, Κύριε, δικαιοσύνης μου·
2. Πρόσχες τῇ δεήσει μου·
3. Ἐνώτισαι τὴν προσευχήν μου οὐκ ἐν χείλεσι δολίοις.
4. Ἐκ προσώπου σου τὸ κρῖμά μου ἐξέλθοι·
5. Οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας [ὀρθότητας]
6. Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός·
7. Ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία·
8. Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων.
9. Διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς.
10. Κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου,
11. Ἵνα μὴ σαλευθῶσι τὰ διαβήματά μου.
12. Ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκουσάς μου, ὁ Θεός·
13. Κλῖνον τὸ οὖς σου ἐμοί, καὶ εἰσάκουσον τῶν ῥημάτων μου.
14. Θαυμάστωσον τὰ ἐλέη σου,
15. Ὁ σῴζων τοὺς ἐλπίζοντας ἐπὶ σέ.
16. Ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου,
17. Φύλαξόν με ὡς κόρην ὀφθαλμοῦ.
18. Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με,
19. Ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με.
20. Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον,
21. Τὸ στέαρ αὐτῶν συνέκλεισαν·
22. Τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν.
23. Ἐκβάλλοντές με νῦν περιεκύκλωσάν με.
24. Τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ.
25. Ὑπέλαβόν με, ὡσεὶ λέων ἕτοιμος εἰς θήραν,
26. Καὶ ὡσεὶ σκύμνος ἐν ἀποκρύφοις.
27. Ἀνάστηθι, Κύριε, πρόφθασον αὐτούς, καὶ ὑποσκέλισον αὐτούς·

28. Ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς.
29. Ῥομφαίᾳ σου ἀπὸ ἐχθρῶν τῆς χειρός σου·
30. Κύριε, ἀπὸ ὀλίγων ἀπὸ γῆς,
31. Διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν.
32. Καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν·
33. Ἐχορτάσθησαν υἱῶν.
34. Καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν.
35. Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου,
36. Χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Προσευχὴ τῷ Δαυίδ·» τουτέστι, τῷ Υἱῷ τοῦ Θεοῦ. Εἰρήκαμεν μὲν γὰρ ἐν τοῖς ἔμπροσθεν, ὅτιπερ ἑρμηνεύεται Δαυὶδ οὕτως, «ἀγαπητός», ὡς ἐκ τούτου λαμβάνεσθαι τὸ τοῦ Δαυὶδ ὄνομα εἰς τὸν τοῦ Θεοῦ μονογενῆ Υἱόν· ὅπερ ἔστι καὶ νῶν [νῦν] ὑπολαβεῖν· ὅτι ἡ προσευχὴ ἡ εἰρημένη ἐν τῷ ψαλμῷ τῷ Υἱῷ τοῦ Θεοῦ εἴρηται. Ἔστι δ' ὅτε καὶ ἑτέρως εἰπεῖν εἰς τὴν προκειμένην ἐπιγραφήν, ἐπειδὴ καὶ ἑτέρως τὸ τοῦ Δαυὶδ ὄνομα ἑρμηνεύεται «πεποθημένος», ὅπερ ἀναγκαῖον λαβεῖν εἰς τὸν τῶν ἁγίων χορόν, τὸν ὑπὸ τοῦ Θεοῦ πεποθημένον, ὡς δὲ αὐτοὺς λέγειν πρὸς τὸν Υἱὸν τοῦ Θεοῦ τὸν ὑποτεταγμένον ψαλμόν.

1. Τῆς δικαίας μου αἰτήσεως.
2. Εὔτυχε αὐτῇ.
3. Ἐνώτισαι τὴν προσευχήν μου τὴν ἀληθινήν.
4. Ἐν τῇ ἀληθείᾳ σου τὸ θέλημά μου ἔστω.
5. Οἱ τῆς καρδίας μου ὀφθαλμοὶ γνῶσιν ἐχέτωσαν περὶ τὸ σὸν θέλημα.
6. Εἶδες τὴν καρδίαν μου οὖσαν ἐν ἁμαρτίαις, καὶ ἐβοήθησάς μοι.
7. Ἐκαθάρισάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία.
8. Ὅπως ἂν μὴ ποιήσω τὰ ἔργα τῶν ἀνθρώπων.
9. Διὰ τὰς ἐπαγγελίας τῆς βασιλείας σου ἐγὼ ἐφύλαξα τὰ προστάγματά σου.
10. Κατάρτισαι τὴν καρδίαν μου εἰς τὰ δικαιώματα.
11. Τὰ ὀρθὰ νοήματά μου ἵνα μὴ ἀποστῶσιν ἀπ' ἐμοῦ.
12. Διὰ τοῦτο ἐβόησα πρὸς σέ, ἤδη πεῖράν σου ἔχων, ὅτι εἰσακούεις τῶν δεομένων σου.
13. Εὐμενής μοι γενοῦ, καὶ πλήρωσον ἅπερ αἰτῶ σε.
14, 15. Μεγάλυνον τὸ ἔλεός σου εἰς ἐμέ.
16, 17. Περὶ τῶν δαιμόνων λέγει.
18. Ἐν τοῖς δικαιώμασί σου βοήθησόν μοι.
19. Τῶν δαιμόνων τῶν ποιησάντων ἁμαρτῆσαί με.

20. Οἱ δαίμονες.
21. Τὰς ἡδονὰς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ.
22. Ἡγήσαντο ἑαυτοὺς εἶναι θεούς.
23. Ἀποσπάσαντές με ἀπὸ σοῦ, περιεκύκλωσάν με.
24. Ἡ βουλὴ αὐτῶν ἐστι ποιῆσαί με ἐκκλῖναι ἀπὸ σοῦ.
25, 26. Ὡς λέων, καὶ ὡς σκύμνος οἰκοῦσιν ἐν τῇ καρδίᾳ μου.
27. Ἐλθέ, Κύριε, καὶ συμπόσιον αὐτοὺς ὑπὸ τοὺς πόδας μου.
28-31. Κύριε, ἐν τάχει διασκέδασον αὐτοὺς ἀπὸ τῶν ἀνθρώπων.
32. Τοὺς ἀπερριμμένους ἀπὸ σοῦ κατέπιαν.
33,34. «Ἐχορτάσθησαν», ἀλλὰ τῶν ἀνομούντων.
35. Ὅταν ἔλθῃ κρῖναι τὴν οἰκουμένην.
36. Ἡ τροφή μου, «ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου» ἐν τῷ μέλλοντι αἰῶνι, ἐστὶν εἰς τὸ ὁρᾶν με τὴν δόξαν σου.

«Εἰς τὸ τέλος τῷ παιδὶ Κυρίου τῷ Δαυίδ, ἃ ἐλάλησε τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης ἐν ἡμέρᾳ ᾗ ἐρρύσατο αὐτὸν ὁ Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἐκ χειρὸς Σαούλ, καὶ εἶπεν·»

ΨΑΛΜ. ΙΖ΄.

1. Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου.
2. Κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου,
3. Ὁ Θεός μου, βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν·
4. Ὑπερασπιστής μου, καὶ κέρας σωτηρίας μου, καὶ ἀντιλήπτωρ μου.
5. Αἰνῶν ἐπικαλέσομαι τὸν Κύριον, καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.
6. Περιέσχον με ὠδῖνες θανάτου,
7. Καὶ χείμαρροι ἀνομίας ἐξετάραξάν με.
8. Ὠδῖνες ᾅδου περιεκύκλωσάν με·
9. Προέφθασάν με παγίδες θανάτου.
10. Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν Κύριον·
11. Καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα.
12. Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου·
13. Καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ.
14. Καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ·
15. Καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν,
16. Καὶ ἐσαλεύθησαν· ὅτι ὠργίσθη αὐτοῖς.
17. Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ·
18. Καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ καταφλεγήσεται·
19. Ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ.
20. Καὶ ἔκλινεν οὐρανούς, καὶ κατέβη·
21. Καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ.

22. Καὶ ἐπέβη ἐπὶ χερουβίμ, καὶ ἐπετάσθη·
23. Ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.
24. Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ·
25. Κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ,
26. Σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων.
27. Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον.
28. Χάλαζα, καὶ ἄνθρακες πυρός.
29. Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ Κύριος·
30. Καὶ ὁ Ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ·
31. Ἐξαπέστειλε βέλη καὶ ἐσκόρπισεν αὐτούς·
32. Καὶ ἀστραπὰς ἐπλήθυνε, καὶ συνετάραξεν αὐτούς.
33. Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων.
34. Καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης.
35. Ἀπὸ ἐπιτιμήσεώς σου, Κύριε.
36. Ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς του.
37. Ἐξαπέστειλεν ἐξ ὕψους, καὶ ἔλαβέ με·
38. Προσελάβετό με ἐξ ὑδάτων πολλῶν.
39. Ἐρρύσατό με ἐξ ἐχθρῶν μου δυνατῶν,
40. Καὶ ἐκ τῶν μισούντων με·
41. Ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ.
42. Προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μου·
43. Καὶ ἐγένετο Κύριος ἀντιστήριγμά μου.
44. Καὶ ἐξήγαγέ με εἰς πλατυσμόν·
45. Ῥύσεταί με, ὅτι ἠθέλησέ με.
46. Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου,
47. Καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι.
48. Ὅτι ἐφύλαξα τὰς ὁδοὺς Κυρίου,
49. Καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου
50. Ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου·
51. Καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησαν ἀπ' ἐμοῦ.
52. Καὶ ἔσομαι ἄμωμος μετ' αὐτοῦ·
55. Καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου.
54. Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου,
55. Καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι,
56. Ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ.
57. Μετὰ ὁσίου ὅσιος ἔσῃ,
58. Καὶ μετὰ ἀνδρὸς ἀθῴος ἔσῃ·
59. Καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ·
60. Καὶ μετὰ στρεβλοῦ διαστρέψεις.
61. Ὅτι σὺ λαὸν ταπεινὸν σώσεις,
62. Καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις.
63. Ὅτι σὺ φωτιεῖς λύχνον μου, Κύριε.

64. Ὁ Θεός μου, φωτιεῖς τὸ σκότος μου.
65. Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου,
66. Καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος.
67. Ὁ Θεός μου, ἄμωμος ἡ ὁδὸς αὐτοῦ·
68. Τὰ λόγια Κυρίου πεπυρωμένα.
69. Ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν·
70. Ὅτι τίς Θεὸς πλὴν τοῦ Κυρίου;
71. Ἢ τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν;
72. Ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν,
73. Καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου·
74. Καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου,
75. Καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με·
76. Διδάσκων χεῖράς μου εἰς πόλεμον.
77. Καὶ ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου·
78. Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας.
79. Καὶ ἡ δεξιά σου ἀντελάβετό μου·
80. Καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος·
81. Καὶ ἡ παιδεία σου αὐτή με διδάξει.
82. Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου,
83. Καὶ οὐκ ἠσθένησε τὰ ἴχνη μου.
84. Καταδιώξω τοὺς ἐχθρούς μου καὶ καταλήψομαι αὐτούς·
85. Καὶ οὐκ ἀποστραφήσομαι, ἕως ἂν ἐκλείπωσιν.
86. Ἐκθλίψω αὐτούς, καὶ οὐ μὴ δύνωνται στῆναι.
87. Πεσοῦνται ὑπὸ τοὺς πόδας μου.
88. Καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον·
89. Συνεπόδισας πάντας τοὺς ἐπανισταμένους ἐπ' ἐμὲ ὑποκάτω μου.
90. Καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον·
91. Καὶ τοὺς μισοῦντάς με ἐξωλόθρευσας.
92. Ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σῴζων·
93. Πρὸς Κύριον, καὶ οὐκ εἰσήκουσεν αὐτῶν.
34. Καὶ λεπτυνῶ αὐτοὺς ὡσεὶ χνοῦν κατὰ πρόσωπον ἀνέμου·
95. Ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς.
96. Ῥῦσαί με ἀπὸ ἀντιλογιῶν λαοῦ·
97. Καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν.
98. Λαός, ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι.
99. Εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου.
100. Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι·
101. Υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν,
102. Καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν.
103. Ζῇ Κύριος, καὶ εὐλογητὸς ὁ Θεός μου·
104. Καὶ ὑψωθήτω ὁ Θεὸς τῆς σωτηρίας μου,
105. Ὁ Θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοί,

106. Καὶ ὑποτάξας λαοὺς ὑπ' ἐμέ,
107. Ὁ ῥύστης μου ἐξ ἐχθρῶν μου ὀργίλων.
108. Ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ ὑψώσεις με·
109. Ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με.
110. Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, Κύριε.
111. Καὶ τῷ ὀνόματί σου ψαλῶ.
112. Μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως αὐτοῦ,
113. Καὶ ποιῶν ἔλεος τῷ Χριστῷ αὐτοῦ τῷ Δαυίδ,
114. Καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος τῷ παιδὶ Κυρίου τῷ Δαυίδ·» τουτέστιν, ἃ ἐλάλησεν ἐπὶ τέλει τῶν αἰώνων τῷ δουλεύοντι τῷ Κυρίῳ λαῷ πεποθημένῳ· τοῦτο γὰρ ἐνταῦθα ἑρμηνεύεται τό, Δαυίδ, Εἶτα τό, «Ἃ ἐλάλησε τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης ἐν ἡμέρᾳ ᾗ ἐρρύσατο αὐτὸν Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ», φημὶ δὴ τῶν ἀκαθάρτων πνευμάτων ἐρρύσατο αὐτόν. Εἶτα· «Καὶ ἐχθρὸς» [ἐκ χειρὸς] «Σαούλ·» ὅπερ ἑρμηνεύεται «καὶ χειρὸς τοῦ διαβόλου», τοῦ αἰτουμένου πάντα ἄνθρωπον εἰς τὸ πειρᾶσαι· τοῦτο γὰρ ἑρμηνεύεται τὸ Σαούλ, «αἰτητὸς» [αἰτητής]. Καθὼς πάλαι ἐπειράσατο καὶ τὸν Ἰώβ, ᾐτήσατο πειρᾶσαι καὶ τοὺς ἀποστόλους, ὡς ὁ Κύριος αὐτὸ τοῦτο τῷ Πέτρῳ λέγει·«Πέτρε, Πέτρε, ποσάκις ᾐτήσατο ὑμᾶς ὁ Σατανᾶς συνιᾶσαι ὡς τὸν σῖτον![1]»

1. Πόθον ἐνδείξομαι ἐν σοί, Κύριε, ὁ δυναμῶν με εἰς πᾶσαν ἀρέσκειάν μου.

2. Κύριος, διαχωρίζων ἀπ' ἐμοῦ πᾶσαν ἐπιβουλὴν τῶν ἐχθρῶν μου, ὃν τρόπον διαχωρίζει τὸ στερέωμα ἀναμέσον ὕδατος καὶ ὕδατι.

3. Ὁ Θεός μου ἀφαιρῶν ἀπ' ἐμοῦ πᾶν βάρος, «καὶ ἐλπιῶ ἐπ' αὐτόν.»

4. Σκεπαστής μου, καὶ βασιλεὺς τῆς σωτηρίας μου, καὶ ἀντιποιούμενός μου.

5. Περὶ τῶν ἀκαθάρτων πνευμάτων λέγει.

6. Πέριξ τῆς ψυχῆς μου συνέστησαν αἱ ἐναντίαι δυνάμεις.

7. Ὡς ῥεύματα ὑδάτων, οὕτως ἐνέρρηξάν μοι.

8. Καὶ ἐνθυμήσεις σκοτειναὶ καὶ ζοφώδεις περιεκύκλωσαν τὴν καρδίαν μου.

9. Ἐκραταιώθησαν ὑπὲρ ἐμὲ αἱ τῶν ἐναντίων δυνάμεων παγίδες.

10. Εἰς βοήθειάν μου.

11. Ἐν πόνῳ τῆς καρδίας μου ἐβόησα.

---

1. Λουκ. 22, 31.

12. Ἐκ τοῦ οὐρανοῦ λέγει.
13. Φθασάτω πρὸς αὐτὸν ἡ ἱκεσία μου, καὶ εἰσακουσθήσομαι.
14. Τὰ καταχθόνια.
15. Αἱ δυνάμεις τοῦ ἐχθροῦ.
16. Ἔντρομα γεγένηνται διὰ τὴν ἀπειλὴν αὐτοῦ.
17. Ἐξέλιπον, ἀπώλοντο οἱ δαίμονες ὡς καπνός.
18. Ὁρῶντες γὰρ τὸν Κύριον ἐν τῇ παρουσίᾳ αὐτοῦ, ἐκαίοντο ἀπὸ τοῦ προσώπου αὐτοῦ.
19. Οἱ λόγοι τοῦ Κυρίου.
20. Καὶ παρεγένετο ἐπὶ τῆς γῆς, καὶ πεπλήρωκεν ὃ ἐπηγγείλατο.
21. «Γνόφος» ὁ διάβολός ἐστιν.
22, 23. Χερουβὶμ ἑρμηνεύεται «γνῶσις» καὶ «σύνεσις·» εἰς τοὺς δικαίους οὖν λέγει, ὅτι «ἐπέβη»· καὶ γὰρ «ἀνέμους» τὰς ψυχὰς τῶν ἀποστόλων εἴρηκεν ὡσαύτως.
24. Τοὺς τοῦ σκότους ἀπηλλοτρίωσεν ἑαυτοῦ.
25. Οἱ πιστοὶ αὐτοῦ.
26. Ὁ λόγος τῶν παραβολῶν ἐν τοῖς προφήταις.
27. Πρὸ τῆς παρουσίας αὐτοῦ τοῦ Κυρίου ὁ λόγος τῶν προφητῶν προεκήρυττεν [προεκηρύχθη].
28. Τοὺς λόγους λέγει τῶν προφητῶν, σκληροὺς μὲν ὄντας, καίοντας δὲ τοὺς ἁμαρτάνοντας.
29. Ἐβρόντησε τὸ ἅγιον Πνεῦμα τὴν ἑαυτοῦ παρουσίαν.
30. Τοὺς ἀποστόλους.
31. Τοὺς ἀποστόλους κατὰ τῶν δαιμόνων.
32. «Ἐπλήθυνε», λέγει, τὸ «λαβεῖν» [τῷ λαλεῖν] «τοὺς ἀποστόλους ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι.[1]»
33, 34. Καὶ συνέδραμον πάντες, καὶ ἐθαύμαζον οἱ κατοικοῦντες Ἱερουσαλὴμ θεωροῦντες καὶ βλέποντες τοὺς ἀποστόλους λαλοῦντας «τὰ μεγαλεῖα τοῦ Θεοῦ·[2]» «πηγὰς» γὰρ καὶ «θεμέλια» αὐτοὺς λέγει.
35. Ἀπὸ τῆς διδασκαλίας σου,
36. Καὶ ἀπὸ τῆς ἐνεργείας τοῦ Πνεύματος τοῦ ἁγίου.
37, 38. Ἐβαπτίσθησαν γὰρ ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς παρὰ τῶν ἀποστόλων ψυχαὶ ὡς τρισχίλιαι·[3] διὰ τοῦτο λέγει ἐκ προσώπου τῶν πεπιστευκότων.
39, 40. Τουτέστι τῶν δαιμόνων.
41. Ἐρρύσθησαν γὰρ βαπτισθέντες ἐκ τῶν κατεξουσιαζόντων αὐτῶν δαιμόνων.
42. Ὅτε ἠσθένουν τῇ ψυχῇ, συνέκλεισάν με.
43, 44. Διὰ τοῦ βαπτίσματος ἔστησέ με εἰς ἀνάπαυσιν.

---

1. Πράξ. 2, 4. 2. Πράξ. 2, 11. 3. Πρβλ. Πράξ. 2, 41.

45. Ἀφ' οὗ περιεποιήσατό με, ῥύσεταί με τοῦ λοιποῦ.
46. Καὶ λοιπὸν ἐν τῷ καιρῷ τῆς κρίσεως ἀνταποδώσει μοι.
47. Κατὰ τὴν καθαριότητα τῶν ἔργων μου.
48. Τὰς ἐντολὰς αὐτοῦ ἔχων ἐν τῇ καρδίᾳ μου.
49. Ἐκτὸς αὐτοῦ ἑτέρῳ οὐκ ἐλάτρευσα.
50. Ὅτι οὐδὲν τῶν ἐντολῶν αὐτοῦ ἀπόβλητόν ἐστι παρ' ἐμοί, ἀλλὰ πρὸ ὀφθαλμῶν μου ἔχω αὐτά.
51. Καὶ τὰ δικαιώματα αὐτοῦ ἀδιαλείπτως μελέτη μού ἐστι.
52. Καὶ ἀεὶ ἄσπιλος αὐτῷ τηρηθείην.
53. Τηρήσω ἐμαυτὸν τοῦ μὴ πριπεσεῖν ταῖς προτέραις μου ἐπιθυμίαις.
54-56. Καὶ ἐν τῇ δικαίᾳ αὐτοῦ μισθαποδοσίᾳ μοι ἀποδῷ ὧν εἰργασάμην ἐνώπιον αὐτοῦ, ὁ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.
57-60. Τοῦτο λέγει, ὅστις προεδρεύει, τούτου καὶ τοὺς τρόπους μιμεῖται, καὶ τῆς μερίδος μέτοχος γενήσεται.
61. Τοὺς ἐπιστρέφοντας.
62. Τῶν δαιμόνων, καὶ τῶν ἐξακολουθούντων αὐτοῖς.
63. Τοὺς ὀφθαλμοὺς τῆς διανοίας αὐτοῦ [μου].
64. Πᾶσαν ἐνθύμησιν ἐν ἐμοὶ ὑποσπαρεῖσαν ὑπὸ τοῦ διαβόλου ὡς δῆθεν παρὰ σοῦ οὖσαν γνώρισόν μοι ἀλλοτρίαν σου ὑπάρχουσαν, ἵνα ταύτην ἀπώσωμαι.
65. Τῶν ἡδονῶν τοῦ βίου.
66. Τὸν διάβολον.
67. Μέμψιν οὐδεμίαν ἔχει ἑκάστη ἐντολὴ αὐτοῦ.
68. Καθαρά, ὑπερέκλαμπρα.
69. Ἀντὶ τοῦ ὑπέρμαχος, σκεπαστής, φύλαξ.
70, 71. Μόνος Θεὸς ἀληθινός· αὐτός ἐστι Θεὸς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.
72. Τὸ ἅγιον Πνεῦμα λέγει.
73. Ἀπόσκοπον ἐντειλάμενος τοῖς ἀγγέλοις αὐτοῦ διαφυλάττειν με.[1]
74. Καταπατεῖν, καὶ φονεύειν τοὺς ὄφεας καὶ τοὺς σκορπίους ἐποίησέ με, ὡς τὰς ἐλάφους.
75. Ἐπὶ τὰς ἐντολὰς αὐτοῦ.
76. Τὴν διάνοιάν μου λέγει ὁπλίσασθαι κατὰ τοῦ διαβόλου.
77. Τὴν καρδίαν μου ἐποίησας ἰσχυράν, ἵνα τὰ βέλη τοῦ ἐχθροῦ μὴ θανατοῦσί με.
78. Ἔδωκάς μοι γὰρ ὑπερασπισμὸν τὸν σταυρόν σου.
97. Ὁ Υἱός σου ἀντελάβετό μου.
80, 81. Τὸ πτωχεῦσαί σε, λέγει, καὶ γενέσθαι ἄνθρωπον ἀνώρθωσέ με, καὶ διδάξει με.

---

1. Πρβλ. Ψαλμ. 90, 11.

82. Ἐπλάτυνας τὴν καρδίαν μου, τοῦ πορεύεσθαί με ἐν ταῖς ὁδοῖς σου.

83. Αἱ ἐνθυμήσεις μου.

84. Περιγένωμαι τῶν λογισμῶν τοῦ ἐχθροῦ ἐν τῷ φθάσαι με τὴν κακίαν αὐτῶν.

85. Καὶ οὐ παύσομαι ἕως ἂν ἀνιστῶσιν.

86. Διώξω αὐτούς, καὶ οὐκ ἀντιστήσονται.

87. Ὑποτάξω αὐτοὺς ὑπ' ἐμέ.

88. Περιέζωσάς με τὴν χάριν τοῦ ἁγίου Πνεύματός σου ἐν αὐτῇ ὁπλίζεσθαι, καὶ ἀνθίστασθαι ταῖς μεθοδείαις τοῦ διαβόλου.

89. Ἔδωκάς μοι ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν δύναμιν τοῦ ἐχθροῦ.

90. Ἔδωκάς μοι αὐτοὺς ὑποχειρίους.

91. Τοὺς δαίμονας.

92, 93. Κατὰ τὸ γεγραμμένον ἐν Εὐαγγελίῳ· «Τί ἡμῖν καὶ σοί, Ἰησοῦ, Υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου; ἦλθες πρὸ καιροῦ ἀπολέσθαι ἡμᾶς.[1]»

94. Ἡνίκα ἐμφυσήσω αὐτοῖς ἀφανεῖς γενήσονται.

95. Ἐξαλείψω αὐτοὺς ἐκ τῆς καρδίας μου.

96. Ῥῦσαί με ἐκ τῶν ἀντιστρατευομένων ἐν τοῖς μέλεσίν μου ἡδονῶν.

97. Κατακυριεύειν με τῶν ἐθνικῶν πράξεων.

98. 99. Περὶ τοῦ κηρύγματος τῶν ἐθνῶν λέγει, καὶ τῆς ὑπακοῆς αὐτῶν.

100, 101. Οἱ Ἰουδαῖοι ἀπέστησαν ἀπὸ τοῦ Θεοῦ, καὶ εἰς ἀφανισμὸν γεγόνασι.

102. Χωλάναντες ἀπὸ τῶν ἐντολῶν τοῦ Θεοῦ.

103. Εἰ καὶ ἀπέθανε δι' ἡμᾶς, ἀλλὰ ζῇ, καὶ εὐλογητός ἐστι δι' αἰῶνος.

104. Καὶ ἀναληφθήτω ὁ Θεὸς ὁ σῴζων με.

105. Δύναμιν καὶ ἐξουσίαν διδούς μοι κατὰ τῶν ἐναντίων δυνάμεων

106. Τὰς ἐναντίας δυνάμεις.

107. Τῶν αὐτῶν πνευμάτων.

108. Τῶν λογισμῶν, λέγει.

109. Τοῦ Σατανᾶ.

110, 111. Δοξάσω σε.

112. Διηγούμενος τὰς ἐπαγγελίας τοῦ λαοῦ.

113, 114. Τῷ λαῷ, λέγει· τῷ λαῷ τῷ πεποθημένῳ ὑπὸ Κυρίου, καὶ τοῖς ἔργοις αὐτοῦ. Δαυὶδ γὰρ «πεποθημένος» ἑρμηνεύεται· σπέρμα δὲ αὐτοῦ τὰ ἔργα αὐτοῦ τὰ δίκαια ὑπάρχει.

---

1. Ματθ. 8, 29.

«Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΙΗʹ.

1. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.
2. Ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.
3. Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα·
4. Καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν.
5. Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν·
6. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν·
7. Καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.
8. Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ·
9. Καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ.
10. Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ·
11. Ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ,
12. Καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ·
13. Καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τῆς θέρμης αὐτοῦ.
14. Ὁ νόμος Κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς·
15. Ἡ μαρτυρία Κυρίου πιστή, σοφίζουσα νήπια.
16. Τὰ δικαιώματα Κυρίου εὐθέα, εὐφραίνοντα καρδίαν·
17. Ἡ ἐντολὴ Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς.
18. Ὁ φόβος Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος.
19. Τὰ κρίματα Κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό·
20. Ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν·
21. Καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον.
22. Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά.
23. Ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή.
24. Παραπτώματα τίς συνήσει;
25. Ἐκ τῶν κρυφίων μου καθάρισόν με·
26. Καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου.
27. Ἐάν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι.
28. Καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης.
20. Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου.
30. Καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου διαπαντός.
31. Κύριε βοηθέ μου, καὶ λυτρωτά μου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ ἡ διὰ τῆς κινναβάρεως περιέχει· «Εἰς τὸ τέλος τῷ Δαυίδ.» Περὶ τῆς παρουσίας οὖν τοῦ Κυρίου λέγει τὸν ψαλμὸν ὁ Δαυίδ, καὶ τῆς συντελείας τοῦ αἰῶνος.

1. Οἱ ἀπόστολοι τὰ παθήματα αὐτοῦ.
2. Τὰ δικαιώματα ἀναγγέλλει τὸ στερέωμα τῶν ἁγίων.
3. Οἱ ἀπόστολοι τῷ λαῷ τὸν αἶνον.

4. Οἱ προφῆται τοῖς Ἰουδαίοις.

5. Οὐκ ἔστιν οἱαδηποτοῦν λαλιά, ἢ λόγος τῶν Ἀποστόλων, ἢ τῶν προφητῶν, ὧν ἄχρι τοῦ δεῦρο οὐκ ἀκούονται τὰ κηρύγματα ὑπὸ τῶν ἀνθρώπων.

6. Εἰς πᾶν ἔθνος καὶ γένος διεδόθη ἡ διδασκαλία αὐτῶν.

7. Καὶ περιῆλθε τὰ ῥήματα αὐτῶν, ἔνθα ἐστὶν ἄνθρωπος ἐπὶ τῆς γῆς.

8. Ἐν τῷ Υἱῷ ἔθετο τοὺς πιστούς.

9. Ὁ αὐτὸς Κύριος ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος.

10. Τὴν παρουσίαν αὐτοῦ σημαίνει.

11. Ὅτε ἔκλινεν οὐρανούς, καὶ κατέβη.

12. Τὴν ἄνοδον αὐτοῦ λέγει.

13. Τὴν πίστιν αὐτοῦ.

14. Ὁ Υἱὸς τοῦ Θεοῦ ἀναμάρτητος, ὡς Θεὸς ἐπιστρέφων ἐκ σκότους τὰς ψυχὰς τῶν ἀνθρώπων εἰς τὸ φῶς αὐτοῦ τὸ θαυμαστόν.

15. Ὅτε ἐμαρτύρησεν ἐν τῷ ὄρει ὁ Πατὴρ περὶ τοῦ Υἱοῦ αὐτοῦ, ὅτι αὐτός ἐστιν ὁ μονογενὴς αὐτοῦ Υἱός, καὶ ἐπιστώσατο τοὺς μαθητὰς αὐτοῦ.

16. «Τὰ δικαιώματα Κυρίου» οὐδὲν ἔχουσιν ἑαυτοῖς σκολιὸν οὐδὲ στραγγαλιῶδες, ἀλλὰ πάντα ὀρθά.

17. Ἡ ἐντολὴ Κυρίου καθαρά, ἰωμένη, καὶ λαμπρύνουσα τοὺς ὀφθαλμοὺς τῶν καρδιῶν.

18. Ἔνθα ὁ φόβος Κυρίου, ἁγνὸς ἐκεῖνος ὁ ἄνθρωπος διαμένει καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι.

19. Τὰ θεσπίσματα τοῦ Κυρίου ἀψευδῆ μεμαρτυρημένα, ὅτι αὐτὸ τοῦτό ἐστιν ὃ λέγουσι, καὶ οὐδὲν ἕτερον· εἴτε περὶ τῆς μισθαποδοσίας, εἴτε περὶ κρίσεως διηγοῦνται.

20. Τοῖς ἐκζητοῦσιν ταῦτα.

21. Τοῖς συνιοῦσιν αὐτά.

22. Ὁ δοῦλός σου ὑπάρχων φυλάσσει αὐτά.

23. Ἐν τῷ κρατεῖν αὐτὰ ἕκαστον ἡμῶν, ἀνταπόδοσιν ἔχει ζωὴν ἀτελεύτητον.

24. Τοὺς ἐν τῇ καρδίᾳ λογισμούς.

25. Τῶν αὐτῶν λογισμῶν λέγει.

26. Τῶν εἰσβολῶν τοῦ ἐχθροῦ ῥῦσαί με.

27. Οἱ λογισμοί, λέγει.

28. Καὶ κουφισθήσομαι τῆς δυναστείας τοῦ διαβόλου.

29. Ἡ εὐχή μου, λέγει.

30. Καὶ ἡ ἐπιθυμία τῆς καρδίας μου ἐν τῷ νόμῳ σου ἡμέρας καὶ νυκτός.

31. Κύριε, ὁ ἀνθιστάμενος καὶ λυτρούμενός με ἀπὸ τοῦ διαβόλου, καὶ τῶν ὑπουργῶν αὐτοῦ.

«Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΙΘ′.

1. Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως·
2. Ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.
3. Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου·
4. Καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου·
5. Μνησθείη πάσης θυσίας σου·
6. Καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω.
7. Δῴη σοι Κύριος κατὰ τὴν καρδίαν σου
8. Καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι·
9. Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου·
10. Καὶ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.
11. Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου.
12. Νῦν ἔγνων, ὅτι ἔσωσε Κύριος τὸν Χριστὸν αὐτοῦ·
13. Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ·
14. Ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ.
15. Οὗτοι ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις.
16. Ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν ἐπικαλεσόμεθα.
17. Αὐτοὶ συνεποδίσθησαν, καὶ ἔπεσον·
18. Ἡμεῖς δὲ ἀνέστημεν, καὶ ἀνωρθώθημεν.
19. Κύριε, σῶσον τὸν βασιλέα.
20. Καὶ ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.» Τοῦτο λέγει, ὃ περὶ τῆς συντελείας τοῦ αἰῶνος εἴρηται.

1, 2. Αὐτὸς γὰρ εἶπεν· «Ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με.[1]»

3. Τὸν Υἱὸν αὐτοῦ.

4. Ἐκ τοῦ οὐρανοῦ λέγει. «Σιὼν» γὰρ ἑρμηνεύεται τόπος, ὅπως [ὅπου] ἡ σκηνή.

5. Ἁγίας, λέγει.

6. Ἁγιάσει [ἁγιάσαι] σου τὴν ψυχήν, καὶ τὸ σῶμα.

7. Τὰ αἰτήματά σου τὰ ἀγαθά.

8. Τὴν πρόθεσίν σου τὴν εἰς αὐτόν.

9. Ἐν τῇ παρουσίᾳ τῇ ὑπὲρ ἡμῶν.

10. Καυχησόμεθα.

11. Τὰ ἀρεστὰ αὐτῷ, καὶ σοὶ συμφέροντα.

12. Τὸν λαὸν αὐτοῦ λέγει.

13. Γνωστὴ ἔσται ἡ φωνὴ ἑαυτοῦ παρὰ τῷ Θεῷ.

---

1. Ψαλμ. 49, 15.

14. Τῶν ἁγίων, λέγει.
15, 16. Ἡμεῖς δὲ [ἐν] τῷ ὀνόματι Ἰησοῦ ἐπικαλεσόμεθα.
17. Οἱ δαίμονες.
18. Ἰησοῦ τοῦ Θεοῦ ἡμῶν διεγείραντος ἡμᾶς, καὶ ἰασαμένου.
19. Τὸν λαὸν λέγει.
20. Ἐν οἱῳδηποτοῦν καιρῷ δεηθῶμέν σου.

«Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. Κ΄.

1. Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς·
2. Καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.
3. Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ·
4. Καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν.
5. Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος·
6. Ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου.
7. Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ.
8. Μακρότητα ἡμερῶν εἰς αἰῶνα, καὶ εἰς αἰῶνα αἰῶνος·
9. Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου·
10. Δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ' αὐτόν.
11. Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος·
12. Εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου.
13. Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον·
14. Καὶ ἐν τῷ ἐλέει τοῦ Ὑψίστου οὐ μὴ σαλευθῇ.
15. Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου·
16. Ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε.
17. Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου.
18. Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτούς, καὶ καταφάγεται αὐτοὺς πῦρ.
19. Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς.
20. Καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων.
21. Ὅτι ἔκλιναν εἰς σὲ κακά·
22. Διελογίσαντο βουλάς, αἷς [ἃς] οὐ μὴ δύνωνται στῆναι [στῆσαι].
23. Ὅτι θήσεις αὐτοὺς νῶτον
24. Ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.
25. Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου.
26. Ἄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.» Τουτέστιν, εἰς τὸ τέλος τῶν αἰώνων ὁ ψαλμὸς εἴρηται τῷ Υἱῷ τοῦ Θεοῦ, καὶ τῷ λαῷ τῷ ἁγίῳ αὐτοῦ. «Δαυὶδ» γὰρ [εἰς]

ἀμφότερα ἑρμηνεύεται, καὶ εἰς τὸν τοῦ Θεοῦ Υἱὸν «τὸν ἀγαπητόν», καὶ εἰς τὸν λαὸν τὸν ἅγιον «τὸν πεποθημένον» ὑπὸ Κυρίου.

1. Ὁ λαὸς ὁ πιστός.
2. Τῷ σταυρῷ σου.
3. Τὰ αἰτήματα αὐτοῦ τὰ ἀγαθά.
4. Δεδώρησαι γὰρ αὐτῷ προθύμως μελετᾶν ἐν τῷ νόμῳ σου, καὶ ἀναγγέλλειν τὴν αἴνεσίν σου.
5. Ὅτι ηὐτρέπισας αὐτῷ εὐλογίας ἐν τῇ βασιλείᾳ σου.
6. Τὸν Κύριον λέγει· παντὸς γὰρ πιστοῦ κεφαλὴ ὁ Υἱός ἐστιν.
7, 8. Τὴν αἰώνιον ζωὴν λέγει.
9. Μέγα τὸ καύχημα αὐτοῦ ἐν τῷ σταυρῷ σου.
10. Ἐν τῇ βασιλείᾳ σου.
11. Λέγων πρὸς αὐτόν· «Δεῦρο, ὁ εὐλογημένος τοῦ Πατρός μου.[1]»
12. Θεωρῶν τὸ πρόσωπόν σου ἐν τῇ βασιλείᾳ σου εὐφρανθήσεται.
13. Ὁ πιστὸς λαός.
14. Ἐν τῷ τὸν Θεὸν ἐλθεῖν αὐτόν, ἐστηριγμένος ἔσται.
15. Ὁ Υἱός σου συντρίψει τοὺς ἐχθρούς σου.
16. Ὁ αὐτὸς μονογενὴς Υἱός σου ὁ ἐκ δεξιῶν σου καθήμενος, δι' οὗ ἐποίησας τὰ πάντα, ὡς διὰ δεξιᾶς συγκλείσει πάντας αὐτοὺς εἰς αἰωνίαν κόλασιν.
17. Ὅτι ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος δώσεις αὐτὸς [αὐτοὺς] εἰς τὸ πῦρ τὸ αἰώνιον.
18. Τοὺς μὲν γὰρ εἰς τὸν κλαυθμὸν καὶ βρυγμὸν τῶν ὀδόντων παραδῷ, τοὺς δὲ ἀσβέστῳ πυρί.
19. Τὴν διδασκαλίαν αὐτῶν ἀφανιεῖς εἰς τὸν αἰῶνα.
20. Τὰ ἐπιτηδεύματα αὐτῶν τὰ ὄνομα.
21. Οἱ μὲν ἐπανίστανται [ἐπανιστάντες] σοι ἐν τῇ παρουσίᾳ σου· οἱ δὲ ἀνθιστάμενοι ἐν τῇ ἀληθείᾳ σου.
22. Ἀνταῖραι ἠθέλησαν κατὰ σοῦ.
23, 24. Ὅτι θήσεις αὐτοὺς εἰς τιμωρίαν μετὰ τῶν ἀπολλυμένων.
25. Δοξάσθητι, Κύριε, ἐν τῷ κράτει τῆς ἰσχύος σου ἐν τῷ καιρῷ τῆς κρίσεως.
26. Ἀνυμνοῦντες ἐν τοῖς προκειμένοις ψαλμοῖς διηγησόμεθα τὰ κριτήρια τοῦ φοβεροῦ σου βήματος.

«Εἰς τὸ τέλος, ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς, ψαλμὸς τῷ Δαυίδ.»

ΨΑΛΜ. ΚΑ'.

1. Ὁ Θεός, ὁ Θεός μου, πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με;
2. Μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου.

---

1. Ματθ. 25, 34.

3. Ὁ Θεός μου, κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ.
4. Καὶ νυκτός, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.
5. Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ.
6. Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν,
7. Ἤλπισαν, καὶ ἐρρύσω αὐτούς·
8. Πρὸς σὲ ἐκέκραξαν, καὶ ἐσώθησαν,
9. Ἐπὶ σοὶ ἤλπισαν, καὶ οὐ κατῃσχύνθησαν.
10. Ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος,
11. Ὄνειδος ἀνθρώπων, καὶ ἐξουθένημα [ἐξουδένωμα] λαοῦ.
12. Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με·
13. Ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν.
14. Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν.
15. Σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν.
16. Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός·
17. Ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου·
18. Ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας·
19. Ἀπὸ γαστρὸς μητρός μου Θεός μου εἶ σύ·
20. Μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλίψις ἐγγύς,
21. Ὅτι οὐκ ἔστιν ὁ βοηθῶν μοι.
22. Περιεκύκλωσάν με μόσχοι πολλοί,
23. Ταῦροι πίονες περιέσχον με·
24. Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν,
25. Ὡς λέων ἁρπάζων, καὶ ὠρυόμενος.
26. Ὡσεὶ ὕδωρ ἐξεχύθην.
27. Καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου.
28. Ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου·
29. Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου,
30. Καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λαρυγγί μου·
31. Καὶ εἰς χοῦν θανάτου κατήγαγές με.
32. Ὅτι ἐκύκλωσάν με κύνες πολλοί·
33. Συναγωγὴ πονηρευομένων περιέσχον με.
34. Ὤρυξαν χεῖράς μου καὶ πόδας μου·
35. Ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου.
36. Αὐτοὶ δὲ κατενόησαν, καὶ ἐπεῖδόν με.
37. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς.
38. Καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.
39. Σὺ δέ, Κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν σου ἀπ' ἐμοῦ.
40. Εἰς τὴν ἀντίληψίν μου πρόσχες.
41. Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου,
42. Καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου.
45. Σῶσόν με ἐκ στόματος λέοντος,
44. Καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.

45. Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου·
46. Ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε.
47. Οἱ φοβούμενοι τὸν Κύριον, αἰνέσατε αὐτόν.
48. Ἅπαν τὸ σπέρμα Ἰακώβ, δοξάσατε αὐτόν.
49. Φοβηθήτω δὴ ἀπ' αὐτοῦ ἅπαν τὸ σπέρμα Ἰσραήλ·
50. Ὅτι οὐκ ἐξουδένωσεν, οὐδὲ προσώχθησε τῇ δεήσει τοῦ πτωχοῦ,
51. Οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ·
52. Καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου.
53. Παρὰ σοῦ ὁ ἔπαινός μου·
54. Ἐν ἐκκλησίᾳ μεγάλῃ ἐξομολογήσομαί σοι·
55. Τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν [ἐνώπιον τῷ Κυρίῳ πάντων τῶν] φοβουμένων αὐτόν.
56. Φάγονται πένητες, καὶ ἐμπλησθήσονται·
57. Καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες αὐτόν·
58. Ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος.
59. Μνησθήσονται, καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς·
60. Καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν.
61. Ὅτι τοῦ Κυρίου ἡ βασιλεία,
62. Καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.
63. Ἔφαγον, καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς·
64. Ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς γῆν.
65. Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ,
66. Καὶ τὸ σπέρμα μου διελεύσει αὐτῷ.
67. Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη·
68. Καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ
69. Λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς, ψαλμὸς τῷ Δαυίδ.» Τοῦτο οὖν λέγει, ὅτι ψαλμὸς εἴρηται ὑπὸ τοῦ Δαυὶδ περὶ τῆς ἀντιλήψεως τῆς γενομένης ἡμῖν ὑπὸ τοῦ Θεοῦ ἡμῶν Ἰησοῦ, ἡνίκα ἀνέτειλεν ἡμῖν φῶς διὰ τοῦ ἑαυτοῦ πάθους «τοῖς καθημένοις ἐν σκότει καὶ σκιᾷ θανάτου.[1]»

1. Ἐκ προσώπου τοῦ λαοῦ λέγει.
2. Διὰ τὰ παραπτώματά μου ἐμακρύνθη ἡ σωτηρία μου.
3. Ἐν τῇ ἀρχῇ τῶν προφητῶν.

1. Ἡσ. 9, 2.

4. Ἐπὶ συντελείᾳ τῶν αἰώνων βοήσομαι, καὶ οὐκ εἰς μάτην μοι γενήσεται.

5. Ἐν τῷ Πατρὶ κατοικεῖς, ὁ ἔπαινος τῶν ἁγίων.

6-9. Νῶε, Λώτ, Ἰακώβ, Μωϋσῆς, Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ οἱ Κριταί.

10, 11. Ἐκ τοῦ προσώπου τοῦ Κυρίου λέγει τὸ ἐπὶ γῆς ὀφθῆναι ἀναστρεφόμενον, καὶ ἐπὶ ξύλου τοῦ σταυροῦ αὐτὸν τεθνάναι ἐμπαγέντα τῷ ξύλῳ ὑπὸ τῶν ἥλων, καὶ γενόμενον δέλεαρ τῷ διαβόλῳ.

12, 13. Ὄντος γὰρ αὐτοῦ ἐπὶ τοῦ σταυροῦ, οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν λέγοντες· «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ[1]», κινοῦντες τὰς κεφαλὰς ἔλεγον ταῦτα.

14, 15. Ἔλεγον οἱ ἀρχιερεῖς· «Πέποιθεν ἐπὶ τὸν Θεόν· ῥυσάσθω αὐτόν.[2]»

16. Ὁ ἐσταυρωμένος λέγει τῷ Πατρί· «Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησάς με.[3]»

17. «Ἐπὶ σὲ ἐπερρίφην ἐκ μητρός·» Μαρίᾳ τοῦ Κυρίου λέγει τοὺς ποιοῦντας τὸ θέλημα τοῦ Πατρὸς αὐτοῦ, τοῦ ἐν οὐρανοῖς, τουτέστι τοὺς μαθητάς. Ἡ ἐλπίς σου ἡ εἰς ἐμὲ ἐκ τῆς διδαχῆς τῶν μαθητῶν μού ἐστιν. [Ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου· Μαρίας τοῦ Κυρίου, ἢ λέγει τοὺς ποιοῦντας τὸ θέλημα τοῦ Πατρὸς αὐτοῦ, τοῦ ἐν οὐρανοῖς, τουτέστι τοὺς μαθητάς, οὕτως· Ἡ ἐλπίς σου ἡ εἰς ἐμὲ ἐκ τῆς διδαχῆς τῶν μαθητῶν μού ἐστιν.]

18. Τὸ δέ, «Ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας», ὅταν ὁ Γαβριήλ, ὄντος αὐτοῦ ἐν μήτρᾳ τῆς Παρθένου ἔλεγε περὶ αὐτοῦ, ὅτι Υἱὸς τοῦ Θεοῦ ἐστιν.

19. Καὶ ἐν τῇ γαστρί με ὄντα, ἧς ἠβουλήθην [ἠβουλήθης] μητρός μου, τεθέασαί με σὺ μόνος, Πάτερ· τὸ τίς εἰμι.

20. «Οὐκ ἀποστῇς ἀπ' ἐμοῦ·» ἐγὼ γὰρ ἐν σοί, Πάτερ, καὶ σὺ ἐν ἐμοί. Πάσχειν μέλλω, ὃ παρὰ τοῖς ἀνθρώποις ἐστὶ θλίψις, οὐ γὰρ [παρ'] ἐμοί.

21. Αὐτὸς γὰρ ἑαυτῷ βοηθῶν, ὡς παντοδύναμος καὶ ἐξουσιαστής.

22-25. Περὶ τῶν Ἰουδαίων λέγει, ὅτε ἐκύκλωσαν αὐτόν, καὶ ἔκραζον· «Ἆρον, ἆρον, σταύρωσον αὐτόν.[4]»

26, 27. Ὀστᾶ ἑαυτοῦ τὸν λαὸν τῶν Ἰουδαίων λέγει.

28. Καρδίαν ἑαυτοῦ τὸν λαὸν πάλιν τῶν Ἰουδαίων λέγει, διὰ τὰ λόγια αὐτοῦ ἐν ταῖς καρδίαις αὐτῶν εἶναι.

29. Τοὺς Ἰουδαίους λέγει.

30. Ἐξέλιπε γὰρ ἐκ τοῦ στόματος αὐτῶν ἡ πηγὴ τῆς ζωῆς, καὶ διὰ τοῦτο ἐκολλήθη εἰς δίψαν ὁ λαὸς τῶν Ἰουδαίων.

31. Πρὸς τοὺς Ἰουδαίους με ἀπέστειλας.

32, 33. Οἱ γὰρ Ἰουδαῖοι ἐκύκλωσάν με.

---

1. Ματθ. 27, 40. 2. Ματθ. 27, 43. 3. Ψαλμ. 109, 3. 4. Ἰω. 19, 15.

34. Τοὺς ἥλους τοὺς ἀπὸ τῶν ποδῶν καὶ τῶν χειρῶν αὐτοῦ λέγει.

35. Τῷ κατὰ πάντων τῶν μελῶν προσαγαγεῖν αὐτοὺς τιμωρίας, αὐτῷ· ἐφραγγέλωσαν γὰρ αὐτόν, καὶ ἐρράπισαν, καὶ ἐκολάφισαν, καὶ εἶθ' οὕτως ἐσταύρωσαν.

36. Ὅτε ἐπὶ τοῦ σταυροῦ ὁρῶντες αὐτὸν ἔλεγον· «Οὐά! ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύνανται σῶσαι.[1]»

37, 38. Οἱ σταυρώσαντες αὐτὸν στρατιῶται.

39, 40. Πρῶτον μὲν ὁ προφήτης λέγει πρὸς αὐτόν, ὅτι «Σύ, Κύριε», ταῦτα ὑπομένων ὑφ' [ὑπὲρ] ἡμῶν, μιμούμενος ἡμᾶς, «[μὴ] μακρύνης τὴν βοήθειάν σου ἀπ' ἐμοῦ», τοῦ λαοῦ τῶν Ἰουδαίων, ἀλλ' εἰς ἀντίληψιν ἡμῶν εὐδοκίμησον.» Ἔστι δὲ καὶ ἐκ προσώπου αὐτοῦ τοῦ Κυρίου λέγεσθαι ταῦτα, ὑποτύπωσιν ἡμῖν διδοὺς τὸ τοιούτοις λόγοις κεχρῆσθαι ἐν καιρῷ μαρτυρίου.

41, 43. Αὐτὸς προσεύχεται νῦν, Θεὸς ὤν, ῥυσθῆναι ἀπὸ τοῦ διαβόλου, ἵνα σύ, ἄνθρωπος ὤν, μὴ ἀμελήσης.

44. Τὸ κέρας τοῦ μονοκέρωτος ὑψηλόν ἐστι, καὶ ἀναιρετικόν· περὶ οὖν τῆς καρδίας τῶν Ἰουδαίων τῆς δολίας καὶ ὑψηλῆς λέγει.

45. «Τῷ λαῷ», λέγει, «διηγήσομαι τὸ ὄνομά σου·» ὡς εἴρηκεν ἐν Εὐαγγελίῳ· «Ἐφανέρωσα τὸ ὄνομά σου τοῖς ἀνθρώποις.[2]»

46. Περὶ τῶν ἁγίων λέγει.

47. Τοὺς πιστοὺς λέγει.

48,49. Ἀπὸ προσώπου τοῦ ἀνωτέρω προσευχομένου φοβηθήτω δὴ ἅπαν τὸ γένος τῶν καθαρῶν τῇ καρδίᾳ· Ἰσραὴλ γὰρ ἑρμηνεύεται «νοῦς ὁρῶν τὸν Θεόν.»

50,51. Ὅτι οὐκ ἀπεφρόνησε [κατεφρόνησε] τοῦ γένους τῶν ἀνθρώπων, καὶ οὐκ εἴασεν αὐτοὺς ἀπόλλυσθαι βδελυσσόμενος ἐπὶ ταῖς ἁμαρτίαις αὐτῶν, οὐδὲ εἰς τέλος τοῦ πλάσματος αὐτοῦ ἐπελάθετο.

52. Καὶ ἐν τῷ καλεῖν αὐτὸν ἐλθεῖν εἰς αὐτὸν βοήθειάν μου, εἰσήκουσέ μου· καὶ οὐ μόνον ἐλήλυθεν, ἀλλὰ καὶ πέπονθεν ὑπὲρ ἐμοῦ.

53. Τοῦτό ἐστιν ὅπερ ἔλεγεν ἐν Εὐαγγελίῳ ὁ Κύριος· «Ἔστιν ὁ Πατήρ μου ὁ δοξάζων με.[3]»

54. Τοῦτο πληρῶν ἐν Εὐαγγελίῳ ἔλεγεν· «Ἐξομολογήσομαί σοι, Κύριε Πάτερ τοῦ οὐρανοῦ καὶ τῆς γῆς.[4]»

55. Ἅπερ ἐπηγγειλάμην διὰ τῶν προφητῶν, πληρώσω.

56. Τὰ δικαιώματα τοῦ Κυρίου, καὶ ἐμπλησθήσονται Πνεύματος ἁγίου.

57. Ὕμνους ὡραιότητος εἴπωσιν εἰς αὐτὸν οἱ τερπόμενοι τοῦ κάλλους αὐτόν.

58. Ἁμαρτίαν θανατηφόρον οὐ δέξονται ἐν αὐτοῖς.

59. Μνησθήσονται τοῦ πεποιηκότος αὐτούς.

---

1. Ματθ. 27, 42. 2. Ἰω. 17, 6. 3. Ἰω. 8, 54. 4. Ματθ. 11, 25.

60. Αἱ φυλαὶ τῆς γῆς.

61, 62. Αὐτὸς γάρ ἐστι βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, καὶ μόνος Δεσπότης παντὸς τοῦ γένους τῶν ἀνθρώπων, ὡς μόνος αὐτοὺς ἐξαγοράσας τῷ ἰδίῳ αἵματι.

63. Μετέλαβον τῆς χάριτος τοῦ Θεοῦ οἱ δυνατοὶ τῇ ψυχῇ.

64. Πάντες οἱ τὰ γήινα φρονοῦντες.

65. Αὐτῷ μὲν ἡ ψυχή μου· τῷ δὲ κόσμῳ τεθανάτωται·

66. Καὶ πᾶσά μου ἐνθύμησις ὑποταγήσεται αὐτῷ.

67. Δεκτὴ ἔσται τῷ Κυρίῳ.

68. Κηρύξουσι τὰς ἐντολὰς αὐτοῦ.

69. «Τεχθησομένῳ», λέγει, ἐν τῷ βαπτίσματι.

«Ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΚΒ΄.

1. Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει·
2. Εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν·
3. Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με.
4. Τὴν ψυχήν μου ἐπέστρεψεν·
5. Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης,
6. Ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.
7. Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου,
8. Οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ᾽ ἐμοῦ εἶ.
9. Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν.
10. Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξεναντίας τῶν θλιβόντων με·
11. Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου
12. Καὶ τὸ ποτήριόν σου μεθύσκον με, ὡσεὶ κράτιστον·
13. Καὶ τὸ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου·
14. Καὶ τὸ κατοικεῖν μὲν ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Δαυίδ», τουτέστι «ψαλμὸς τῷ γεγονότι ποιμένι τῶν προβάτων.» Δῆλον γάρ, ὅτι ὁ Δαυὶδ ποιμὴν ἦν προβάτων. Ψαλμὸς οὖν τῷ Δαυίδ, λέγω δὲ τῷ Υἱῷ τοῦ Θεοῦ, τῷ καλῷ Ποιμένι· διὸ ἐπάγει πρὸς αὐτὸν λέγων·

1. Ὁ ποιμὴν ὁ καλός, τὴν ψυχὴν αὐτοῦ τεθεικὼς ὑπὲρ ἡμῶν.
2. Ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, ἔνθα οἱ ἅγιοι αὐτοῦ ἀνθοῦσιν.
3. Ἐν τῇ χάριτι τοῦ Πνεύματος ἁγίου.

4, 5. Ἐκ τῆς αἰχμαλωσίας τοῦ διαβόλου ἐπιστρέψας τὴν ψυχήν μου πρὸς ἑαυτὸν ὡδήγησεν ἐπὶ τὰς ἐντολὰς αὐτοῦ,

6. Ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ.

7. Εἰς τὸ τιμωρηθῆναί με ὑπὲρ σοῦ.
8. Οὐ πτοήσει με πᾶσα τιμωρία, ὅτι σὺ ἐνισχύεις με ὑπομένειν ταύτας.
9. Ὁ Υἱός σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον ἐπέστρεψάν με.
10. Τὴν ἐπουράνιον λέγει τράπεζαν τὸ μυστήριον τὸ ἀθάνατον.
11. Τὸ ἔλαιον λέγει τῆς χάριτος τοῦ ἁγίου Πνεύματος.
12. Τὴν ἀθάνατον πόσιν τοῦ θείου αἵματος λέγει
13. Ἀδιαλείπτως μοι ἔσται.
14. Εἰς τὴν ἄνω Ἱερουσαλήμ.

«Ψαλμὸς τῷ Δαυὶδ τῆς μιᾶς Σαββάτου.» ΨΑΛΜ. ΚΓ'.

1. Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς,
2. Ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.
3. Αὐτὸς γὰρ ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν,
4. Καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.
5. Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου;
6. Ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;
7. Ἀθῶος χερσί, καὶ καθαρὸς τῇ καρδίᾳ,
8. Ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ,
9. Καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ·
10. Οὗτος λήψεται εὐλογίαν παρὰ Κυρίου,
11. Καὶ ἐλεημοσύνην παρὰ Θεοῦ σωτῆρος αὐτοῦ.
12. Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον,
13. Ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ.
14. Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν·
15. Καὶ ἐπάρθητε, πύλαι αἰώνιοι·
16. Καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.
17. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;
18. Κύριος κραταιὸς καὶ δυνατός,
19. Κύριος δυνατὸς ἐν πολέμῳ.
20. Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν·
21. Καὶ ἐπάρθητε, πύλαι αἰώνιοι·
22. Καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης·
23. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;
24. Κύριος τῶν δυνάμεων αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Δαυὶδ τῆς μιᾶς Σαββάτου.» Τοῦτο σημαίνει, ὅτι εἴρηται ὁ ψαλμὸς παρὰ τοῦ Δαυὶδ περὶ τῆς ἀναστάσεως τοῦ Κυρίου.

1. Ἐν ἀρχῇ γὰρ ἐποίησε τὴν γῆν.

2. Πάντα δὲ τὰ ἐν αὐτῇ αὐτὸς ἐποίησε, καὶ τοὺς ἐνοικοῦντας ἐν αὐτῇ.
3. Γῆ γὰρ ἐξ ὕδατός ἐστι συνεστῶσα τῇ αὐτοῦ κελεύσει.
4. Εἰς τὸ διοδεύειν τοὺς ποταμοὺς ἐν αὐτῇ.
5. Εἰς τὴν ἐπουράνιον πόλιν, λέγει.
6. Τίς ἄξιος τῶν αἰωνίων μονῶν;
7. Ὁ πᾶσαν ἀδικίαν ἀπορρίπτων ἀφ' ἑαυτοῦ, καὶ πάντα ποιῶν εἰς τὸ τοῦ Θεοῦ βούλημα.
8. Οὐκ ἠγάπησε τὰ ἐν τῷ κόσμῳ.
9. Οὐκ ἐπιώρκησεν, οὐδὲ ἐψεύσατο.
10, 11. Ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι.
12. Ἀγαπώντων τὸν Κύριον.
13. Ἐπιθυμούντων αὐτὸν θεάσασθαι.
14-19. Περὶ τῆς καταβάσεως λέγει, ἧς ἐποιήσατο τὰ κατώτερα μέρη τῆς γῆς, καὶ ἐσκύλευσε τὸν ᾅδην.
20-24. Περὶ τῆς ἐπανόδου αὐτοῦ λέγει, ἧς ἐποιήσατο εἰς οὐρανούς.

«Ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΚΔ'.

1. Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου·
2. Ὁ Θεός μου, ἐπὶ σοὶ πέποιθα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.
3. Μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου·
4. Καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν.
5. Αἰσχυνθήτωσαν πάντες οἱ ἀνομοῦντες διακενῆς.
6. Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι,
7. Καὶ τὰς τρίβους σου δίδαξόν με.
8. Ὁδήγησόν με ἐν τῇ ἀληθείᾳ σου [ἐπὶ τὴν ἀλήθειάν σου],
9. Καὶ δίδαξόν με ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου·
10. Καί σε ὑπέμεινα ὅλην τὴν ἡμέραν.
11. Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε,
12. Καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν.
13. Ἁμαρτίας νεότητός μου, καὶ ἀγνοίας μου μὴ μνησθῇς·
14. Κατὰ τὸ ἔλεός σου μνήσθητί μου σύ,
15. Ἕνεκεν τῆς χρηστότητός σου, Κύριε.
16. Χρηστὸς καὶ εὐθὺς ὁ Κύριος·
17. Διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.
18. Ὁδηγήσει πραεῖς ἐν κρίσει,
19. Διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.
20. Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια,
21. Τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ, καὶ τὰ μαρτύρια αὐτοῦ.
22. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε,
23. Καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου· πολλὴ γάρ ἐστι.

24. Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον;
25. Νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ἡρετίσατο.
26. Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται·
27. Καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.
28. Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν·
29. Καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς.
30. Οἱ ὀφθαλμοί μου διαπαντὸς πρὸς τὸν Κύριον,
31. Ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.
32. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με·
33. Ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ.
34. Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν·
35. Ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.
36. Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου·
37. Καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.
38. Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν·
39. Καὶ μῖσος ἄδικον ἐμίσησάν με.
40. Φύλαξον τὴν ψυχήν μου, καὶ ῥῦσαί με·
41. Μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.
42. Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε, Κύριε.
43. Λύτρωσαι, ὁ Θεός, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Δαυίδ.» Διπλῶς οὖν ἡ ἐπιγραφὴ νοεῖται, καὶ εἰς τὸν τοῦ Θεοῦ μονογενῆ Υἱόν, καὶ εἰς τοὺς αὐτῷ ἀνακειμένους· ἡ γὰρ ἑρμηνεία τοῦ ὀνόματος τοῦ Δαυὶδ ποτὲ μὲν ἑρμηνεύεται «ἱκανὸς χειρί», ὅπερ οὐχ ἕτερος εἴη τις εἰμὶ [εἰ μὴ] ὁ τοῦ Θεοῦ Υἱός· ποτὲ δὲ «πεποθημένος», ὅπερ φθάνει εἰς τοὺς αὐτῷ προστρέχοντας. Οὕτως οὖν εἰς ἀμφοτέρους τὸν ψαλμὸν εὑρήσεις εἰρημένον· οἱ γὰρ καταφεύγοντες εἰς αὐτόν, τὸν ψαλμὸν αὐτῷ προσφέρουσι. «Ψαλμὸς» οὖν «τῷ Δαυίδ, τῷ [τὸ μὲν] ἵνα προσφέρηται· τὸ δὲ ἵνα προσφέρῃ· δύο γὰρ ἑρμηνειῶν εἴπαμεν εἶναι τὸ Δαυὶδ ὄνομα.

1. Σοὶ προσήγαγον αὐτήν.
2. Μηδὲ ἐν τῷ νῦν, μηδὲ ἐν τῷ μέλλοντι αἰῶνι.
3. Μηδὲ καταπαιξάτωσάν μου.

4, 5. Γέγραπται γάρ· «Ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν·[1]» οὐκοῦν ὁ ὑπομείνας εἰς τὸ τέλος οὗτος σωθήσεται.

6, 7. Νήπιος γάρ εἰμι καὶ δέομαι τῆς σῆς διδασκαλίας.

8, 9. Ὁδήγησόν με τῷ ἁγίῳ σου Πνεύματι.

---

1. Πράξ. 14, 22.

10. Ἡνίκα εἰμὶ ἐν τῷ φωτί, ἀπεκδέχομαί σε, καὶ τὴν ἐπαγγελίαν σου.

11, 12. Μνήσθητι. Κύριε, ὅτι οἰκτίρμων εἶ, καὶ ὅτι ἀπ' αἰῶνος εἴωθε ἐλεεῖν τοὺς προσπίπτοντάς σοι.

13. Λήθην πάντων ποίησον τῶν ἁμαρτιῶν μου, ὧν πεποίημαι νέος ὤν, καὶ ἀγνοίᾳ φερόμενος.

14, 15. «Ἕνεκεν τῆς χρηστότητός σου, Κύριε.» Ὥσπερ μέγα σου τὸ ἔλεός ἐστιν, οὕτως μου μνησθεὶς ἀξίωσόν με τοῦ ἐλέους σου, ἕνεκεν τοῦ εἶναί σε εὐπάροχον [εὐπαράδοχον] καὶ πᾶσιν ἑαυτὸν παρέχειν.

16. Ἐπειδὴ ἀγαθός ἐστι καὶ ἐλεήμων,

17. Διὰ τοῦτο τοὺς ἁμαρτάνοντας ἐπιστρέφει πρὸς αὐτόν.

18, 19. Ὁδηγήσει εἰς ἀλήθειαν τοὺς μὴ ἀνθισταμένους αὐτῷ, καὶ διδάξει τοὺς ὑπακούοντας αὐτῷ, πῶς ἔλθωσιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

20, 21. Πᾶσαι αἱ ἐντολαὶ Κυρίου ἐλεημοσύνη καὶ πίστις εἰσὶ τοῖς θέλουσι πληρῶσαι τὴν Παλαιὰν Διαθήκην [κατὰ τὰ] ὑπὸ τοῦ Κυρίου λαληθέντα, καὶ τῶν ἀποστόλων αὐτῶν.

22, 23. Ὁ ὑπάρχων Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν μου· πολλὴ γάρ ἐστιν.

24. Τίς ἐστιν ἐκεῖνος ὁ ἐννοῶν ἔφορον ἔχειν τὸν Θεόν;

25. Στοιχειώσει αὐτὸν ἐν ταῖς ἐντολαῖς αὐτοῦ.

26. Ἐν τόποις τῆς ἐπουρανίου πόλεως.

27. Τὴν ἄνω λέγει γῆν.

28. Βοηθός ἐστι Κύριος ὁ τῶν φοβουμένων αὐτόν.

29. Διδάξει αὐτοὺς

30. Τῆς καρδίας μου λέγει.

31. Ἀπὸ ἁμαρτιῶν.

32. Πρόσχες τὸ ἀσθενές μου, καὶ ἐλέησόν με.

33. Μηδὲν ἔχων.

34. Αἱ ἁμαρτίαι μου.

35. Ἀπὸ ἁμαρτιῶν.

36, 37. Ἔπιδε, ὅτι χοῦς εἰμι, καὶ πρόσχες τὸ δυνατὸν τῶν ἐπιθεμένων μοι πολεμίων, καὶ σπλαγχνισθεὶς ἄφες πάσας τὰς ἁμαρτίας μου.

38. Τοὺς δαίμονας λέγει.

39. Μηδὲν ἀδικηθέντα ὑπ' ἐμοῦ.

40. Ἐκ τῶν ἐναντίων δυνάμεων.

41. Μὴ ἀλλοτριώσεις με ἑαυτοῦ, ὅτι ἤλπισα, ὅτι προσδέξῃ με.

42. Χαρᾶς ἐπληρούμην μεμνημένος τῶν ἐπαγγελιῶν σου.

43. Τὸν νοῦν, λέγει, τὸν ὁρῶντα τὸν Θεὸν λύτρωσαι.

«Ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΚΕ'.

1. Κρῖνόν μοι, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην·
2. Καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων, οὐ μὴ ἀσθενήσω.
3. Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με·
4. Πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου·
5. Ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μού ἐστι,
6. Καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου.
7. Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος·
8. Καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω.
9. Ἐμίσησα ἐκκλησίαν πονηρευομένων·
10. Καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω.
11. Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου·
12. Καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε,
13. Τοῦ ἀκοῦσαι φωνῆς [Τοῦ ἀκοῦσαί με φωνὴν] αἰνέσεώς σου,
14. Καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου.
15. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου,
16. Καὶ τόπον σκηνώματος δόξης σου.
17. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου,
18. Καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου·
19. Ὧν ἐν χερσὶν αἱ ἀνομίαι.
20. Ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων.
21. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην·
22. Λύτρωσαί σε, Κύριε, καὶ ἐλέησόν με.
23. Ὁ πούς μου ἔστη ἐν εὐθύτητι·
24. Ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Δαυίδ», τουτέστι «Ψαλμὸς τῷ Υἱῷ τοῦ Θεοῦ.» Δαυὶδ γὰρ ἑρμηνεύεται «ἱκανὸς χειρί», ὅπερ ἐστὶν ὁ «Υἱὸς τοῦ Θεοῦ», καθὰ ὁ προφήτης Ἐζεκιὴλ δείκνυται λέγων ἐν τῇ ὀπτασίᾳ τῶν χερουβίμ· «Ὡς φωνὴ παρεμβολῆς.» Οὐκοῦν τῷ εἰπεῖν αὐτόν, «Ὡς φωνὴ ἱκανοῦ, ἀκηκοέναι τὴν φωνὴν εἴρηκε τοῦ Θεοῦ Λόγου. «Ἱκανὸς» γὰρ «χειρὶ» ὁ Θεὸς Λόγος ἂν εἴη. Εἰρήκαμεν γάρ, ὅτι «Ψαλμὸς τῷ Υἱῷ τοῦ Θεοῦ», ἐπειδὴ Δαυὶδ ἑρμηνεύεται «ἱκανὸς χειρί», ὅπερ ἐστὶν ὁ Θεὸς Λόγος, καθὰ ὑπὸ τοῦ προφήτου Ἰεζεκιὴλ μεμαθήκαμεν.

1. Θέλησον, Κύριε, καταδικάσαι ἐμοί, καὶ τοῖς Βαβυλωνίοις, ὅτι ἐγὼ μὲν πάσῃ ἀκακίᾳ κέχρημαι εἰς αὐτούς, [αὐτοὶ] δὲ εἰς ἐμὲ πονηρὰ [πονηρίᾳ].

2. Ἔχω γὰρ τὸν ἐνδυναμοῦντά με Θεόν, εἰς ὃν ἐλπίζω.

3, 4. Ὡς καρδιογνώστης οἶδας πάντα τὰ ἐν ἐμοί, πῶς εἰσι περὶ σέ.

5. Ὅτι τὸ ἔλεός σου, ὃ προσέταξάς μοι ποιεῖν εἰς τοὺς χρείαν ἔχοντας, πρὸ ὀφθαλμῶν μού ἐστιν.

6. Καὶ ἐν τῷ ποιεῖν με τοῦτο πιστὸς εὑρέθην ἐνώπιόν σου.

7. Οὐ συνανεπαυσάμην γογγυσμοῖς πονηροῖς.

8. Οὐδὲ συνεθέμην αὐτοῖς.

9. Πλῆθος, λέγει, ἐμίσησα ἐπανισταμένων κατὰ τοῦ ποιήσαντος αὐτούς.

10. Οὐ μὴ συνεδρεύσω.

11. Τὰς τῆς ψυχῆς χεῖρας λέγει.

12. Καὶ λειτουργήσω σοι.

13, 14. Τὴν ἀνάγνωσιν λέγει· «Καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου.»

15. Τὸν λαὸν τὸν πιστόν.

16. Ἔνθα κατοικεῖς.

17. Μὴ στήσῃς με ἐξ ἀριστερῶν σου.

18. Ἀνθρωποκτόνων.

19. Τῶν διὰ πλοῦτον ἐκκλινόντων.

20. Ἕτοιμοι ἦσαν ἀεὶ συναινεῖν ἐν πάσῃ ἀδικίᾳ.

21. Οὐκ ἐν δόλῳ, οὐκ ἐν μνησικακίᾳ.

22. Καὶ τοῦ νῦν αἰῶνος τοῦ πονηροῦ λύτρωσαί με, καὶ ἐν τῇ μελλούσῃ κρίσει ἐλέησόν με.

«Ψαλμὸς τῷ Δαυίδ, πρὸ τοῦ χρισθῆναι.» ΨΑΛΜ. ΚϚʹ.

1. Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι;

2. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω;

3. Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας, τοῦ φαγεῖν τὰς σάρκας μου·

4. Οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν καὶ ἔπεσαν.

5. Ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου·

6. Ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω [ἐλπιῶ].

7. Μίαν ᾐτησάμην παρὰ Κυρίου, ταύτην ζητήσω,

8. Τοῦ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

9. Τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίου,

10. Καὶ ἐπισκέπτεσθαι τὸν ναὸν τὸν ἅγιον αὐτοῦ.

11. Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ,

12. Ἐν ἡμέρᾳ κακῶν μου ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ.

13. Ἐν πέτρᾳ ὕψωσέ με.

14. Καὶ νῦν ἰδοὺ ὕψωσε κεφαλήν μου ἐπ' ἐχθρούς μου.
15. Ἐκύκλωσα, καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν αἰνέσεως καὶ ἀλαλαγμοῦ·
16. Ἄσω καὶ ψαλῶ τῷ Κυρίῳ.
17. Εἰσάκουσον, Κύριε, τῆς φωνῆς μου, ἧς ἐκέκραξα πρὸς σέ·
18. Ἐλέησόν με, καὶ εἰσάκουσόν μου.
19. Σοὶ εἶπεν ἡ καρδία μου· Κύριον ζητήσω.
20. Ἐξεζήτησέ σε τὸ πρόσωπόν μου·
21. Τὸ πρόσωπόν σου, Κύριε, ζητήσω.
22. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ.
23. Καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου.
24. Βοηθός μου γενοῦ, μὴ ἀποσκορπίσῃς με·
25. Καὶ μὴ ἐγκαταλίπῃς με, ὁ Θεὸς ὁ σωτήρ μου.
26. Ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με·
27. Ὁ δὲ Κύριος προσελάβετό με.
28. Νομοθέτησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου·
29. Καὶ ὁδήγησόν με, ἐν τρίβῳ εὐθείᾳ ἕνεκα τῶν ἐχθρῶν μου.
30. Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με·
31. Ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι,
32. Καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.
33. Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων.
34. Ὑπόμεινον τὸν Κύριον.
35. Ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Δαυίδ, πρὸ τοῦ χρισθῆναι.» Πρὸ τοῦ φωτίσματος εἰς τοὺς κατηχουμένους εἴρηται ὁ ψαλμὸς τῷ Δαυὶδ εἰπεῖν τῷ Δαυὶδ [εἶπε τῷ Δαυίδ], τουτέστι «τοῖς ἐξουθενημένοις·» τοῦτο γὰρ ἑρμηνεύεται τὸ τοῦ Δαυὶδ ὄνομα, «ἐξουθένημα.» Λέγεται δὲ καὶ «ἱκανὸς χειρί», καὶ «πεποθημένος», καὶ «τοῦτον ἐπόθησα», καὶ «οὗτος ἀγαπητός», καὶ τὸν «πεποθημένον» [ὁ πεποθημένος], καὶ «μόνος.» Λοιπὸν πρὸς τὴν ἀκολουθίαν τοῦ ψαλμοῦ τὴν ἑρμηνείαν τοῦ ψαλμοῦ λαμβάνομεν [τοῦ ὀνόματος Δαυὶδ λαμβάνομεν].

1. Κύριος φωτίζων, καὶ σῴζων με ἐκ πάντων, «τίνα φοβηθήσομαι;»
2. Κύριος πρόνοιαν ποιεῖται τῆς ζωῆς μου, «ἀπὸ τίνος δειλιάσω;»
3. Τοὺς δαίμονας λέγει.
4. Τὰς αὐτὰς ἐναντίας δυνάμεις λέγει.

5, 6. 'Εὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος ὁρατὸς ἢ ἀόρατος, ἐν τῇ πίστει τοῦ Κυρίου ἐγὼ ἐλπίζω τροποῦσθαι αὐτόν.

7. Μίαν αἴτησιν ᾐτησάμην παρὰ Κυρίου.

8. Εἰς τὴν ἐπουράνιον αὐτοῦ βασιλείαν.

9,10. Τὴν δόξαν αὐτοῦ.

11. Φυλάττειν με ἐν ἁγνείᾳ, τὴν ψυχὴν καὶ τὰ μέλη μου.

12. 'Ασθενοῦντά με ἐν ἁμαρτίαις ἰάσατο ἐν τῷ βαπτίσματι αὐτοῦ, καὶ ἑαυτόν με ἐνέδυσε. Τὸ γὰρ φωτιστήριον ἀπόκρυφόν ἐστι τῆς 'Εκκλησίας.

13. 'Ωκοδόμησέ με ὁ Κύριος ἐν αὐτῷ.

14. Ἄρχειν με τῶν ἐχθρῶν μου πεποίηκεν.

15. 'Εν καθαρᾷ διανοίᾳ μου τὴν εὐχήν μου ἀνέπεμψα αὐτῷ.

16. Αἰνῶν αὐτόν, καὶ βοῶν ἐν ἀγαλλιάσει πρὸς αὐτόν.

17, 18. Διηγεῖται τὴν εὐχήν.

19. Συνεταξάμην σοι.

20, 21. 'Η ψυχή μου θεωρῆσαί σε ἐπιθυμεῖ.

22. Μὴ ἀντανέλῃς τὸ Πνεῦμά σου τὸ ἅγιον ἀπ' ἐμοῦ.

23. Μὴ ὀργισθεὶς ἐγκαταλείψῃς με.

24, 25. Μὴ ἐκλείψῃ τὸ φῶς σου ἀπ' ἐμοῦ, ἵνα μὴ τυφλωθῶ εἰς ὅρασιν τῆς διανοίας μου.

26, 27. Μηδεμίαν ἀντίληψιν ἔχοντος, σοὶ περιποίησαί με.

28. 'Επίστησόν με τὸν νόμον σου

29. Καὶ τὸν 'Ιωσὴφ πλανώμενον ὁδήγησον.

30. Διὰ τοὺς ἐχθρούς μου μὴ ἐάσῃς με.

31. Διδάσκαλοι αἱρετικῶν.

32. Καὶ ψεῦδός ἐστιν ἡ διδασκαλία αὐτῶν, ἣν ἑαυτοῖς ἐφεῦρον, καὶ οὐχὶ παρὰ σοῦ.

33. Ἃ ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν.

34. «Ὁ γὰρ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.»

35. Μὴ ἐκλυέσθω, ἀλλὰ δυναμούσθω ἡ καρδία σου· «καὶ ὑπόμεινον τὸν Κύριον.»

«Ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΚΖ'.

1. Πρὸς σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου·

2. Μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ.

3. Μήποτε παρασιωπήσῃς ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

4. Εἰσάκουσον, Κύριε, τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ δέεσθαί με πρὸς σέ,

5. 'Εν τῷ αἴρειν με χεῖράς μου πρὸς ναὸν ἅγιόν σου.

6. Μὴ συνελκύσῃς με μετὰ ἁμαρτωλῶν [Μὴ συνελκύσῃς μετὰ τῶν ἁμαρτωλῶν τὴν ψυχήν μου]·

7. Καὶ μετὰ ἐργαζομένων ἀδικίαν μὴ συναπολέσῃς με·
8. Τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίων αὐτῶν·
9. Κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν.
10. Δὸς αὐτοῖς, Κύριε, κατὰ τὰ ἔργα αὐτῶν,
11. Καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν.
12. Κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς·
13. Ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς.
14. Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα Κυρίου,
15. Καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ.
16. Καθελεῖς αὐτούς, καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς.
17. Εὐλογητὸς Κύριος, ὅτι εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.
18. Κύριος βοηθός μου καὶ ὑπερασπιστής μου.
19. Ἐπ αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην.
20. Καὶ ἀνέθαλεν ἡ σάρξ μου·
21. Καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ.
22. Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ·
23. Καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ Χριστοῦ αὐτοῦ ἐστιν.
24. Σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.
25. Καὶ ποίμανον αὐτούς, καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «[Ψαλμὸς] τῷ Δαυίδ·» ὡσανεὶ προσευχὴ τοῦ λαοῦ, τοῦ ἑαυτὸν χωρήσαντος τοῦ κόσμου. Δαυὶδ γὰρ ἑρμηνεύεται «μόνος.»

1. Στενάξω πρὸς σέ.

2. Μὴ παρακούσῃς μου.

3. Μήποτε ἀφρόντιστόν με ἐάσῃς καὶ ἐξισωθῶ τοῖς ἑαυτοῖς ἐπιρρίπτουσιν ἐν ἁμαρτίαις.

4. «Εἰσάκουσον, Κύριε, τῆς φωνῆς τῆς δεήσεώς μου» ἐν τῷ προσφέρειν αὐτὴν ἐνώπιόν σου.

5. Ἐν τῷ αἴρειν με τὴν διάνοιάν μου εἰς τὸν οὐρανόν.

6. Μὴ παράδος με τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ τῷ αἰωνίῳ πυρί.

7,9. Τῶν δαιμόνων, καὶ ὑποκριτῶν, καὶ μανιαστῶν.

10. Καθὼς εἰσι δισσοί, δὸς αὐτοῖς δισσὸν σύντριμμα.

11. Καθὼς τὰς ἀδικίας αὐτῶν.

12, 13. Καθὼς πονηρὰ εἰώθασιν ἑκάστῳ διδόναι, οὕτως δὸς αὐτοῖς.

14, 15. Ὅτι ἔργα Κυρίου εἰδέναι οὐ θέλουσιν, οὐδὲ τὰ δικαιώματα αὐτοῦ.

16. Πατάξεις αὐτούς, καὶ οὐ μὴ ἰάσῃ· οὐ γὰρ μετανοήσουσιν.

17. «Εὐλογητὸς Κύριος, ὅτι» ἐπλήρωσε «τὴν φωνὴν τῆς δεήσεώς μου.»
18. Κύριος σκέπων με, καὶ ἐπανιστάμενος τοῖς ἐχθροῖς μου.
19. Αὐτῷ ἑαυτὴν ἐξέδωκεν ἡ καρδία μου, καὶ ἐνεδυναμώθη ὑπ' αὐτοῦ.
20. 'Εν τῇ ἀναστάσει.
21. Προθύμως δουλεύσω σοι, καὶ ἐκδώσω σοι ἐμαυτόν.
22. Κύριος δύναμις τοῦ λαοῦ αὐτοῦ.
22. Τῶν ἁγίων τοῦ Υἱοῦ αὐτοῦ ὑπερασπιστής ἐστιν.
24. Καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι.
25. Δόξασον αὐτοὺς ἐν τῇ βασιλείᾳ σου.

«Ψαλμὸς τῷ Δαυίδ, ἐξόδου σκηνῆς.»
ΨΑΛΜ. ΚΗ'.

1. 'Ενέγκατε τῷ Κυρίῳ, υἱοὶ Θεοῦ·
2. 'Ενέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν.
3. 'Ενέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν·
4. 'Ενέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ·
5. Προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.
6. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων.
7. 'Ο Θεὸς τῆς δόξης ἐβρόντησε·
8. Κύριος ἐπὶ ὑδάτων πολλῶν.
9. Φωνὴ Κυρίου ἐν ἰσχύϊ·
10. Φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ.
11. Φωνὴ Κυρίου συντρίβοντος κέδρους·
12. Καὶ συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου·
13. Καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τοῦ [τὸν] Λιβάνου·
14. Καὶ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων.
15. Φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρός.
16. Φωνὴ Κυρίου συσσείοντος ἔρημον·
17. Καὶ συσσείσει Κύριος τὴν ἔρημον Κάδης.
18. Φωνὴ Κυρίου καταρτιζομένη ἐλάφους·
19. Καὶ ἀποκαλύψει δρυμούς.
20. Καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν.
21. Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ·
22. Καὶ καθιεῖται Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα.
23. Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει.
24. Κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.

'Αθανασίου 'Ερμηνεία.

'Η προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Δαυίδ, ἐξόδου σκηνῆς·» τουτέστιν, ὁ ψαλμὸς τῷ Δαυὶδ εἴρηται, περὶ ὧν ὀφείλει

ἕκαστος προσφέρειν Θεῷ, τὸ ἀγαθὸν [τῶν ἀγαθῶν] ἐκ τῆς καρδίας αὐτοῦ, ἔργῳ καὶ λόγῳ· ἐκ γὰρ τῆς καρδίας ἐκπορεύονται πάντα. Διὰ τοῦτο εἶπεν· «Ἐξόδου σκηνῆς», λέγω δὴ τὰ ἐκπορευόμενα ἐκ τῆς καρδίας.

1. Τοὺς ἀποστόλους λέγει.
2. Τοὺς μαθητὰς τῶν ἀποστόλων.
3. Τὸν ἐξ Ἰουδαίων καὶ ἐξ ἐθνῶν λαόν.
4. Τοὺς πιστεύσαντας τῷ Κυρίῳ καὶ ἐλπίσαντας τῷ ὀνόματι αὐτοῦ.
5. Ἐν τῇ ἄνω Ἱερουσαλήμ.
6. Τὸ κήρυγμα εἰς τὰ ἔθνη.
7. Τὸ Πνεῦμα τὸ ἅγιον τὴν ἑαυτοῦ παρουσίαν ἐπὶ τοὺς ἀποστόλους.
8. Ὁμοίως ἐν τοῖς ἔθνεσι τὸ κήρυγμα αὐτοῦ.
9. Τὸ κήρυγμα αὐτοῦ ποιῶν δυνάμεις.
10. Τὸ ὄνομα Κυρίου ἐνδοξαζόμενον.
11. Τοὺς δαίμονας λέγει.
12. Τοὺς διδασκάλους τῶν Ἰουδαίων λέγει.
13. Οὕτως συντρίψει τοὺς ἄρχοντας καὶ τὸν λαὸν τῶν Ἰουδαίων, ὡς μόσχον ὃν ἐποίησαν ἐν τῇ ἐρήμῳ, ὃν ἐλέπτυνε Μωϋσῆς.
14. Καὶ ὁ λαὸς ὁ πιστὸς ἔχει κατὰ τοῦ μετώπου αὐτοῦ κέρας ὑψηλόν, ὡς υἱὸς μονοκερώτων.
15. Ὅτε εἶπε τῷ λῃστῇ· «Μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.[1]»
16. Ἀκίνητον ὄντα τὸν κόσμον τῆς εἰδωλολατρείας μετήγαγεν εἰς πίστιν ὁ λόγος αὐτῶν.
17. Κάδης ἑρμηνεύεται «διηλλαγμένη·» τὸν κόσμον οὖν λέγει, ὃν μετέβαλεν εἰς ἐπίγνωσιν ἑαυτοῦ,
18. Τοὺς ἀποστόλους.
19. Τὰ ἔθνη λέγει.
20. Καὶ πάντες ἐν τῷ ναῷ αὐτοῦ δοξάσουσιν αὐτόν.
21. Τὸ βάπτισμα λέγει.
22. Ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ.
23. Τὸ Πνεῦμα τὸ ἅγιον λέγει.
24. Ὁ Πατὴρ ἐν τῷ Υἱῷ αὐτοῦ εὐλογήσει τοὺς πιστούς.

«Εἰς τὸ τέλος, ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου Δαυίδ.»

ΨΑΛΜ. ΚΘ'.

1. Ὑψώσω σε, Κύριε, ὅτι ὑπέλαβές με·
2. Καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς μου ἐπ' ἐμέ.

---

1. Λουκ. 23, 43.

3. Κύριε ὁ Θεός μου, ἐκέκραξα πρός σέ, καὶ ἰάσω με.
4. Κύριε, ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου·
5. Ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.
6. Ψάλατε τῷ Κυρίῳ, οἱ ὅσιοι αὐτοῦ·
7. Καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ [τὴν μνήμην] τῆς ἁγιωσύνης αὐτοῦ.
8. Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ,
9. Καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ.
10. Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμός.
11. Καὶ εἰς τὸ πρωὶ ἀγαλλίασις.
12. Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου· Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα.
13. Κύριε, ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν·
14. Ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος.
15. Πρὸς σέ, Κύριε, κεκράξομαι·
16. Καὶ πρὸς τὸν Θεόν μου δεηθήσομαι.
17. Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν;
18. Μὴ ἐξομολογήσεταί σοι χοῦς·
19. Ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου;
20. Ἤκουσε Κύριος, καὶ ἠλέησέ με
21. Κύριος ἐγενήθη βοηθός μου.
22. Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί·
23. Διέρρηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην.
24. Ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ·
25. Κύριε ὁ Θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου τοῦ Δαυΐδ.» Τοῦτο οὖν λέγει· Ὁ ψαλμὸς τῆς ᾠδῆς ταύτης εἴρηται, ἐπειδὴ εἰς τὸ τέλος τοῦ αἰῶνος καινοποιήσει τοὺς πιστοὺς πάντας ὁ Κύριος, ἀναστὰς ἐκ νεκρῶν· οἶκος γὰρ αὐτοῦ ἡμεῖς ἐσμεν, καθὼς εἶπεν· «Ἐνοικήσω ἐν αὐτῷ καὶ ἐμπεριπατήσω[1]», καὶ ὅτι τὴν βασιλείαν αὐτοῦ εἰσάγει αὐτούς.

1. Δοξάσω σε, Κύριε, ὅτι ἀνακαλέσομαι.
2. Τὰς ἐναντίας δυνάμεις.
3. Ἐκ τῆς καρδίας μου ἐκέκραξα.
4. Ἐκ τῆς ἁμαρτίας.
5. Τῶν δαιμόνων.

1. Β' Κορ. 6, 16.

6. Οἱ καθαροὶ τῇ καρδίᾳ.
7. Ἐν τῷ μνημονεύειν ὑμᾶς τοῦ Κυρίου, δοξάσατε αὐτόν.
8. Ἐν τῇ ἀγανακτήσει αὐτοῦ ὀργὴ ἐπέρχεται, καθ' ὧν ἀγανακτεῖ.
9. Ἐν ταῖς ἐντολαῖς αὐτοῦ.
10. Ἐν τῇ ἁμαρτίᾳ πένθος ἐστί.
11. Καὶ ἐν τοῖς ἔργοις τοῦ φωτὸς ἀγαλλίασις.
12. Ἐγὼ δέ, ὅταν ἥμαρτον, ἔλεγον· Οὐ μὴ ἐπέλθῃ ἐπ' ἐμὲ κακά.
13. Σὺ δέ, πρὸ τοῦ ἁμαρτεῖν με, ἔδωκας τῇ ψυχῇ μου τὴν χάριν σου.
14. Ὕστερον δὲ ἡμαρτηκότος μου, ἀπεστράφης με, καὶ ἐν ἀγῶνι πολλῷ ἐγενόμην μνημονεύων τῆς ἡμέρας τῆς κρίσεως.
15. Πρὸς σὲ τὸν ποιητήν μου βοήσομαι.
16. Καὶ πρὸς σὲ τὸν ἔφορόν μου δεηθήσομαι.
17. Ἔλεγον ἐμαυτῷ· Τίς ὠφέλεια τῇ ψυχῇ μου ἐν τῷ ἁμαρτάνειν με;
18, 19. Ἢ μετὰ τὸ ἀποθανεῖν ἐξομολογήσασθαί σοι δύναμαι;
20, 21. «Κύριος ἐγενήθη βοηθός μου», ταῦτά μου προσευχομένου.
22. Τὸ πένθος τῆς ἁμαρτίας μου.
23. Τὴν ἁμαρτίαν μου διέρρηξας, καὶ περιέζωσάς με τὴν χάριν σου.
24. Ὅπως ἂν ψάλῃ σοι ἡ καρδία μου, καὶ οὐ μὴ μεταμεληθῶ.
25. Οὐκ ἐν καιρῷ μὴ δουλώσω σοι ἐμαυτόν, ἀλλ' εἰς τὸν αἰῶνα.

«Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυὶδ ἐκστάσεως.»

ΨΑΛΜ. Λ'.

1. Ἐπὶ σοί, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.
2. Ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ ἐξελοῦ με.
3. Κλῖνον πρός με τὸ οὖς σου·
4. Τάχυνον τοῦ ἐξελέσθαι με.
5. Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν.
6. Καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με.
7. Ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σύ·
8. Καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με, καὶ διαθρέψεις με.
9. Ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι·
10. Ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου, Κύριε,
11. Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου·
12. Ἐλυτρώσω με, Κύριε ὁ Θεὸς τῆς ἀληθείας.
13. Ἐμίσησας τοὺς [πάντας τοὺς] διαφυλάσσοντας ματαιότητας διακενῆς.

14. Ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἤλπισα·
15. Ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου.
16. Ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν σου·
17. Ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου·
18. Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν.
19. Ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου.
20. Ἐλέησόν μου, Κύριε, ὅτι θλίβομαι·
21. Ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου,
22. Ἡ ψυχή μου, καὶ ἡ γαστήρ μου.
23. Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου·
24. Καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς.
25. Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου·
26. Καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν.
27. Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος.
28. Καὶ τοῖς γείτοσί μου σφόδρα.
29. Καὶ φόβος τοῖς γνωστοῖς μου.
30. Οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ' ἐμοῦ·
31. Ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας·
32. Ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός.
33. Ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν·
34. Ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ' ἐμέ,
35. Τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο.
36. Ἐγὼ δὲ ἐπὶ σοί, Κύριε, ἤλπισα.
37. Εἶπα· Σὺ εἶ ὁ Θεός μου·
38. Ἐν ταῖς χερσί σου οἱ κλῆροί μου.
39. Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου,
40. Καὶ ἐκ τῶν καταδιωκόντων με.
41. Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου·
42. Σῶσόν με ἐν τῷ ἐλέει σου.
43. Κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε.
44. Αἰσχυνθείησαν ἀσεβεῖς, καὶ καταχθείησαν εἰς ᾄδου.
45. Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια.
46. Τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν,
47. Ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει.
48. Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε·
49. Ἧς ἔκρυψας τοῖς φοβουμένοις σε.
50. Ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σέ,
51. Ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων.
52. Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου,
53. Ἀπὸ ταραχῆς ἀνθρώπων·
54. Σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν.
55. Εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς.

56. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου·
57. Ἀπέρριμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου.
58. Διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ.
59. Ἀγαπήσατε τὸν Κύριον, πάντες οἱ ὅσιοι αὐτοῦ.
60. Ὅτι ἀληθείας ἐκζητεῖ Κύριος.
61. Καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν.
62. Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν,
63. Πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Δαυίδ, ἐκστάσεως», τουτέστι τὸν ψαλμὸν εἴρηκεν ὁ Δαυὶδ εἰς τοὺς τελείως ἐκστάντας ἀπὸ τῆς ἁμαρτίας, καὶ ἐπιστρέψαντας ἐπὶ τὸν Κύριον.

1. Τὴν μέριμνάν μου πᾶσαν ἐπὶ σὲ ἔχων.
2. Μὴ ἀδόκιμος γένωμαι, Κύριε.
3. Εὐμενῆ μοι τὰ ὦτα παράσχου.
4. Καὶ σπεῦσον τοῦ ἐξελέσθαι με.
5. «Γενοῦ μοι εἰς Θεὸν» ἀντιποιούμενόν μου.
6. Ὁ γὰρ ἐρχόμενος πρὸς σὲ οὐ μὴ ἐξέλθῃ ἔξω.
7. Ὅτι ἰσχύς μου καὶ τεῖχός μου εἶ σύ.
8. Καὶ διὰ τοῦ ὀνόματός σου ὁδήγησόν με, καὶ διάθρεψόν με ἐν τοῖς δικαιώμασί μου.
9. Τῆς ἐνοικούσης ἐν τῇ καρδίᾳ μου ἁμαρτίας.
10. Ὅτι σὺ εἶ ὁ σκεπαστής μου, Κύριε.
11. Τὴν ψυχήν μου, λέγει.
12. Ἐλυτρώσω με τῆς δουλείας τοῦ ψεύδους ὁ τοῦ λαοῦ τῆς ἀληθείας Θεός.
13. Ἐμίσησας τοὺς ἐπιμένοντας τῇ ἁμαρτίᾳ.
14. Τῷ ἐκτὸς πλάνης παρέχοντι.
15. Ἐν τῷ ἐλεεῖσθαί με ὑπὸ σοῦ ἀγαλλιάσομαι, καὶ εὐφρανθήσομαι ἐν τῇ καρδίᾳ μου.
16. Ὅτι προσέσχες τῇ ἀσθενείᾳ μου.
17. Ἐκ τῶν ἁμαρτιῶν.
18. Τοῦ διαβόλου.
19. Ἐν ταῖς ἐντολαῖς σου.
20. Ὅτι ἐν τοῖς προλαβοῦσι χρόνοις μου ἥμαρτόν σοι.
21. Ὑπὸ τοῦ διαβόλου ἡ διάνοιά μου.
22. Καὶ ἡ γαστήρ, λέγει, τῆς ψυχῆς μου· λέγω δή, ἔνθα συνέλαβεν τὴν ἁμαρτίαν.
23. Ἐν ἁμαρτίᾳ, λέγει.
24. Ὁ πᾶς χρόνος μου βαρούμενος ὑπὸ ἁμαρτιῶν.

25. Ἐν ἀβοηθησίᾳ.

26. Συμπέφυρμαι τῇ ἁμαρτίᾳ.

27. Πάντες, λέγει, οἱ ἐχθροί μου, τουτέστιν οἱ δαίμονες μετὰ τὸ ἁμαρτῆσαί με, ὀνειδίζουσί με.

28. Οἱ ἐν ἐμοὶ μένοντες.

29. Οἱ δὲ γνῶσιν ἔχοντες ὁρῶντές με φοβοῦνται, μὴ δὲ αὐτοὶ οὕτως ἡττηθῶσιν.

30. Οἱ ἄγγελοι σου ἀφίσταντο ἀπ' ἐμοῦ.

31. Ὡσεὶ νεκρὸς λήθη γίνεται ἀπὸ καρδίας τῶν ζώντων, οὕτως κἀγὼ ἐγενόμην.

32. Ἄχρηστον λέγει.

33. Ὅτι ἀκούω τῶν δαιμόνων ὀνειδιζόντων με ἐν τῇ καρδίᾳ μου.

34, 35. Ἐπὶ τὸ αὐτὸ γεγόνασι τοῦ αἰχμαλωτίσαι με.

36, 37. Ἐγὼ δὲ ἐπὶ σοὶ ἤλπισα, ὅτι ἐξ αὐτῶν λυτρώσῃ με· σὺ γὰρ εἶ ὁ Θεός μου.

38. Ἐν ταῖς χερσί σου ἔθηκα τὴν ψυχήν μου.

39, 40. Τῶν ἐναντίων δυνάμεων, λέγει.

41, 42. Ἐπισκοπὴν ποίησόν μου τοῦ δούλου σου, καὶ σῶσόν με ἐν τῷ ἐλέει σου.

43. Μὴ παρακούῃς μου.

44. Οἱ δαίμονες.

45. Αἱ εἰσβολαὶ τῶν ἀκαθάρτων πνευμάτων.

46. Κατὰ τοῦ Θεοῦ καὶ τῶν αὐτοῦ.

47. Ἐν ἀλαζονείᾳ καὶ ὑπεροψίᾳ.

48, 49. Τῶν ἀγαθῶν σου, ὧν ἡτοίμασας τοῖς ἁγίοις σου.

50. Ἀσύγκριτα ηὐτρέπισας τοῖς ἐλπίζουσιν ἐπὶ σέ.

51. Ἐνώπιον τῶν ἐξ ἀριστερῶν ἑστώτων.

52. Φυλάξεις αὐτοὺς ἐν τῷ Υἱῷ σου.

53. Ἀπὸ δυναστείας ἀνθρώπων ῥυσάμενος τῇ χάριτί σου.

54. Φυλάξεις αὐτοὺς ἐν τῇ σκηνῇ, ἣν ἔπηξεν ὁ Κύριος ἐν τοῖς οὐρανοῖς.

55. Ἐπλήθυνε τὸ ἔλεος αὐτοῦ ἐπὶ τὸν λαὸν τὸν πιστόν.

56, 57. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἁμαρτίᾳ μου.

58. Διὰ τὸ ἐξομολογήσασθαί σοι τὰς ἁμαρτίας μου ἐν ταπεινώσει τῆς καρδίας μου, εἰσήκουσας τοῦ ὀδυρμοῦ τῆς ψυχῆς μου.

59. Πάντες οἱ μισοῦντες πονηρά, ἀγαπήσατε τὸν Κύριον.

60. Ἀγαθὰ ἔργα.

61. Τοῖς ποιοῦσιν ἁμαρτίαν, λέγει.

62. Μὴ ἐκλύσθωσαν ὑμῶν αἱ καρδίαι, ἀλλὰ δυναμούσθωσαν.

63. Πάντες οἱ τὴν ἐλπίδα ἔχοντες ἐπὶ Κύριον.

«Ψαλμὸς τῷ Δαυίδ· συνέσεως.» ΨΑΛΜ. ΛΑ΄.

1. Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι·
2. Καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.
3. Μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν·
4. Οὐδέ ἐστιν ἐν τῷ στόματι αὐτοῦ δόλος.
5. Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου,
6. Ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν.
7. Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου·
8. Ἐστράφην εἰς ταλαιπωρίαν, ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν.
9. Τὴν ἀνομίαν μου ἐγνώρισα·
10. Καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα.
11. Εἶπα· Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ·
12. Καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου·
13. Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος ἐν καιρῷ εὐθέτῳ·
14. Πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν, πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι.
15. Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με.
16. Τὸ ἀγαλλίαμά μου, λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με.
17. Συνετιῶ σε, καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ, ᾗ πορεύσῃ·
18. Ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου.
19. Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις.
20. Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαι.
21. Τῶν μὴ ἐγγιζόντων πρὸς σέ.
22. Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ·
23. Τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει.
24. Εὐφράνθητε ἐπὶ Κύριον, καὶ ἀγαλλιᾶσθε, δίκαιοι·
25. Καὶ καυχᾶσθε, πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «[Ψαλμὸς τῷ Δαυὶδ] τοῦ Δαυὶδ συνέσεως.» Τοῦτο οὖν σημαίνει, ὅτι οἱ ἡμαρτηκότες εἰς σύνεσιν ἐρχόμενοι ἐπιστρέφουσι. Δαυὶδ γὰρ ἑρμηνεύεται «ἐξουδένωμα», ὅπερ ἐστὶν οἱ ἡμαρτηκότες.

1, 2. Τοὺς ἐν τῷ βαπτίσματι λέγει.
3. Ἐν ἡμέρᾳ κρίσεως.
4. Ψεῦδος λέγει.
5, 6. Ὅτι ἐσίγησα ἀπὸ τοῦ εὔχεσθαί με ἀδιαλείπτως, καὶ ἠφανίσθην ἀπὸ τῆς ἁμαρτίας.
7. Καὶ λοιπὸν νυκτὸς καὶ ἡμέρας ὠργίζου μοι.

8. «Ἐστράφην εἰς ταλαιπωρίαν·» εἰς τὴν ἁμαρτίαν, ἐξ ἧς ἐρρύσω με· καὶ ἐκολλήθησάν μοι ἁμαρτίαι.

9, 11. Εἶπα ἐπιστρέψας πρὸς σέ· Ἐξομολογήσομαί σοι λέγων· «Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανόν, καὶ ἐνώπιόν σου· οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου.[1]»

12. Σὺ δὲ μόνον ἀκούσας ταῦτα λέγοντος, εἶπας· «Οὗτος ὁ υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησεν· ἀπολωλὼς ἦν, καὶ εὑρέθη.[2]»

13. Καὶ λοιπὸν πάντες οἱ ἄγγελοί σου χαίροντες ἐδόξασάν σε δι' ἐμέ.

14. Διὰ τῶν δακρύων αὐτοῦ ἐξαλείφονται αἱ ἁμαρτίαι αὐτοῦ.

15. Ταῦτα βοᾷ ὁ ἐπιστρέφων μετὰ δακρύων.

16. Τῶν ἁμαρτιῶν μου, λέγει.

17. Ὁ δὲ Κύριος πρὸς αὐτὸν λέγει· Ἐγώ σε διδάσκω [διδάξω] ἐν ποίᾳ ὁδῷ πορεύσῃ.

18. Καὶ φυλάξω σε ἐν αὐτῇ.

19. Καὶ μηκέτι ἁμάρτανε, ὡς μὴ ἔχων σύνεσιν.

20. Ἀλλὰ τὸ σῶμά σου καὶ τὴν ψυχὴν χαλιναγωγῶν δουλαγώγει, ὅταν μὴ πείθονταί σοι.

21. Τῶν μὴ πειθομένων σοι.

22. Πολλαί σου ἦσαν αἱ μάστιγες.

23. Ἀλλ' ἐπειδὴ ἤλπισας ἐπὶ τὸ ἔλεός σου, ἐρρύσθης ἀπ' αὐτῶν.

24. Εὐφροσύνην αἰώνιον καὶ ἀγαλλίασιν.

25. «Ὁ γὰρ καυχώμενος ἐν Κυρίῳ καυχάσθω.[3]»

«Ψαλμὸς τῷ Δαυίδ. Ἀνεπίγραφος παρ' Ἑβραίοις.»

ΨΑΛΜ. ΛΒ'.

1. Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ·
2. Τοῖς εὐθέσι πρέπει αἴνεσις.
3. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ἐν κιθάρᾳ·
4. Ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ.
5. Ἄσατε αὐτῷ ᾆσμα καινόν·
6. Καλῶς ψάλατε αὐτῷ ἐν ἀλαλαγμῷ.
7. Ὅτι εὐθὺς ὁ λόγος τοῦ Κυρίου·
8. Καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει.
9. Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν ὁ Κύριος·
10. Τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ.
11. Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν·
12. Καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.
13. Συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης·
14. Τιθεὶς ἐν θησαυροῖς ἀβύσσους.

---

1. Λουκ. 15, 21. 2. Λουκ. 15, 32. 3. Α' Κορ. 1, 31.

15. Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ·
16. 'Απ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.
17. Ὅτι αὐτὸς εἶπε, καὶ ἐγεννήθησαν·
18. Αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.
19. Κύριος διασκεδάζει βουλὰς ἐθνῶν·
20. 'Αθετεῖ δὲ λογισμοὺς λαῶν·
21. Καὶ ἀθετεῖ βουλὰς ἀρχόντων.
22. Ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει·
23. Λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.
24. Μακάριον τὸ ἔθνος, οὗ ἐστι Κύριος ὁ Θεὸς αὐτοῦ·
25. Λαός, ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ [ἑαυτοῦ].
26. 'Εξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος·
27. Εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων.
28. 'Εξ ἑτοίμου κατοικητηρίου αὐτοῦ,
29. 'Επέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν,
30. Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν·
31. Ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν.
32. Οὐ σῴζεται βασιλεὺς διὰ πολλὴν δύναμιν·
33. Καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ.
34. Ψευδὴς ἵππος εἰς σωτηρίαν·
35. 'Εν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται.
36. 'Ιδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν·
37. Τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ·
38. Ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν·
39. Καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ.
40. Ἡ δὲ ψυχὴ ἡμῶν ὑπομένει τῷ Κυρίῳ·
41. Ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστιν·
42. Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν·
43. Καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν.
44. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

'Αθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ παρέχει [περιέχει· «Ψαλμὸς] τῷ Δαυΐδ.» Δαυῒδ γὰρ ἑρμηνεύεται «πεποθημένος», ὅπερ ἐστὶ λαβεῖν εἰς τὸν χορὸν τῶν ἁγίων, ὅτι πεποθημένος ἐστὶν ὑπὸ τοῦ Κυρίου. «Τῷ» οὖν «πεποθημένῳ» χορῷ εἴρηται ὁ ψαλμός, τουτέστι τοῖς οὖσι κατὰ τὸν Δαυῒδ τῇ ἑρμηνείᾳ τοῦ ὀνόματος καὶ ταῖς ἐντολαῖς.

1. Χαίρετε πάντοτε ἐν Κυρίῳ.
2. Τοῖς εὐθέσι πρέπει αἰνεῖν τὸν Κύριον.
3. Νεκρώσαντες ἑαυτοὺς τῷ κόσμῳ οὕτως ὑμνήσετε αὐτόν.

4. Διὰ τῶν δέκα ἐντολῶν δοξάσατε αὐτόν.
5. Ἆσμα λέγει καθαρόν.
6. Ἐκ τῆς καρδίας ὑμῶν.
7. Ἀληθὴς ἡ ἐπαγγελία αὐτοῦ.
8. Ἃ ποιεῖτε, ἐν πίστει ποιεῖτε.
9. Ἐλεημοσύνη καὶ πίστις μου ἐκλιπέτωσάν σοι.
10. Ἥπλωται τὸ ἔλεός σου, Κύριε, ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου.
11. Περὶ τῶν ἀποστόλων λέγει.
12. Καὶ ὅτι ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτῶν λέγων· «Λάβετε Πνεῦμα ἅγιον[1]», ὅτι ἀνέστη ἐκ νεκρῶν· τὰς γὰρ δυνάμεις, ἃς ἐποίουν οἱ ἀπόστολοι τῷ ἁγίῳ Πνεύματι ἐπετέλουν, ᾧ ἔλαβον ἐκ τοῦ στόματος αὐτοῦ.
13. Συνήγαγον τὰ ἔθνη τοῦ κόσμου νενεκρωμένα ὡς ἀσκόν.
14. Ἐν τοῖς ἀποστόλοις τὰ δικαιώματα αὐτοῦ.
15. Ὡς εἰδυῖα αὐτὸν ἑαυτῆς δημιουργόν.
16. Μετατεθῶσι πάντες εἰς τὸν Κύριον.
17. Ἐν τῷ βαπτίσματι.
18. Ἀνεκαίνισε γὰρ αὐτούς.
19. Τὰς προτέρας ἀπορρίπτει ἀπὸ τῶν καρδιῶν αὐτῶν.
20. Καὶ ἀλλοτριοῖ προτέρους αὐτῶν λογισμούς.
21. Καὶ τὰς βουλὰς τῶν δαιμόνων διασκεδάζει.
22. Ἡ διδαχὴ αὐτοῦ.
23. Ὁ φωτισμὸς αὐτοῦ.
24. Τὸ τῶν ἁγίων ἔθνος καὶ τὸν αὐτοῦ λαὸν λέγει.
25. Εὐδόκησε τοῦ σῶσαι, λέγει.
26. Ἀεὶ γὰρ ἔβλεπε τοὺς ἀνθρώπους.
27-29. Ἐπεῖδεν ἐκ τοῦ οὐρανοῦ τοῦ ἁγίου αὐτοῦ τὸ γένος τῶν ἀνθρώπων, καὶ πρόνοιαν αὐτῶν πάντων πεποίηται.
30. Ἐν τῷ βαπτίσματι.
31. Χαίρει λοιπὸν ἐν τοῖς ἔργοις αὐτῶν.
32. Ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.
33. Παρὰ Κυρίου ἡ σωτηρία καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι ἑκάστῳ δίδοται.
34. Οὐδὲ ὁ ἵππος ἔχων ἐν τῷ νῦν αἰῶνι τότε δυνήσεται ἐν αὐτῷ φεύγειν.
35. Οὐ γὰρ ἡ δυναστεία ἑκάστου σῴζει [σώσει] αὐτὸν ἐν τῷ καιρῷ τῆς κρίσεως.
36, 37. Ἐρᾶται ἐπὶ τῇ ὑποταγῇ καὶ τῇ ἐλπίδι, ἣν ἔχουσιν εἰς αὐτόν.
38. Τοῦ αἰωνίου θανάτου.
39. Οὐ λέγει λιμὸν ἄρτου, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου.
40. Ἡ ψυχὴ ἡμῶν περιμένει πάντοτε τὸ παρ' αὐτοῦ ἔλεος.

---

1. Ἰω. 20, 22.

41. Ὅτι αὐτὸς ἀεὶ φροντίδα ποιεῖται.
42. Κατασκηνοῦντος αὐτοῦ ἐν ἡμῖν.
43. Ὅτι δύναται σῶσαι ἡμᾶς.
44. Ὡς ἠλπίσαμεν, ὅτι τὸ ἔλεός σου ἀμέτρητον καὶ ἀνεξιχνίαστόν ἐστιν εἰς ἡμᾶς, οὕτως ἡμῖν αὐτὸ παράσχου, Κύριε.

«Ψαλμὸς τῷ Δαυίδ, ὅτε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτόν, καὶ ἀπῆλθεν.» ΨΑΛΜ. ΛΓʹ.

1. Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ·
2. Διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.
3. Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου·
4. Ἀκουσάτωσαν πραεῖς, καὶ εὐφρανθήτωσαν.
5. Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί·
6. Καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.
7. Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου·
8. Καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό με.
9. Προσέλθετε πρὸς αὐτόν, καὶ φωτίσθητε·
10. Καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ·
11. Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ·
12. Καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.
13. Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν, καὶ ῥύσεται αὐτούς.
14. Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος·
15. Μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ' αὐτόν·
16. Φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ·
17. Ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν·
18. Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν·
19. Οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.
20. Δεῦτε, τέκνα, ἀκούσατέ μου·
21. Φόβον Κυρίου διδάξω ὑμᾶς.
22. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν,
23. Ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς;
24. Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ·
25. Καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον.
26. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν·
27. Ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν.
28. Ὀφθαλμοὶ [ὅτι ὀφθαλμοὶ] Κυρίου ἐπὶ δικαίους·
29. Καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.
30. Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά·
31. Τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.
32. Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν,

33. Καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς.
34. Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν [τῇ καρδίᾳ]
35. Καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.
36. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων.
37. Καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος.
38. Φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν·
39. Ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.
40. Θάνατος ἁμαρτωλῶν πονηρός·
41. Καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι.
42. Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ·
43. Καὶ οὐ πλημμελήσωσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Δαυίδ», ὁπότε ἠλλοίωσε τὴν ὄψιν αὐτοῦ ἐναντίον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτόν, καὶ ἀπῆλθεν.» Αὕτη οὖν ἐστιν ἡ ἑρμηνεία· Περὶ τῶν ἐπιστρεφόντων ἀπὸ νεκρῶν ἔργων ἐπὶ τὸν Κύριον εἴρηται. Λέγει γάρ· «Τῷ Δαυίδ», ὅπερ ἑρμηνεύεται, «τοῦτον ἐπόθησα.» Ὁπότε δὲ ἠλλοίωσε τὴν ὄψιν αὐτοῦ ἐναντίον Ἀβιμέλεχ», τουτέστιν ὅταν τις τὸ πρόσωπον τῆς καρδίας αὐτοῦ ἀλλοιώσῃ ἀπὸ τοῦ κακοῦ εἰς ἀγαθὸν ἐνώπιον τοῦ βασιλέως τῶν πατέρων ἡμῶν· ἑρμηνεύεται γὰρ Ἀβιμέλεχ, «Πατρός μου βασιλεία», ὅπερ νοεῖται εἰς τὸν Κύριον, ὥς φησι τῷ ἀλλοιοῦντι τὸ πρόσωπον τῆς καρδίας αὐτοῦ ἀπὸ τοῦ κακοῦ εἰς τὸ ἀγαθόν· «Τέκνον, ἀφέωνταί σοι ἁμαρτίαι σου.[1]»

1, 2. Ἀπαύστως, λέγει.
3. Ἀσιγήτως ὁ ἔπαινος αὐτοῦ ἐν τῷ στόματί μου.
4. Παρὰ Κυρίου, λέγει.
5. Αἱ ἅγιαι δυνάμεις.
6. Καὶ δοξάσωμεν αὐτὸν ἡμεῖς ἐπὶ τῆς γῆς, ὥσπερ ὑμᾶς ἐν οὐρανῷ.
7. Διὰ τῆς δεήσεως, λέγει.
8. Τῶν ἁμαρτιῶν μου.
9, 10. Αἱ καρδίαι ὑμῶν.
11. Ὁ ταπεινὸς τῇ καρδίᾳ.
12. Ἀπὸ παντὸς πειρασμοῦ.
13. Ὡς ἐπὶ τῶν τριῶν παίδων τὴν κάμινον τοῦ πυρός.
14. Τῆς ἀθανάτου δωρεᾶς, λέγει.
15. Ὃ γάρ τις ἐλπίζει κομίσασθαι ἀπ' αὐτοῦ, τοῦτο λήψεται, καὶ περισσότερον λήψεται.
16. Ὅσοι ἅγιοι θέλετε εἶναι, φοβεῖσθε αὐτόν.

---

1. Μάρκ. 2, 5.

17. Ὅτι οὐδὲν ἀγαθὸν λείπει τοῖς φοβουμένοις αὐτόν.

18. Ἐκλείψαντος τοῦ πλούτου, ἐφ' ᾧ ἐπεποίθησαν. Κυρίως δὲ τὸν τῶν Ἰουδαίων φησὶ λαόν.

19. Ὁ γὰρ πλοῦτος αὐτῶν Κύριός ἐστιν, ὁ ἀγαθὸς καὶ ἀνέκλειπτος, οὗ ἐν τῇ χειρὶ τὰ πάντα ἐστίν· αὐτὸς γὰρ ἐποίησεν αὐτά.

20-23. Ὁ ἐν ἐπιθυμίᾳ ἔχων ἀιδίως ζῆν, καὶ τὰς ἡμέρας τὰς ἀτελευτήτους ζητῶν ἰδεῖν.

24. Ἀπὸ λοιδορίας.

25. Κώλυσον ἀπὸ ψεύδους.

26. Ἀπὸ πάσης ἁμαρτίας.

27. Τὸν Κύριον, καὶ ἀκολούθει αὐτῷ.

28, 29. Χαίρει ὁρῶν αὐτοὺς διὰ τὰ ἔργα αὐτῶν, καὶ τέρπεται ἀκούων τῆς δεήσεως αὐτῶν, ὅτι τὰ ἀρεστὰ αὐτῷ αἰτοῦνται παρ' αὐτοῦ.

30. Θυμοῦται δὲ καὶ ὀργίζεται ἐπὶ τοὺς ποιοῦντας κακά.

31. Καὶ ἐκ ταύτης τῆς γῆς καὶ τῆς μελλούσης.

32. Καθάπερ ἐν τῷ κλύδωνι τῆς θαλάσσης οἱ μαθηταί, καὶ ἐκ παντὸς τοῦ κλύδωνος ψυχὴν σώματος χωριζομένην, καὶ βοώντων πρὸς αὐτὸν εἰσήκουσε, καὶ εἰσακούει αὐτῶν.

33. Τῶν πειρασμῶν τοῦ ἐχθροῦ.

34. Τοῖς πραέσι.

35. Τοὺς ταπεινόφρονας, λέγει, σώσει, οὐ τοὺς ταπεινολόγους, καὶ ταπεινοσχήμους.

36. Ἐν τῷ κόσμῳ τούτῳ.

37. Διὰ γὰρ αὐτὸν θλίψεις ὑπομένουσιν.

38. Τὴν ἰσχὺν τῆς ψυχῆς αὐτῶν.

39. Ἐν οὐδενὶ ἐάσει φθαρῆναι αὐτοὺς ὑπὸ ἁμαρτίας.

40. Ἡ ἁμαρτία.

44. Καὶ οἱ μισοῦντες τὸν Θεὸν καὶ τοὺς αὐτοῦ [δούλους] ἁμαρτήσουσιν.

42. Ἀπὸ πάσης ἁμαρτίας.

43. Καὶ οὐ μὴ ἁμάρτωσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν.

«Ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΛΔ'.

1. Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με·

2. Πολέμησον τοὺς πολεμοῦντάς με·

3. Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου.

4. Ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με.

5. Εἶπον τῇ ψυχῇ μου· Σωτηρία σού εἰμι ἐγώ.

6. Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου.

7. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά.

8. Γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου·

9. Καὶ ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς.

10. Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα·

11. Καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτούς.

12. Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν.

13. Μάτην ὠνείδισαν τὴν ψυχήν μου.

14. Ἐλθέτω αὐτῷ παγίς, ἣν οὐ γινώσκει·

15. Καὶ ἡ θήρα, ἣν ἔκρυψε, συλλαβέτω αὐτόν·

16. Καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ.

17. Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ·

18. Τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ.

19. Πάντα τὰ ὀστᾶ μου ἐροῦσι· Κύριε, Κύριε, τίς ὅμοιός σοι;

20. Ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ·

21. Καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν.

22. Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον, ἠρώτων με·

23. Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν·

24. Καὶ ἀτεκνίαν τῇ ψυχῇ μου.

25. Ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι, ἐνεδυόμην σάκκον·

26. Καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου·

27. Καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται.

28. Ὡς πλησίον, ὡς ἀδελφῷ ἡμετέρῳ, οὕτως εὐηρέστουν·

29. Ὡς πενθῶν καὶ σκυθρωπάζων οὕτως ἐταπεινούμην.

30. Καὶ κατ' ἐμοῦ εὐφράνθησαν, καὶ συνήχθησαν·

31. Συνήχθησαν ἐπ' ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων.

32. Διεσχίσθησαν, καὶ οὐ κατενύγησαν·

33. Ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμῷ.

34. Ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν.

35. Κύριε, πότε ἐπόψῃ;

36. Ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν·

37. Ἀπὸ λεόντων τὴν μονογενῆ μου.

38. Ἐξομολογήσομαί σοι ἐν ἐκκλησίᾳ πολλῇ·

39. Ἐν λαῷ βαρεῖ αἰνέσω σε.

40. Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως·

41. Οἱ μισοῦντές με δωρεάν, καὶ διανεύοντες ὀφθαλμοῖς.

42. Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν·

43. Καὶ ἐπ' ὀργὴν δόλους διελογίζοντο.

44. Ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν·

45. Εἶπον· Εὖγε, εὖγε· εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν.

46. Εἶδες, Κύριε, μὴ παρασιωπήσῃς·

47. Κύριε, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

48. Ἐξεγέρθητι, Κύριε, καὶ πρόσχες τῇ κρίσει μου,

49. Ὁ Θεός μου, καὶ ὁ Κύριός μου εἰς τὴν δίκην μου.

50. Κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην σου, Κύριε ὁ Θεός μου, καὶ μὴ ἐπιχαρείησάν μοι

51. Μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν· Εὖγε, εὖγε, τῇ ψυχῇ ἡμῶν·

62. Μηδὲ εἴποιεν· Κατεπίομεν αὐτόν.

53. Αἰσχυνθείησαν καὶ ἐκτραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου·

54. Ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλορρημονοῦντες ἐπ' ἐμέ.

55. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν οἱ θέλοντες τὴν δικαιοσύνην μου·

56. Καὶ εἰπάτωσαν διαπαντός· μεγαλυνθήτω ὁ Κύριος.

57. Οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ.

58. Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου·

59. Ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Δαυίδ.» Τοῦτο οὖν λέγει, ὅτι ὁ ψαλμὸς οὗτος τῷ Υἱῷ τοῦ Θεοῦ. Ὁ γὰρ Δαυὶδ καὶ τὴν ἐκδίκησιν ἐποίησε τῶν ἁρπαγέντων προβάτων, καὶ ὑπὲρ τοῦ λαοῦ πολεμήσας τὴν νίκην πεποίηται πατάξας τὸν Γολιάθ. Ὅπερ εὑρίσκομεν γεγενημένον ὑπὸ τοῦ Υἱοῦ· ὅτι καὶ τὴν ἐκδίκησιν ἐποίησε τῶν καταπονουμένων ὑπὸ τῶν ἐναντίων δυνάμεων, καὶ πολεμήσας καὶ καταβαλὼν τὸν διάβολον, νίκην δεδώρηται τῷ γένει ἡμῶν. Ἀληθῆ δὲ ταῦτά σοι παρίστησιν οὗτος ὁ ψαλμὸς οὕτως.

1. Ὅτι δίκαιος εἶ κριτής.

2. Τὰς δυνάμεις τοῦ ἐχθροῦ.

3. Τοῦ σταυροῦ σου, λέγει, καὶ τῆς πίστεώς σου.

4, 5. Καὶ τῇ χάριτι τοῦ ἁγίου Πνεύματος κυκλώσας τὴν ψυχήν μου, εἰπὲ αὐτῇ· Μὴ φοβοῦ, «σωτηρία σού εἰμι ἐγώ.»

6. Καὶ οὕτω λοιπὸν «αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν» αἱ δυνάμεις τοῦ ἐχθροῦ.

7. Ὁμοίως αἱ αὐταὶ δυνάμεις.

8. Ἐκφυσήσει τοὺς δαίμονας ἐκ τῆς καρδίας μου τὸ Πνεῦμά σου τὸ ἅγιον.

9. Καὶ ὁ φωτισμός σου διώκων αὐτοὺς ἐκ τῆς καρδίας μου.

10. Ἐν ἀπορίᾳ ὄντες ἀπὸ τοῦ φόβου πεσέτωσαν.

11. Καὶ ἡ χάρις σου διώξει αὐτούς.

12. Οὐδὲν ἔχοντός μου πρὸς αὐτοὺς ἔθηκαν τὰς ἡδονὰς τοῦ κόσμου ἐν τῇ καρδίᾳ μου.

13. Ἔθλιψαν, λέγει, τὴν ψυχήν μου.

14. Ἐλθέτω τῷ διαβόλῳ ἡ ἡμέρα τῆς κρίσεως, ὅπερ οὐ προσδοκᾷ.

15. Καὶ ὁ θάνατος, ὃν αὐτὸς ἐφεῦρεν.

16. Καὶ ἐν τῇ γεέννῃ τοῦ πυρὸς βληθήσεται ἐν αὐτῇ.

17. Χαρήσεται ἐπὶ τῷ Κυρίῳ ἀιδίως.

18. Ἐν τοῖς δικαιώμασιν αὐτοῦ.

19. Πᾶσα ἡ ἰσχύς μου, λέγει.

20. Τὸν πτωχὸν τῇ καρδίᾳ, διαλέγει, ῥυόμενος ἀπὸ τῶν ἀκαθάρτων πνευμάτων.

21. Ἐκ τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν ῥύεται αὐτούς, καὶ ἐν τῷ νῦν, καὶ ἐν τῷ μέλλοντι αἰῶνι.

22. Ἀναστάντες λογισμοὶ ἐν τῇ καρδίᾳ μου, τὰς ἡδονὰς τοῦ βίου, ἃς οὐκ ἤθελον, ἐνέβαλόν μοι.

23, 24. Καὶ τὸ σπαρέν μοι παρὰ τοῦ Κυρίου ἐλάμβανον, τὰ δὲ ἑαυτῶν ὑπετίθουν μου, καὶ ἄκαρπον ἐποίουν τὴν ψυχήν μου.

25, 26. Ἐγὼ δέ, ἐν τῷ τοὺς ἀκάρπους λογισμοὺς τῇ καρδίᾳ μου ἐπιμένειν, ἐπένθουν μετὰ δακρύων καὶ νηστειῶν προσευχόμενος, εἴ πως ὁ Θεὸς συμπαθήσας ἐλεήσει με.

27. Καὶ ἡ αἴτησίς μου εἰσακουσθεῖσα ποιήσει με συλλαβεῖν ἔργα δικαιοσύνης.

28, 29. Ὡς τινὰ τῶν φίλων μου, ἢ τῶν ἀδελφῶν μου πενθῶν, οὕτως ἐμαυτὸν ἐπένθουν διὰ τὴν οἰκοῦσαν ἐν ἐμοὶ ἁμαρτίαν, καὶ οὕτως διὰ τῶν δακρύων μου εὐηρέστουν.

30. Ἐκεῖνοι δέ, ὡς εἶδόν με πενθοῦντα, συναχθέντες εὐφραίνονται [εὐφράνθησαν] ἐπὶ τῇ θλίψει μου.

31. Συναχθέντων αὐτῶν ἐπ' ἐμέ, οὐδενὶ αὐτῶν ἐκολλώμην.

32. Ἀπέκοπτον αὐτοὺς ἐκ τῆς καρδίας μου, καὶ οὐδὲν οὕτως ἐπαύοντο.

33. Ἐπείραζόν με, καὶ κατέπαιζον τῆς ἀσθενείας μου.

34, 35. Βρύχοντες «ἀπ' ἐμοῦ [ἐπ' ἐμὲ] τοὺς ὀδόντας αὐτῶν·» ἐγὼ δὲ ἔλεγον· «Κύριε, πότε ἐπόψῃ;»

36. Λύτρωσαι «τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν.»

37. Ἀπὸ τῶν ἐναντίων δυνάμεων τῶν ἁρπαζόντων τὴν ψυχήν μου τὴν μεμονωμένην.

38. Ἐπὶ τῶν ἁγίων σου διηγήσομαι τὴν παρὰ σοῦ μοι γεγενημένην βοήθειαν.

39. Καὶ ἐπὶ λαοῦ πολλοῦ αἰνέσω σε.

40, 41. Οἱ μισοῦντές με ἀκαίρως καὶ βουλευόμενοι ἀνελεῖν με.

42, 43. Ὡς γογγυσμοὶ θεοσεβείας ὑπεισερχόμενοι ἐπεχείρουν καταφαγεῖν με.

44. Καταπιεῖν με ἐζήτουν.

45. Καὶ λέγουσι· Ναὶ ναὶ ὁρῶμεν αὐτὸν πίπτοντα.

46, 47. «Εἶδες, Κύριε», μὴ ἐάσῃς με ἀβοήθητον.

48, 49. Οὕτως ὅρισόν μοι πολιτεύεσθαι, ὡς ἔστιν σοι εὐάρεστον.
50. Κύριε ὁ Θεός μου, σύ μου κυρίευσον, καὶ μὴ οὗτοι οἱ τοῦ ἐχθροῦ δορυφόροι.
51. Μὴ χαρῶσιν αἱ καρδίαι αὐτῶν ἐπὶ τῇ πτώσει μου.
52. Μηδὲ καυχήσονται, ὅτι ἐκερδήσαμεν.
53. Περὶ τῶν αὐτῶν ἀκαθάρτων πνευμάτων λέγει.
54. Οἱ ἐπαγγελλόμενοί με ἀνελεῖν.
55. Ῥυσθέντος μου ἀπὸ τῶν ἐναντίων δυνάμεων ἀγαλλιάσθωσαν αἱ ἅγιαί σου δυνάμεις.
56. Καὶ δοξάσουσι τὸ ὄνομά σου δι' ἐμέ.
57. Οἱ ἅγιοι τοῦ Θεοῦ ἄγγελοι.
58. Καὶ λοιπὸν μελετήσω ἐν τοῖς προστάγμασί σου.
59. Ἐν τῷ φωτὶ ἀπαύστως ἀνυμνήσω σε.

«Εἰς τὸ τέλος· τῷ παιδὶ Κυρίου τῷ Δαυΐδ.»

ΨΑΛΜ. ΛΕ'.

1. Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ·
2. Οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ·
3. Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ·
4. Τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ, καὶ μισῆσαι.
5. Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος·
6. Οὐκ ἠβουλήθη συνιέναι τοῦ ἀγαθῦναι.
7. Ἀνομίαν διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ·
8. Παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ·
9. Κακίᾳ δὲ οὐ προσώχθισε.
10. Κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου·
11. Καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν.
12. Ἡ δικαιοσύνη σου ὡς ὄρη Θεοῦ·
13. Τὰ κρίματά σου ἄβυσσος πολλή.
14. Ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε.
15. Ὡς ἐπλήθυνας τὸ ἔλεός σου, ὁ Θεός!
16. Οἱ δὲ υἱοὶ ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι.
17. Μεθυσθήσονται ἀπὸ ποιότητος οἴκου σου·
18. Καὶ τὸν χειμάρρουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς.
19. Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς·
20. Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.
21. Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε·
22. Καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ.
23. Μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας·
24. Καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσαι με.
25. Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν·
26. Ἐξώσθησαν, καὶ οὐ μὴ δύνωνται στῆναι.

'Αθανασίου 'Ερμηνεία.

'Η προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος τῷ δούλῳ Κυρίου τῷ Δαυίδ.» Τοῦτο οὖν λέγει, ὅτι ὁ ψαλμὸς οὗτος εἴρηται ἐπὶ συντελείᾳ τῶν αἰώνων τῷ λαῷ τῷ δουλεύοντι τῷ Κυρίῳ τῷ πεποθημένῳ ὑπ' αὐτοῦ· πρὸς μὲν τὴν τοῦ διαβόλου πονηρίαν [καὶ] ἐπανάστασιν κατὰ τοῦ γένους τῶν ἀνθρώπων, πρὸς δὲ τὴν τοῦ Θεοῦ ἀγαθότητα καὶ φιλανθρωπίαν τὸ πῶς πᾶσιν ἀνθρώποις πλουσίως ἐκχέει τὸν ἑαυτοῦ ἔλεον καὶ τὴν χάριν.

1. «Φησὶν» ὁ ἁμαρτάνειν θέλων ἐν ἑαυτῷ·
2. Οὐκ ἔστι κρίσις Θεοῦ ἐν τῷ μέλλοντι αἰῶνι.
3, 4. Τοῦτο δὲ λέγει ὁ τοιοῦτος, ὅτι οὐ προέθετο τοῦ ἐπιγνῶναι τὴν ἑαυτοῦ ἁμαρτίαν καὶ παίσασθαι.
5. 'Η ἐνθύμησις τῆς καρδίας αὐτοῦ.
6. Οὐκ ἠθέλησεν ἐπιγνῶναι, καὶ ποιῆσαι τὸ ἀγαθόν.
7. 'Αλλ' ἡ ἀνάπαυσις τῆς ψυχῆς αὐτοῦ ἀνομία τυγχάνει.
8, 9. Οὐδ' ἐνέμεινεν ἐν μιᾷ κακίᾳ, ἀλλὰ διαφόρους ἐπενόησεν ἑαυτῷ.
10. 'Εν τοῖς τὰ οὐράνια φρονοῦσι τὸ ἔλεός σου.
11. Τῶν αὐτῶν ἁγίων, λέγει.
12. Οἱ δίκαιοι.
13. Τὰ δικαιώματά σου ἀμέτρητα.
14. Τοὺς πορευομένους τῷ βουλήματί σου.
15. 'Ως ἐπλήθυνας τὸ γένος τῶν ἀνθρώπων, οὕτως καὶ τὸ ἔλεός σου ἐπὶ πάντας αὐτοὺς ἐξέχεας.
16. 'Υπὸ τὴν σὴν βοήθειαν.
17. 'Απὸ τῆς χάριτός σου.
18. Τὸ Πνεῦμά σου τὸ ἅγιον.
19. Ὅτι παρὰ σοὶ τῷ Πατρὶ ὁ Υἱός.
20. 'Εν αὐτῷ τῷ Υἱῷ σου ὀψόμεθα φῶς.
21. Τοῖς πιστεύουσιν εἰς σέ.
22. Καὶ τὴν δικαίαν σου μισθαποδοσίαν ἀτελευτήτως δώρησαι τοῖς καθαροῖς τῇ καρδίᾳ.
23. Μὴ πτερνήσει [πτερνήσῃ] με πᾶσα ἁμαρτία.
24. Μὴ καυχήσῃ μου δυναστεία τοῦ ἐχθροῦ.
25, 26. Ναὶ πίπτουσι χαίροντες ἐπὶ τῇ ἁμαρτίᾳ.

«Ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΛϚ'.

1. Μὴ παραζήλου ἐν πονηρευομένοις·
2. Μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν.
3. Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται.
4. Καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται.

5. Ἔλπισον ἐπὶ Κύριον, καὶ ποίει χρηστότητα·
6. Καὶ κατασκήνου τὴν γῆν·
7. Καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς.
8. Κατατρύφησον τοῦ Κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου.
9. Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου,
10. Καὶ ἔλπισον ἐπ' αὐτόν, καὶ αὐτὸς ποιήσει.
11. Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου·
12. Καὶ τὸ κρῖμά σου ὡς μεσημβρίαν.
13. Ὑποτάγηθι τῷ Κυρίῳ, καὶ ἱκέτευσον αὐτόν.
14. Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ·
15. Ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίαν.
16. Παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν·
17. Μὴ παραζήλου, ὥστε πονηρεύεσθαι·
18. Ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται·
19. Οἱ δὲ ὑπομένοντες τὸν Κύριον, αὐτοὶ κληρονομήσουσι τὴν γῆν.
20. Καὶ ἔτι ὀλίγον, καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλός·
21. Καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς.
22. Οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν·
23. Καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης.
24. Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον·
25. Καὶ βρύξει ἐπ' αὐτὸν τοὺς ὀδόντας αὐτοῦ.
26. Ὁ δὲ Κύριος ἐκγελάσεται αὐτόν·
27. Ὅτι προβλέπει, ὅτι ἥξει ἡ ἡμέρα αὐτοῦ.
28. Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοί·
29. Ἐνέτειναν τόξον αὐτῶν [αὐτῶν πρᾶγμα πικρόν]·
30. Τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα·
31. Τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ.
32. Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὴν καρδίαν [εἰς καρδίας] αὐτῶν·
33. Καὶ τὰ τόξα αὐτῶν συντριβείη.
34. Κρεῖσσον ὀλίγον τῷ δικαίῳ ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν.
35. Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται·
36. Ὑποστηρίζει δὲ τοὺς δικαίους ὁ Κύριος.
37. Γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων·
38. Καὶ ἡ κληρονομία αὐτῶν εἰς τὸν αἰῶνα ἔσται.
39. Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ·
40. Καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται.
41. Ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται.
42. Οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου, ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι,
43. Ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον.

44. Δανείζεται ὁ ἁμαρτωλός, καὶ οὐκ ἀποτίσει·
45. Ὁ δὲ δίκαιος οἰκτείρει, καὶ δίδωσιν.
46. Ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν·
47. Οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολοθρευθήσονται.
48. Παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται·
49. Καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει σφόδρα.
50. Ὅταν πέσῃ, οὐ καταραχθήσεται·
51. Ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτῷ [αὐτοῦ].
52. Νεώτερος ἐγενόμην, καὶ ἐγήρασα·
53. Καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον,
54. Οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους.
55. Ὅλην τὴν ἡμέραν ἐλεεῖ, καὶ δανείζει ὁ δίκαιος·
56. Καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται.
57. Ἔκκλινον ἀπὸ κακοῦ,
58. Καὶ ποίησον ἀγαθόν, καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος.
59. Ὅτι Κύριος ἀγαπᾷ κρίσιν·
60. Καὶ οὐκ ἐγκαταλείπει τοὺς ὁσίους αὐτοῦ·
61. Εἰς τὸν αἰῶνα φυλαχθήσονται.
62. Ἄνομοι δὲ ἐκδιωχθήσονται,
63. Καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται.
64. Δίκαιοι δὲ κληρονομήσουσι γῆν.
65. Καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐτῆς.
66. Στόμα δικαίου μελετήσει σοφίαν·
67. Καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.
68. Ὁ νόμος τοῦ Θεοῦ ἐν καρδίᾳ αὐτοῦ,
69. Καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ·
70. Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν.
71. Ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ.
72. Οὐδ' οὐ μὴ [οὐδὲ μὴ] καταδικάσηται αὐτόν,
73. Ὅταν κρίνηται αὐτῷ [αὐτὸν].
74. Ὑπόμεινον τὸν Κύριον, καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ·
75. Καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι γῆν·
76. Ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτωλούς, ὄψει [ὄψῃ].
77. Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον,
78. Καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου·
79. Καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν·
80. Καὶ ἐζήτησα αὐτόν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ·
81. Φύλασσε ἀκακίαν, καὶ ἴδε εὐθύτητα·
82. Ὅτι ἐστὶν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ.
83. Οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται ἐπὶ τὸ αὐτό·
84. Τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται.
85. Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου·

86. Καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν ἐν καιρῷ θλίψεως.
87. Καὶ βοηθήσει αὐτοῖς Κύριος, καὶ ῥύσεται αὐτούς,
88. Καὶ ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν·
89. Καὶ σώσει αὐτούς, ὅτι ἤλπισαν ἐπ᾿ αὐτόν.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Τῷ Δαυίδ.» Ἑρμηνεύεται δὲ «πεποθημένος καὶ ἐξουθενημένος·» ὅπερ ἐπὶ τοῦ παρόντος ληπτέον, διὰ τὸ εἰρῆσθαι τὸν ψαλμὸν εἰς τοὺς δικαίους τοὺς πεποθημένους ὑπὸ Θεοῦ· τοὺς ἀσεβεῖς τοὺς ἐξουθενημένους. Γέγραπται γάρ· «Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν.[1]»

1. Μὴ ὁμοίου «τοῖς πονηρευομένοις·»
2. Μηδὲ ἐξισοῦται [ἐξισοῦ σε] ταῖς ἐκείνων πράξεσι.
3. Ὅτι ὡσεὶ χόρτος ἡ εὐπρέπεια τῶν χρημάτων αὐτῶν.
4. Ταχὺ ἀποπεσοῦνται θανάτῳ παραδοθέντες.
5. Καὶ ποίει πᾶν ἔργον ἀγαθόν.

6, 7. Καὶ οἴκει ἐπὶ τῆς γῆς ποιμαινόμενος ὑπὸ Κυρίου· πλοῦτος γὰρ τῆς γῆς ὁ Κύριος ὑπάρχει, ὁ πλουτῶν αὐτὴν ἄνθεσι διαφόροις καὶ δένδρεσι παντοδαπέσι.

8. Ἀγάπησον τὸν Κύριον ἐξ ὅλης ψυχῆς, καὶ τὰ θελήματά σου ποιήσει.
9. «Ἀποκάλυψον πρὸς Κύριον» τὴν καρδίαν σου,
10. Καὶ αὐτὸς ὁδηγήσει σε εἰς πᾶν ἔργον ἀγαθόν.
11. Καθαράν, λέγει.
12. Πεφωτισμένην.

13-15. Ταπείνωσον σεαυτὸν ὑπὸ τὴν κραταιὰν αὐτοῦ χεῖρα· μή, ἐὰν ἴδῃς τοὺς ἁμαρτάνοντας εὐθηνοῦντας, ὀργισθῇς ἐν τῇ καρδίᾳ σου δι᾿ αὐτούς, καὶ θελήσῃς γενέσθαι τοιοῦτος ὁποῖος κἀκεῖνος.

16. Ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην Θεοῦ οὐκ ἀπεργάζεται.
17. Μὴ μιμοῦ τὸ κακόν.
18. Ὅτι οἱ ποιοῦντες τὸ κακὸν ἐξολοθρευθήσονται.
19. Οἱ δὲ ἀπεκδεχόμενοι τοῦ Κυρίου τὴν ἐπιφάνειαν, αὐτοὶ κληρονομήσουσι τὴν βασιλείαν τῶν οὐρανῶν.
20. Ὀλίγον γάρ ἐστι, καὶ παρέρχεται ὁ κόσμος.
11. Παραδίδοται γὰρ ἕκαστος τῶν ἁμαρτανόντων τῇ αἰωνίᾳ κολάσει.
22. Τὴν ἄνω Ἱερουσαλὴμ λέγει.
23. Εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
24. Ὁ διάβολος καὶ οἱ αὐτοῦ παρατηροῦνται τοὺς πιστούς.

---

1. Ψαλμ. 118, 118.

25. Ζητῶν αὐτὸν ἀναλῶσαι.

26. Ἀσθενῆ αὐτὸν ἀναδείξει, καὶ τὴν βουλὴν αὐτοῦ ματαιώσει.

27. Ἡ ἡμέρα τῆς κολάσεως αὐτοῦ.

28. Οἱ δαίμονες τὴν ἁμαρτίαν.

29. Τὰς ἐπιθυμίας τοῦ κόσμου.

30. Τὸν δίκαιον.

31. Τοὺς ἁγίους.

32. Ἐπέστρεψεν ἡ κακία αὐτῶν ἐπ' αὐτούς.

33. Τὰ πεπυρωμένα βέλη τῶν δαιμόνων λέγει.

34. Μεῖζόν ἐστιν μικρὸν ἔλεος τοῦ Κυρίου τῷ δικαίῳ ὑπὲρ πάντα τὸν πλοῦτον τοῦ κόσμου.

35. Ὅτι πᾶσα ἡ δυναστεία αὐτῶν ἀπολεῖται.

36. Ἀσαλεύτους αὐτοὺς διαφυλάττει εἰς τοὺς αἰῶνας.

37. Αὐτοῦ γάρ εἰσι τὰ ἔργα τῶν ἁγίων.

38. Καὶ ἡ βασιλεία τῶν οὐρανῶν αὐτῶν ἐστιν.

39. Ἐν ἡμέρᾳ κρίσεως.

40. Οὐ λιμὸν ἄρτου λέγει, ἀλλὰ τῆς χάριτος τοῦ Θεοῦ.

41-43. Οἱ δαίμονες καὶ οἱ πειθόμενοι αὐτοῖς εἰς οὐδὲν γενήσονται.

44. Προστίθησιν ἁμαρτίας ἐφ' ἁμαρτίας, καὶ οὐ μεταμελεῖται προσφέρων δεήσεις ὑπὲρ αὐτῶν.

45. Ὁ δὲ δίκαιος προσφέρει τῷ Θεῷ δι' ἐλεημοσυνῶν τὸν ἑαυτοῦ πλοῦτον.

46. Οἱ δοξάζοντες αὐτὸν δι' ἔργων ἀγαθῶν κληρονομήσουσι τὴν μέλλουσαν πόλιν.

47. Οἱ δὲ βλασφημοῦντες αὐτόν, ἢ ἀρνούμενοι ἐξολοθρευθήσονται.

48. Διὰ τῆς χάριτος αὐτοῦ ἕκαστος [ἕκαστον[τῶν πιστῶν ὁδηγεῖ εἰς τὸ ἀγαθόν.

49. Ἐρᾶται τῆς πολιτείας αὐτοῦ πάνυ.

50. Ἐὰν οὐχ ἁμάρτῃ, οὐκ ἀπομένοι τῇ ἁμαρτίᾳ.

51. Ὅτι διὰ τοῦ ἐλέους αὐτοῦ ἐγείρει αὐτόν.

52. Οὕτως κἀγώ ποτε ἡμάρτανον, νῦν δὲ τέλειος ἐν Χριστῷ ἐγενόμην.

53. «Καὶ οὐκ εἶδον» πότε ἦλθέ μοι ταῦτα ὑπὸ τοῦ Θεοῦ.

54. Οὐδὲ τὴν καρδίαν αὐτοῦ λιπομένην τῶν χαρισμάτων Θεοῦ.

55. Ἀεὶ ἐν τῷ φωτὶ ὢν δι' ἐλεημοσύνης δανείζει τῷ Θεῷ.

56. Τὰ ἔργα αὐτοῦ λέγει.

57. Ἀπὸ πάσης ἁμαρτίας.

58. Εἰς τὴν μέλλουσαν ζωήν.

59. Δικαιοσύνην.

60. Τοὺς ἁγίους αὐτοῦ.

61. Εἰς τὸν νῦν αἰῶνα καὶ εἰς τὸν μέλλοντα.

62. Εἰςτὸ σκότος τὸ ἐξώτερον.

63. Τὰ ἔργα τῶν ἀσεβῶν εἰς τὸ πῦρ τὸ αἰώνιον.
64. Τὴν μέλλουσαν λέγει.
65. Καὶ οἰκήσουσιν εἰς τὰς ἀτελευτήτους μονὰς αὐτῆς.
66. Τὰ δικαιώματα τοῦ Θεοῦ.
67. Ἀλήθειαν λέγει.
68. Ἡ πίστις τοῦ Θεοῦ αὐτοῦ ἐν τῇ καρδίᾳ αὐτοῦ.
69. Καὶ ἀποστήσεταί ποτε ἀπ' αὐτοῦ.
70. Διὰ τοῦ πολέμου τῆς ἁμαρτίας.
71. Οὐκ ἂν αὐτὸς συγχωρήσῃ ἡττηθῆναι ταῖς πονηραῖς ἐπιθυμήσεσιν αὐτοῦ.
72. Ὅταν πολεμῇ αὐτόν.
73. «Ἀντὶ τοῦ», ἐν τῷ κρίνεσθαι αὐτόν.
74. Ἀπεκδέχου τὸν Κύριον, καὶ φύλασσε τὴν πίστιν καὶ τὰς ἐντολὰς αὐτοῦ.
75. Καὶ δοξάσει σε ἐν τῇ βασιλείᾳ αὐτοῦ.
76. Ὅταν παραδίδωνται τῷ αἰωνίῳ πυρί.
77, 78. Τὸν διάβολον.
79. Καὶ παρῆλθον ὑπὸ τοῦ Θεοῦ ἐν τῇ ἀναστάσει, καὶ οὐκ ἔτι εὕρηται ὁ διάβολος· παραδίδοται γὰρ τῷ αἰωνίῳ πυρί.
80. Ἠλλοτρίωτο γὰρ τοῦ τόπου τῶν δικαίων.
81. Κράτει τὸν Κύριον ἐν ἑαυτῷ, καὶ ποίει πᾶν ἔργον ἀγαθόν.
82. Ὅτι ἐστὶ μισθαποδοσία τοῖς ἀγαπῶσιν αὐτόν.
83. Ὁμοῦ ἅμα ἐν τῇ συντελείᾳ πάντες ἀπολοῦνται οἱ παράνομοι, καὶ οὐδὲ εἷς περιλειφθήσεται.
84. Τὰ ἔργα αὐτῶν σὺν αὐτοῖς ἀπολοῦνται.
85. Καὶ ἐν τῷ μέλλοντι αἰῶνι.
86. Πρόνοιαν αὐτῶν ἀεὶ ποιούμενος.
87. Τῇ χειρὶ αὐτοῦ σκέπων, καὶ δυναμῶν αὐτοὺς ἐν ὑπομονῇ πολλῇ.
88. Καὶ λυτρώσεται αὐτοὺς ἐκ τῶν δαιμόνων, καὶ τῶν ὑπουργῶν αὐτῶν.
89. Εἰς τὴν αἰώνιον βασιλείαν αὐτοῦ, εἰς ἣν ἠλπίσαμεν.

«Ψαλμὸς τῷ Δαυίδ· εἰς ἀνάμνησιν περὶ τοῦ Σαββάτου.»

ΨΑΛΜ. ΛΖ'.

1. Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με·
2. Μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.
3. Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι·
4. Καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου.
5. Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου·
6. Οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.

7. Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου·
8. Ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ.
9. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου,
10. Ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.
11. Ἐταλαιπώρησα, καὶ κατεκάμφθην ἕως τέλους·
12. Ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.
13. Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων·
14. Καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.
15. Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα.
16. Ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.
17. Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου.
18. Καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.
19. Ἡ καρδία μου ἐταράχθη·
20. Ἐγκατέλιπέ με ἡ ἰσχύς μου·
21. Καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ.
22. Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξεναντίας μου ἤγγισαν, καὶ ἔστησαν·
23. Καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν·
24. Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου·
25. Καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας·
26. Καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.
27. Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον·
28. Καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ·
29. Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων.
30. Καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.
31. Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα·
32. Σὺ εἰσακούσῃ, Κύριε ὁ Θεός μου.
33. Ὅτι εἶπον, Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου·
34. Καὶ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν.
35. Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος·
36. Καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μού ἐστι διαπαντός.
37. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ·
38. Καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.
39. Οἱ δὲ ἐχθροί μου ζῶσι, καὶ κεκραταίωνται ὑπὲρ ἐμέ.
40. Καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.
41. Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν,
42. Ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.
43. Μὴ ἐγκαταλίπῃς με, Κύριε.
44. Ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.
45. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου,

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Δαυὶδ εἰς ἀνάμνησιν τοῦ Σαββάτου·» τουτέστιν ὁ ψαλμὸς οὗτος εἴρηται τῷ δικαίῳ τῷ κατὰ τὸν Δαυίδ, ἡνίκα ὑπεμνήσθη τῆς ἡμέρας τῆς κρίσεως, λέγω δὴ τοῦ ἑπτακισχιλιοστοῦ ἔτους· Σάββατον γὰρ ἑρμηνεύεται «ἀνάπαυσις.»

1. Κύριε, μὴ θυμωθῇς, καὶ ἀποστραφῇς με, καὶ πάντες γνῶσιν, ὅτι ἀβοήθητός εἰμι.

2. Μηδὲ πάλιν ὀργισθῇς μοι, καὶ ἐάσῃς με ὑπὸ τῶν δαιμόνων μαστίζεσθαι.

3. Αἱ πληγαί σου, λέγει.

4. Καὶ ἐταπείνωσάς με.

5. Οὐκ ἔστιν ἐν τοῖς ἁμαρτήμασί μου ἴασις, ὅτι ὀργίζει με. [ὠργίζου μοι].

6. Οὐκ ἔστιν εἰρήνη ἐν τῇ ἰσχύϊ τῆς ψυχῆς μου· αἱ γὰρ ἁμαρτίαι μου πολεμοῦσί μοι.

7. Ὅτι αἱ ἀνομίαι μου κατεδυνάστευσάν μου.

8. Καὶ οὐκ ἐῶσί με ἀνανεῦσαι πρὸς σέ.

9, 10. Καὶ ἀπὸ τοῦ μὴ τυγχάνειν με ἰάσεως παρὰ σοῦ, εἱλκωμένος εἰμὶ ὅλος, καὶ βδελυκτὸς ἐγενόμην παρὰ σοὶ τῆς ἁμαρτίας μου.

11. Κατεδούλομαι [Κατεδουλόμην], λέγει, πᾶσα ἁμαρτία.

12. Δι' ὅλου ἐν ἁμαρτίαις ἐπορευόμην.

13. Ὅτι πᾶσα ἡ ἰσχὺς τῆς ψυχῆς μου πεπλήρωται πάσης ἀνομίας.

14. Καὶ οὐκ ἔστιν ἴασις ἐν ταῖς σαρκικαῖς πράξεσί μου.

15. Ἠσθένησε, λέγει, ἡ ψυχή μου ἕως τέλους.

16. Στενάξω μόνον μὴ τολμῶν δεηθῆναί σου.

17. Κύριε, οἶδας, ὅτι τοῦ ἐλέους σου χρήζω.

18. Οὐκ ἀγνοεῖς διὰ τί στενάξω.

19, 20. Θολωθείσης γὰρ τῆς καρδίας μου ὑπὸ πάσης ἁμαρτίας, ἐγκατέλιπέ με ἡ χάρις σου.

21. Καὶ οὐκ ἔτι φωτίζει τοὺς ὀφθαλμοὺς τῆς καρδίας μου ἡ χάρις σου.

22. Τὰ χαρίσματά σου, ἃ εἶχον τὸ πρότερον, ἀφῃρέθησαν ἀπ' ἐμοῦ.

23. Αἱ ἅγιαί σου δυνάμεις.

24. Καὶ λοιπὸν ἕλκουσί με πρὸς ἑαυτοὺς οἱ δαίμονες.

25. Καὶ πᾶσαν ἀνομίαν καὶ ἁμαρτίαν ἐμβάλλουσιν ἀπαύστως τῇ ψυχῇ μου.

26. Δι' ὅλου ἐνθυμήσεις τινὰς ὡς εὐλογοφανεῖς ἐσκέπτοντο ὑποτιθέναι ἐν τῇ καρδίᾳ μου.

27. Ἐγὼ δέ, ὡς μὴ ἀκούων τὰ παρ' αὐτῶν λεγόμενα, οὕτως οὐκ ἐπιτελῶ ταῦτα.

28. Οὐκ ἀνταπεκρινάμην αὐτοῖς.

29. Ἀνήκοος διέμενον μὴ πληρῶν ὅπερ ἤθελον.

30. Ὡς μὴ δυνάμενος αὐτοὺς ἐλέγχειν.

31. Ὅτι εἰς τὸ ἔλεός σου, Κύριε, ἤλπισα.

32. Διὰ τοῦτο εἰσακούσεις, Κύριε ὁ Θεός μου.

33. «Ὅτι εἶπον·» Κύριε, ἐὰν μὴ εἰσακούσης μου, χαίρονται οἱ ἐχθροί μου.

34. Καὶ ἐν τῷ ἀπὸ ἀσθενείας πίπτειν με, ἐκεῖνοι ἀγαλλιῶνται.

35. Ὅτι ὑπόκειμαι τῇ αἰωνίᾳ κολάσει.

36. Καὶ τὸ πῦρ τὸ αἰώνιον ἤδη προβλέπω.

37. Ἐξομολογοῦμαί σοι τὴν ἀνομίαν μου.

38. Καὶ μετανοήσω ὑπὲρ ὧν ἔπραξα κακῶν.

39. Οἱ δὲ ἄρχοντες τοῦ διαβόλου κατισχύουσί μου.

40. Καὶ πολλοὶ ἐγένοντο ἐπ' ἐμέ.

41. Οἱ τὴν σὴν διδασκαλίαν λαβόντες ἀπ' ἐμοῦ, καὶ τὰς ἑαυτῶν ἐπιθυμίας δεδωκότες μοι.

42. Πρὸς ἑαυτοὺς συνεβουλεύοντο ἀπολέσαι με, ἐπειδὴ θέλω μετανοῆσαι.

43, 44. Μὴ ἐάσης με, Κύριε ὁ Θεός μου.

45. Ἀλλ' ἐλθὲ εἰς τὴν βοήθειάν μου.

«Εἰς τὸ τέλος τῷ Ἰδιθούμ, ᾠδὴ τῷ Δαυίδ.»
ΨΑΛΜ. ΛΗ'.

1. Εἶπα· Φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου.

2. Ἐθέμην τῷ στόματί μου φυλακήν.

3. Ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου.

4. Ἐκωφώθην καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν·

5. Καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη.

6. Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου·

7. Καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ.

8. Ἐλάλησα ἐν γλώσσῃ μου· γνώρισόν μοι, Κύριε, τὸ πέρας μου.

9. Καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου, τίς ἐστιν;

10. Ἵνα γνῶ τί ὑστερῶ ἐγώ.

11. Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου,

12. Καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐδὲν ἐνώπιόν σου·

13. Πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν.

«Διάψαλμα α'.»

14. Μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος·

15. Πλὴν μάτην ταράσσεται.
16. Θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά.
17. Καὶ νῦν τίς ἡ ὑπομονή σου, οὐχὶ ὁ Κύριος;
18. Καὶ ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστιν.
19. 'Απὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με·
20. Ὄνειδος ἄφρονι ἔδωκάς με.
21. 'Εκωφώθην, καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ ἐποίησας.
22. 'Απόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου·
23. 'Απὸ γὰρ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον.
24. 'Εν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον·
25. Καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχήν μου [αὐτοῦ].
26. Πλὴν μάτην πᾶς [μάτην ταράσσεται πᾶς], ἄνθρωπος.

«Διάψαλμα β'.»

27. Εἰσάκουσον τῆς προσευχῆς μου, Κύριε, καὶ τῆς δεήσεώς μου [μου ἐνώτισαι].
28. 'Ενώτισαι τῶν δακρύων μου.
29. Μὴ παρασιωπήσῃς, ὅτι πάροικος ἐγώ εἰμι παρὰ σοί·
30. Καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου.
31. Ἄνες μοι, ἵνα ἀναψύξω.
32. Πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκ ἔτι οὐ μὴ ὑπάρξω.

'Αθανασίου 'Ερμηνεία.

'Η προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος τῷ 'Ιδιθούμ, ᾠδὴ τῷ Δαυίδ.» Τοῦτο οὖν λέγει· ἡ ᾠδὴ τῷ Δαυὶδ αὕτη ἐλέχθη εἰς τὴν συντέλειαν τῶν αἰώνων τῷ ἑνὶ κριτῇ, τῷ ἐρχομένῳ. Τοῦτο γὰρ ἑρμηνεύεται τὸ 'Ιδιθούμ, «ἑνὸς κριτοῦ ἐρχομένου.»

1. 'Εβουλευσάμην μὴ πάλιν τοὺς λόγους τοὺς παρὰ τοῦ ἐχθροῦ μοι ὑποβαλλομένους.
2. 'Εθέμην τοῦ μηδένα λόγον ἀργὸν προάγειν ἐκ τοῦ στόματός μου.
3. Τὸν διάβολον λέγει.
4. Ἄρας ἑαυτὸν ἐκ τῶν ἀγαθῶν τοῦ κόσμου, καὶ καθεσθεὶς κατὰ μόνας, ἐταπείνουν ἑαυτὸν ἡσυχάζων.
5. Καὶ ὑπεμνησκόμην τῆς ἁμαρτίας μου.
6. Ἔτενεν [ἔστενεν] ἡ καρδία μου ἐντός μου.
7. Καὶ ἐφλεγόμην ἀπὸ τῆς ὀδύνης.
8. Καὶ προσηυχόμην λέγων· Δός μοι, Κύριε, εἰδέναι, ὅτι παραστῆναί με δεῖ τῷ βήματί σου.
9. Καὶ ὅτι αἱ ἡμέραι μου ὀλίγαι εἰσίν.
10. Ἵνα γνῶ λοιπὸν τί παρέλειψα τῶν ἐντολῶν σου.
11. Οἰκτρὰς λέγει, καὶ μετρητάς.

12. Χοῦς εἰμι, λέγει.
13. Πλὴν τὰ ἔργα τῶν ἀνθρώπων τὰ ἐν τῷ κόσμῳ ματαιότης ἐστίν.
14. Ὡσεὶ σκιὰ διατρέχει ὁ ἄνθρωπος.
15. Καὶ ἀκαίρως ὧδε κἀκεῖ θορυβεῖται.
16. Θησαυρίζει γάρ, καὶ οὐ γινώσκει τίς αὐτῶν κυριεύει.
17. Καὶ νῦν τὸ ὑπομένειν με τὸ ἀγαθὸν παρὰ τοῦ Κυρίου ἔχω.
18. Καὶ ἡ συνιστῶσά με χάρις παρὰ σοῦ ἐστιν.
19. Καθάρισόν με, λέγει, τῶν ἀνομιῶν μου.
20. Καταγελῶντά με ἔχει ὁ διάβολος διὰ τὰς ἁμαρτίας μου.
21. Οὐκ ἔτι ὑπακούω τῇ ἁμαρτίᾳ, ὅτι σὺ ἐποίησας τοῦτό με ποιῆσαι.
22. Ἱλάσθητί μοι, λέγει.
23. Ἀπὸ γὰρ τῆς προσδοκίας τοῦ λογίζεσθαί με, ὅτι μέλλει με κρίνειν ἴσον θανάτου ἐγενόμην.
24. Ἐλεγχόμενος παρὰ σοῦ διὰ τὰς ἀνομίας μου ἐδιδάχθην μὴ ἁμαρτάνειν.
25. Καὶ ἀπὸ τῆς θλίψεως τῆς ψυχῆς μου ἐτάκην ὅλως.
26. Πλὴν οὐδέν ἐστιν ἕκαστος τῶν ἀνθρώπων.
27. Μὴ ἀπώσῃ τὴν προσευχήν μου, ἀλλὰ μακροθύμως ταύτην ἄκουσον.
28. Μὴ παρίδῃς τὰ δάκρυά μου.
29. Ὅτι ἐναπόγραφός σού εἰμι ἐγώ.
30. Καὶ ἐπὶ τῆς γῆς παρεπίδημός εἰμι· ἡ γὰρ ἄνω Ἱερουσαλὴμ πόλις μου ἐστί.
31, 32. Συγχώρησόν μοι πρὸ τοῦ ἀπελθεῖν πάλιν εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθην.

«Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΛΘ΄.

1. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι·
2. Καὶ εἰσήκουσε τῆς δεήσεώς μου.
3. Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας.
4. Καὶ ἀπὸ πηλοῦ ἰλύος·
5. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου·
6. Καὶ κατεύθυνε τὰ διαβήματά μου.
7. Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινόν·
8. Ὕμνον τῷ Θεῷ ἡμῶν.
9. Ὄψονται πολλοὶ καὶ φοβηθήσονται, καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον.
10. Μακάριος ἀνήρ, οὗ ἐστι τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ·
11. Καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς.
12. Πολλὰ ἐποίησας σύ, Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου·
13. Καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστι τίς ὁμοιωθήσεταί σοι.

14. Ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν.
15. Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας·
16. Σῶμα δὲ κατηρτίσω μοι·
17. Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας.
18. Τότε εἶπον, ἰδοὺ ἥκω.
19. Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ.
20. Τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ Θεός μου, ἠβουλήθην [ἐβουλήθην],
21. Καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου.
22. Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ·
23. Ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω· Κύριε, σὺ ἔγνως.
24. Τὴν δικαιοσύνην σου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου.
25. Τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα·
26. Οὐκ ἔκρυψα τὸ ἔλεός σου,
27. Καὶ τὴν ἀλήθειάν σου ὑπὸ συναγωγῆς πολλῆς.
28. Σὺ δὲ Κύριε, μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ' ἐμοῦ·
29. Τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου διαπαντὸς ἀντελάβοντό μου [ἀντελάβετό μου].
30. Ὅτι περιέσχον με κακά, ὧν οὐκ ἔστιν ἀριθμός·
31. Κατέλαβόν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνήθην τοῦ βλέπειν·
32. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου,
33. Καὶ ἡ καρδία μου ἐγκατέλιπέ με.
34. Εὐδόκησον, Κύριε, τοῦ ῥύσασθαί με·
35. Κύριε, εἰς τὸ βοηθῆσαί μοι πρόσχες.
36. Καταισχυνθείησαν [αἰσχυνθείησαν] καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου, τοῦ ἐξᾶραι αὐτήν.
37. Ἀποστραφείησαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθείησαν οἱ θέλοντές μοι κακά.
38. Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν, οἱ λέγοντές μοι· Εὖγε, εὖγε.
39. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, Κύριε,
40. Καὶ εἰπάτωσαν διαπαντός, μεγαλυνθήτω ὁ Κύριος,
41. Οἱ ἀγαπῶντες τὸν σωτήριόν σου [σου διαπαντός].
42. Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης, Κύριος φροντιεῖ με.
43. Βοηθός μου καὶ ὑπερασπιστής μου εἶ σύ, ὁ Θεός μου, μὴ χρονίσῃς.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος τῷ Δαυίδ.» Τοῦτο οὖν λέγει τοὺς ἕως τέλους κολλᾶσθαι τῷ Κυρίῳ, καὶ μὴ ἀφίστασθαι αὐτόν.

1. Ἀδιαλείπτως ὑπομένων τῇ προσευχῇ μου.

2. Οὐ γὰρ περιμένων αὐτοῦ τὸ ἔλεος, οὐ μὴ στερηθῇ τούτου.

3, 4. Τῶν ἁμαρτιῶν μου.

5. Εἰς τὰς ἐντολὰς αὐτοῦ ἐπεστήρισε τὴν διάνοιάν μου.

6. Εἰς πᾶν ἔργον ἀγαθὸν κατεύθυνε τὴν καρδίαν μου.

7. 8. Καὶ διὰ τῆς χάριτος αὐτοῦ ἐποίησέ με δοξάζειν αὐτόν.

9. Ἑωρακότες πάντες τὴν συγχώρησιν τῶν ἁμαρτιῶν, ὧν ἐχαρήσατό μοι, ἐκπλησσόμενοι πιστεύσουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ.

10. Ὁ γὰρ ἐλπίζων ἐπ' αὐτὸν πᾶσαν αἴτησιν ἀγαθῶν κομίζεται παρ' αὐτοῦ, οὐκ ἂν αὐτῆς ἐκτὸς γένηται.

11. Εἰς μάστιγας λέγει, ἢ μαντείας, ἢ ἀστρονομίας, ἢ φαρμακείας, ἢ εἰδωλολατρείας, ἢ ἐπαοιδίας, ἢ περὶ ἅμμασιν, ἤ τι τῶν τοιούτων.

12. Ἀνεκδιήγητοί εἰσιν αἱ εὐεργεσίαι σου.

13, 14. Καὶ οὕτως ἀγαθὰ βουλευόμενος περὶ ἡμῶν οὐκ ἔστιν ἄλλος, καὶ αὐτὰ ταῦτα διηγησάμην, καὶ ἐλάλησα, ὅτι ὑπὲρ ἀριθμόν εἰσι.

15. Θυσίαν γὰρ καὶ προσφορὰν ἢ ὁλοκαυτώματα περὶ τῶν ἁμαρτιῶν οὔτε ἠθέλησας, οὔτε ἐζήτησας.

16. Σάρξ δὲ γενόμενος ἑαυτὸν ὑπὲρ ἡμῶν ἔδωκεν.

17. Ἀλλὰ ψυχὰς ἀνθρώπων ἐζήτησας ἁγνάς σοι προσέρχεσθαι καὶ αἰνεῖν σε.

18. Εἰρηκὼς τοῦτο αὐτὸς ὁ λαλῶν, πάρειμι.

19. Ὁ Θεὸς Λόγος λέγει· Ἐν ἀρχῇ παντὸς εὐαγγελίου περὶ ἐμοῦ γέγραπται, περὶ οὗ καὶ ὁ Εὐαγγελιστὴς Ἰωάννης ἔλεγεν· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος[1]», καὶ μετ' ὀλίγα ἐπήγαγεν, «καὶ ὁ Λόγος σὰρξ ἐγένετο.[2]»

20. Ὁ αὐτὸς Υἱὸς πρὸς τὸν Πατέρα λέγει, ὅτι τὸ θέλημά σου ἐβουλήθην ποιῆσαι, «ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ.[3]»

21. Κατὰ πρόσταγμά σου ἔτεκον ἐπὶ τῆς γῆς μετ' ὀδύνης, ἧς εἶχον ὑπὲρ τοῦ γένους τῶν ἀνθρώπων.

22. Διὰ τῶν ἀποστόλων, λέγει, εὐηγγελισάμην τῷ κόσμῳ.

23. Τοὺς ἀποστόλους λέγει χείλη [σου] τοὺς κηρύξαντας ἐκ προσώπου αὐτῶν.

24. Τοὺς αὐτοὺς πάλιν λέγει καρδίαν ἑαυτοῦ.

25. Τοῖς αὐτοῖς ἀποστόλοις.

26. Οὐκ ἐπεστειλάμην ἀναγγεῖλαι τῷ λαῷ σου, ὅτι ἐπιστρέφειν θέλεις τὸν ἁμαρτωλόν, καὶ ζητεῖν αὐτόν.

27. Καὶ τὴν πίστιν δὲ τὴν σὲ ἐφανέρωσαν.

28. Λοιπὸν οἱ πεπιστευκότες λέγουσι πρὸς τὸν Κύριον.

29. Ὁ Υἱός σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον ἀντελάβοντό μου πάντοτε.

---

1. Ἰω. 1, 1. 2. Ἰω. 1, 14. 3. Φιλιπ. 2, 8.

30. Αἱ ἁμαρτίαι, λέγει.
31. Κατεκυρίευσάν με αἱ ἀνομίαι μου, καὶ ἤμβλυναν τοὺς ὀφθαλμοὺς τῆς καρδίας μου.
32. Ἀντὶ τοῦ· ἀμετρήτως, καὶ ἀνεξιχνιάστως
33. Καὶ ὡς ἄνους ἐγενόμην λοιπόν.
34. Ἐλευθέρωσόν με διὰ τῆς σῆς χάριτος, Κύριε.
35. Εἰς τὸ ἀναστῆσαί με σπεῦσον.
36. Αἱ ἐναντίαι δυνάμεις.
37. Ὁμοίως αἱ ἐναντίαι δυνάμεις διωκόμεναι ὑπὸ σοῦ ἀποστραφείησαν.
38. Καὶ οἱ θέλοντες τὴν πτῶσίν μου, ὁρῶντές με βοηθούμενον ὑπὸ σοῦ, εὐθέως λάβωσιν αἰσχύνην.
39. Καὶ οἱ ἅγιοί σου δοξάσουσί σε ὁρῶντες, ὅτι ἐπέστρεψάς με.
40. Καὶ ἀδιαλείπτως δοξάσουσί σε.
41. Οἱ ἀγαπῶντες τὸν σταυρόν σου.
42. Ἐγὼ δὲ ταπεινός εἰμι, ἀλλ' ὁ Κύριος πρόνοιάν μου ποιεῖται.
43. Πολεμεῖς τοῖς πολεμοῦσί με, καὶ σκέπεις ἀπὸ τῶν ἀντικειμένων μοι, ὁ Θεός μου, μὴ ἐάσῃς με.

«Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. Μ'.

1. Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα·
2. Ἐν ἡμέρᾳ ῥύσεται αὐτὸν ὁ Κύριος.
3. Κύριος διαφυλάξαι αὐτόν, καὶ ζῆσαι αὐτόν, καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ.
4. Καὶ μὴ παραδῷ αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ.
5. Κύριος βοηθήσαι αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ.
6. Ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀρρωστίᾳ αὐτοῦ.
7. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με·
8. Ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.
9. Οἱ ἐχθροί μου εἶπον κακά μοι·
10. Πότε ἀποθανεῖται, καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ;
11. Καὶ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει ἡ καρδία αὐτοῦ.
12. Συνήγαγεν ἀνομίαν ἑαυτῷ·
13. Ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό.
14. Κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου,
15. Κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι.
16. Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ·
17. Μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι;
18. Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα.
19. Ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.
20. Σὺ δέ, Κύριε, ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς.

21. Ἐν τούτῳ ἔγνων, ὅτι τεθέληκάς με·
22. Ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμέ.
23. Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου·
24. Καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα.
25. Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραήλ.
26. Ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα, γένοιτο, γένοιτο.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.» Τοῦτο οὖν λέγει, ὅτι περὶ τῆς μελλούσης κρίσεως, καὶ ὧν μέλλει πάσχειν ἐπ' ἐσχάτων τῶν ἡμερῶν ὁ Ἀγαπητὸς τοῦ Πατρός, τουτέστιν ὁ Κύριος. Τοῦτο γὰρ ἑρμηνεύεται Δαυίδ, «οὗτος ἀγαπητός.»

1. «Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.[1]»

2. Ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, λέγει, ῥύσεται αὐτὸν ὁ Κύριος. «Κατακαυχᾶται γὰρ ἔλεος κρίσεως[2]», καθὼς γέγραπται.

3. Ἐν τῷ μέλλοντι αἰῶνι ῥυσάμενος αὐτὸν ἐκ τῆς αἰωνίου κολάσεως.

4, 5. «Καὶ μὴ παραδῷ αὐτὸν» ταῖς ἁμαρτίαις αὐτοῦ.

6. Πάσας τὰς ἁμαρτίας αὐτοῦ ἀπέρριψας.

7, 8. Ταῦτα τῷ Κυρίῳ λέγει ὁ ἡμαρτηκώς.

9. Εἶτα μετέρχεται εἰς τοὺς Ἰουδαίους.

10. Ταῦτα ἔλεγον εἰς ἑαυτοὺς οἱ Ἰουδαῖοι συμβουλευόμενοι ἀνελεῖν αὐτόν.

11. Περὶ τοῦ Ἰούδα λέγει, ὅτι δολίως ἐλάλει τῷ Κυρίῳ.

12. Προσέθετο παραδοῦναι τὸν Κύριον

13. Ἐξελθὼν γὰρ συνετίθετο τοῖς Ἰουδαίοις, πῶς αὐτὸν παραδῷ αὐτοῖς.

14. Καὶ αὐτοὶ οἱ Ἰουδαῖοι συνεβουλεύοντο μετὰ τοῦ Ἰούδα,

15. Ἵνα κρατήσωσιν αὐτόν,

16. Ἵνα ἀποκτείνωσιν αὐτόν.

17. Τὸν θάνατον τοῦ Κυρίου λέγει, καὶ ὅτι ἑαυτὸν ἀνέστησεν.

18. Οὗτος γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ εἰπών· «Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν.[3]»

19. Περὶ τοῦ Ἰούδα λέγει, καὶ τῆς προδοσίας αὐτοῦ.

20. Λοιπὸν ὁ ῥυσθεὶς διὰ τοῦ Κυρίου λαὸς λέγει πρὸς αὐτόν· Σύ, Κύριε, ὁ ταῦτα ὑπομείνας, ἀνάστησον ἡμᾶς διὰ τοῦ θανάτου σου, καὶ κυριεύσομεν τῶν δυνάμεων τοῦ ἐχθροῦ.

21, 22. Ἐντεῦθεν ἐγνώκαμεν ὅτι ἠθέλησας σῶσαι ἡμᾶς, ἀφ' ὧν ἐρρύσω ἡμᾶς ἐκ τοῦ διαβόλου.

---

1. Ματθ. 5, 7. 2. Ἰακ. 2, 13. 3. Ἰω. 14, 27.

23. Διὰ τοῦτο ἀντελάβου μου, ὅτι ἐν καθαρᾷ καρδίᾳ ἐπίστευσα.

24. Καὶ ἐπηγγείλω μοι τὴν βασιλείαν τῶν οὐρανῶν.

25, 26. Εὐλογητὸς Κύριος ὁ Θεὸς τῶν καρδιῶν τῶν ὁρώντων αὐτὸν ἀπὸ τοῦ νῦν αἰῶνος καὶ ἕως τοῦ ἀτελευτήτου. Ἀμήν, ἀμήν, Ἰσραὴλ μὲν γὰρ ἑρμηνεύεται «νοῦς ὁρῶν Θεόν·» τὸ δὲ «γένοιτο» ἀντὶ τοῦ «ἀμὴν» πρόκειται.

«Εἰς τὸ τέλος, εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ.»

ΨΑΛΜ. ΜΑʹ.

1. Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων·
2. Οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός.
3. Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα.
4. Πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;
5. Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτός,
6. Ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάστην ἡμέραν· Ποῦ ἐστιν ὁ Θεός σου;
7. Ταῦτα ἐμνήσθην, καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου.
8. Ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ,
9. Ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντος.
10. Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου; καὶ ἵνα τί συνταράσσεις με;
11. Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ·
12. Σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου.
13. Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη·
14. Διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου,
15. Καὶ Ἑρμωνιεὶμ ἀπὸ ὄρους μικροῦ.
16. Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταρρακτῶν σου·
17. Πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.
18. Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ.
19. Καὶ νυκτὸς ᾠδὴ αὐτῷ παρ' ἐμοί.
20. Προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου.
21. Ἐρῶ τῷ Θεῷ· Ἀντιλήπτωρ μου εἶ· διὰ τί μου ἐπελάθου;
22. Καὶ ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν;
23. Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου, ὠνείδιζόν με οἱ ἐχθροί μου.
24. Ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑκάστην ἡμέραν· Ποῦ ἐστιν ὁ Θεός σου;
25. Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου; καὶ ἵνα τί συνταράσσεις με;
26. Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ·
27. Σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ·» τουτέστιν, οἱ ἀντιλέγοντες διὰ τὰς ἁμαρτίας τῷ Κυρίῳ, υἱοὶ Κορέ εἰσιν· ἐπειδὴ κἀκεῖνος ἀντιλογικὸς γεγένηται πρὸς τὸν Θεόν· τοῖς οὖν οὕτως ἀντιλογικοῖς οὖσι τὸ πρότερον, ἐπὶ τέλος δὲ ἐπὶ σύνεσιν ἀγαθὴν ἐλθοῦσιν, εἴρηκε τὸν ψαλμόν.

1. Ὥσπερ ἡ ἔλαφος μετὰ τὸ ἐσθίειν τὸν ὄφιν τρέχει ἐπὶ τὴν γῆν τοῦ ὕδατος πρὸς τὸ πιεῖν, ἵνα μὴ ὑπὸ τοῦ ἰοῦ τοῦ ὄφεως ἀδικηθῇ,

2, 3. Οὕτως κἀγὼ ζητῶ ἐλθεῖν πρὸς σέ, καὶ πιεῖν τοῦ Πνεύματός σου τοῦ ἁγίου, ἵνα μὴ θανατωθῶ ὑπὸ τῆς ἁμαρτίας.

4. Πότε καταξιωθῶ τοιοῦτος γενέσθαι, ἵνα μὴ ἀποστρέφηταί με ὁ Θεὸς προσεγγίζοντα αὐτῷ.

5. Κεκορεσμένος εἰμὶ ἀπὸ τῆς πολλῆς θλίψεως τῆς οὔσης νυκτὸς καὶ ἡμέρας ἐν τῇ καρδίᾳ μου.

6. Ἀπὸ τοῦ ὀνειδίζεσθαί με ὑπὸ τῶν ἐναντίων πνευμάτων.

7. Ταῦτα ἐμνημόνευον καὶ διελύθην ὅλως ἀπὸ τῆς θλίψεως.

8. Καὶ ἔτεινα τὴν διάνοιάν μου εἰς τὸν οὐρανὸν εἰς τὴν σκηνὴν τοῦ Θεοῦ.

9. Ὅπου ἡ φωνὴ τῆς ἀγαλλιάσεως, καὶ τῆς ἐξομολογήσεως τῶν ἀγγέλων καὶ τῶν ἁγίων τῶν ἀεὶ ἑορταζόντων.

10, 11. Καὶ ἔλεγον τῇ ψυχῇ μου· Ἵνα τί περίλυπος εἶ; ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐλεήμων ἐστί, καὶ ἐξομολόγησαι αὐτῷ.

12. Σωτηρία γὰρ τῆς ψυχῆς μου ὁ Θεός μού ἐστιν.

13. Λοιπὸν ἡ ψυχή μου ἐν ἐμοὶ μετὰ δακρύων ἔλεγεν.

14. Διὰ τὸ εἶναί σε ἐλεήμονα μνημονεύω σου ἐκ τῶν κατωτάτων τῆς γῆς. Ἰορδάνης γὰρ ἑρμηνεύεται γῆ «κατωτάτη.»

15. Καὶ ἀπὸ τῆς ἁμαρτίας μου, λέγει. Ἑρμωνιείμ γὰρ ἑρμηνεύεται «ἀναθέματος λύπη», ὅπερ ἐστὶν ἡ ἁμαρτία.

16. Ἡ καρδία μου τὸ ἔλεός σου ἐπικαλεῖται ἐν τῇ φωνῇ τῆς λατρείας μου.

17. Πάντες οἱ λόγοι σου οἱ φωτίζοντες τὴν διάνοιάν μου ἐπὶ τὰ ὕψη τῶν ἐπουρανίων, καὶ ἡ ἀπειλή σου [ἀστραπή σου], οἱ [ἡ] ἐν αὐτοῖς, εἰς τὴν καρδίαν μου ἦλθον.

18. Ἐν τῷ ἀνανῆψαί με ἀπὸ τῆς ἁμαρτίας παρέχει Κύριος τὸ ἔλεος αὐτοῦ.

19. Καὶ λοιπὸν ἡ ἀνάπαυσίς μου ᾠδὴ αὐτοῦ ἐστι παρ᾽ ἐμοί.

20. Προσεύχομαι τῷ Θεῷ τῆς ζωῆς μου,

21. Καὶ λέγω αὐτῷ· Ἀντιλήπτωρ μου εἶ.

22. Καὶ ἵνα τί ἐσκοτισμένος πορεύομαι ἐν τῷ καταδυναστεύειν μου τὸν διάβολον;

23, 24. Ἐν τῷ συντρίβεσθαι τὴν ψυχήν μου ὑπὸ τῆς ἁμαρτίας, ὀνειδίζουσί με οἱ δαίμονες.

25. Ἐγὼ δὲ λέγω τῇ ψυχῇ μου· Ἵνα τί περίλυπος εἶ;
26. Ἔλπισον ἐπὶ τὸν Κύριον, ὅτι ἐλεήμων ἐστί, καὶ ἐξομολόγησαι αὐτῷ.
27. Σωτηρία γὰρ τῆς ψυχῆς μου ὁ Θεός μού ἐστιν.

«Ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΜΒʹ.

1. Κρῖνόν μοι, ὁ Θεός, καὶ δίκασον τὴν δίκην μου ἐξ ἔθνους οὐχ ὁσίου·
2. Ἀπὸ ἀνθρώπου ἀδίκου καὶ δολίου ῥῦσαί με·
3. Ὅτι σὺ εἶ ὁ Θεὸς κραταίωμά μου.
4. Ἵνα τί ἀπώσω με;
5. Καὶ ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν;
6. Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου·
7. Αὐτά με ὡδήγησαν, καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου,
8. Καὶ εἰς τὰ σκηνώματά σου.
9. Καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ Θεοῦ,
10. Πρὸς τὸν Θεὸν εὐφραίνοντα τὴν νεότητά μου·
11. Ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ, ὁ Θεός, ὁ Θεός μου.
12. Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου; καὶ ἵνα τί συνταράσσεις με;
13. Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ·
14. Σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Δαυίδ·» τουτέστιν, ὁ ψαλμὸς οὗτος εἴρηται τῷ πταίσαντι, καὶ ἐν μετανοίᾳ ἐλθόντι. Δαυὶδ γὰρ ἑρμηνεύεται «ἐξουθενημένος καὶ ἠλεημένος», ἅπερ ἀμφότερα εὑρήσεις εἰς τὸν ἡμαρτηκότα, καὶ εἰς μετάνοιαν ἐλθόντα.

1. Σπλαγχνίσθητι, ὁ Κύριος, καὶ ὁρῶν με ἀδικούμενον ὑπὸ τῶν ἐναντίων δυνάμεων, λύτρωσαί με.
2. Ἀπὸ τοῦ διαβόλου, λέγει.
3. Ὅτι σὺ εἶ ἡ βοήθειά μου.
4. Ἵνα τί ἀπέρριψάς με;
5. Καὶ ἵνα τί ἐσκοτισμένος πορεύομαι ἐν τῷ καταδυναστεύειν μου τὸν διάβολον;
6. Ἐξαπόστειλον τὸν Υἱόν σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον.
7, 8. Αὐτά με νῦν ὡδήγησαν [καὶ ἤγαγον], ὑπομνησθῆναι τῆς οὐρανίου πολιτείας καὶ τῶν αἰωνίων σου ἀναπαύσεων.
9. Καὶ τῇ διανοίᾳ εἰσέλθω εἰς τὸ ἐπουράνιον θυσιαστήριον τοῦ Θεοῦ.
10. Τὸν εὐφραίνοντα, λέγει, ψυχήν μου.

11. Δοξάσω, λέγει, ἐν τῇ ψυχῇ μου, καὶ ἐν τῷ σώματι, νεκρώσας τῇ ἁμαρτίᾳ ὅλον αὐτόν· κιθάρα γὰρ ξύλον ἐστὶ ξηρὸν ἔχον νεῦρα, ἀόρατον φωνὴν ἀποτελοῦσα κατ' ἐνέργειαν τοῦ κινοῦντος αὐτήν.

12. Ἵνα τί οὕτως ἀπέγνως ἑαυτῆς;

13. Ἔλπισον ἐπὶ τὸν Θεὸν τὸν σῴζοντα τοὺς προσφεύγοντας αὐτῷ, ὅτι κἀγὼ μέλλω αὐτῷ ἐξομολογήσασθαι.

14. Αὐτός ἐστιν ὁ Θεός μου.

«Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν.» ΨΑΛΜ. ΜΓ΄.

1. Ὁ Θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν,
2. Οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν
3. Ἔργον, ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις.
4. Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσε, καὶ κατεφύτευσας αὐτούς·
5. Ἐκάκωσας λαούς, καὶ ἐξέβαλες αὐτούς.
6. Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν·
7. Καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς·
8. Ἀλλ' ἡ δεξιά σου, καὶ ὁ βραχίων σου, καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου,
9. Ὅτι εὐδόκησας ἐν αὐτοῖς.
10. Σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου καὶ ὁ Θεός μου,
11. Ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ.
12. Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν,
13. Καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν.
14. Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ·
15. Καὶ ἡ ῥομφαία μου οὐ σώσει με.
16. Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς·
17. Καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας.
18. Ἐν τῷ Θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν·
19. Καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα.
20. Νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας ἡμᾶς·
21. Καὶ οὐκ ἐξελεύσῃ, ὁ Θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν.
22. Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν.
23. Καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς.
24. Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως·
25. Καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς.
26. Ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς·
27. Καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλαλάγμασιν ἡμῶν.
28. Ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν·
29. Μυκτηρισμὸν καὶ χλευασμὸν τοῖς κύκλῳ ἡμῶν.
30. Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι,
31. Κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς.

32. Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μού ἐστι,
33. Καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με.
34. Ἀπὸ φωνῆς ὀνειδίζοντος, καὶ καταλαλοῦντος·
35. Ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος.
36. Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου·
37. Καὶ οὐκ ἠδικήσαμεν ἐν τῇ διαθήκῃ σου·
38. Καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν.
39. Καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου·
40. Ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως·
41. Καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου.
42. Εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ Θεοῦ ἡμῶν·
43. Καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον.
44. Οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα;
45. Αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας.
46. Ὅτι ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν,
47. Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.
48. Ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς, Κύριε;
49. Ἀνάστηθι, καὶ μὴ ἀπώσῃ εἰς τέλος.
50. Ἵνα τί τὸ πρόσωπόν σου ἀποστρέφεις;
51. Ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν καὶ τῆς θλίψεως ἡμῶν;
52. Ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν·
53. Ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν.
54. Ἀνάστα, Κύριε, βοήθησόν ἡμῖν·
55. Καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν·» καὶ ἑτέρως δὴ τὴν αὐτὴν ἑρμηνείαν εἴπομεν· λέγει γάρ· «Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν.» Τὸ δὲ Κορὲ ἑρμηνεύεται «φαλακρός.» Τοῖς οὖν γυμνὸν ἔχουσι τὸ ἡγεμονικὸν τῆς καρδίας ἀπὸ ἔργων, ἐπὶ τέλει δὲ εἰς σύνεσιν ἐρχομένων ὁ ψαλμὸς οὗτος εἴρηται.

1. Παρὰ πιστῶν ἀνδρῶν παρειλήφαμεν, ἃ μέλλομεν διηγεῖσθαι.

2. Μωσῆς καὶ οἱ προφῆται διὰ τῶν Γραφῶν διηγήσαντο περὶ τῶν ἐθνῶν, ὧν ἐξέβαλεν ὁ Θεός.

3. Τὸ πῶς ἐν ἑκάστῳ πολέμῳ αὐτὸς διαφόρως ἐπολέμησας τοὺς ἐχθροὺς αὐτῶν.

4. Ὁ Υἱός σου ἐξωλόθρευσεν αὐτούς, καὶ κατεκληροδότησε τοὺς υἱοὺς Ἰσραήλ.

5. Τιτρωσκομένους αὐτοὺς φυγάδας ἐποίησας.

6. Οὐ γὰρ ἐν τοῖς ὅπλοις αὐτῶν ἐκληρονόμησαν τὴν γῆν τῆς ἐπαγγελίας.

7. Καὶ ἡ δυναστεία αὐτῶν οὐκ ἔσωσεν αὐτούς·

8. Ἀλλ' ὁ μονογενής σου Υἱός, ὁ ὢν ἀπαύγασμα τῆς δόξης σου.

9, 10. «Σὺ εἶ ὁ αὐτὸς» ὁ τότε, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων·

11. Ὁ δι' ἑαυτοῦ διηγούμενος τὰ προστάγματά σου.

12. Ἐν σοί, λέγει, ἀναιροῦμεν τοὺς ἐχθροὺς ἡμῶν, λέγω δὴ τοὺς ἐν τῇ καρδίᾳ ἡμῶν λογισμούς.

13. Τοὺς διαβόλους λέγει·

14. Οὐ γὰρ ἐν τῇ δυναστείᾳ μου ἐλπιῶ.

15. Καὶ τὰ ὅπλα μου οὐ σώσει με

16. Ἐκ τῶν ἐναντίων δυνάμεων.

17. Τὰς αὐτὰς δυνάμεις.

18. Ἐν τῷ Θεῷ καυχησόμεθα ἀεὶ ὄντες ἐν τῷ φωτί.

19. Καὶ ἐν τῷ ὀνόματί σου τὰ ἀρεστὰ ἐνώπιόν σου ποιήσομεν.

20. Τὸν λαὸν λέγει τῶν Ἰουδαίων.

21. Καὶ ἐν τοῖς ἄρχουσιν τῶν Ἰουδαίων οὐκ εὐδοκήσει.

22. Παρέδωκας, λέγει, τοὺς Ἰουδαίους ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν.

23. Τὰς ψυχὰς ἡμῶν οἱ δαίμονες διήρπαζον.

24. Καὶ ἡμᾶς ὑπὸ τῶν ἁμαρτιῶν ὡς ὑπὸ λύκων ἁρπάζεσθαι.

25. Καὶ ὡς ἐν αἰχμαλωσίᾳ πεπραμένοι ἐσμὲν ταῖς ἁμαρτίαις ἡμῶν.

26. Δούλους εἴασας εἶναι τῆς ἁμαρτίας.

27. Καὶ οὐκ ἔστιν ὁ βοῶν πρὸς σὲ μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων.[1]»

28. Αἰσχύνην κατέλιπες ἡμᾶς τοῖς ἐν τῷ κόσμῳ.

29. Καταγέλωτα, λέγει, τοῖς δαίμοσιν.

30. Λαλῶν γὰρ ἐν Εὐαγγελίοις ἐν τοῖς ἔθνεσι, τοὺς Ἰουδαίους παραβολὴν ἤγαγεν οὐχ ἅπαξ, ἀλλὰ πολλάκις.

31. Καὶ τὴν ἀρχὴν τῆς ἐξουσίας, ἣν εἶχον οἱ Ἰουδαῖοι μετήγαγεν εἰς τὰ ἔθνη.

32. Ἀπαύστως ἡ ἁμαρτία μου μετ' ἐμοῦ ἐστιν.

33. Καὶ ἡ αὐτὴ ἁμαρτία τῆς ψυχῆς μου σκοτίζει με.

34. Ἀπὸ τῆς διδασκαλίας τοῦ διαβόλου.

35. Ἀπὸ τῆς ἁμαρτίας τῆς παρὰ τοῦ ἐχθροῦ οὔσης ἐν ἐμοί, καὶ ἐάσης με στῆναι ἐν ταῖς ἐντολαῖς σου.

36. Τούτων πάντων ὑπεύθυνοι γενόμενοι ἐμνήσθημεν, ὅτι ἐλεήμων εἶ.

37. Καὶ οὐκ ἠπιστήσαμεν τῇ διαθήκῃ σου.

---

1. Ἑβρ. 5, 7.

38. Καὶ οὐκ εἰς τέλος ἀπέστημεν ἀπὸ σοῦ.
39. Καὶ διὰ τὰς ἁμαρτίας ἡμῶν ἀπέσπασας ἀφ' ἡμῶν τὰ δικαιώματά σου.
40. Καὶ ἤλεγξας ἡμᾶς ἐν τῷ κόσμῳ ἡμαρτηκότας.
41. Καὶ πᾶσα θλίψις, καὶ ὀδύνη περίκειται τῇ ψυχῇ ἡμῶν.
42. Οὐκ ἐπελαθόμεθα τοῦ ὀνόματός σου, Κύριε.
43. Καὶ πρὸς ἄλλον τινὰ οὐκ ἀνετείναμεν τὴν καρδίαν ἡμῶν.
44. Οὐχὶ ὁ Θεὸς ποιήσει τὴν ἐκδίκησιν τῶν ἁγίων αὐτοῦ;
45. Τὸν στεναγμὸν ἡμῶν.
46. Οἱ ἅγιοι προφῆται.
47. Οἱ ἀπόστολοι, καὶ οἱ μάρτυρες, καὶ οἱ νεκροῦντες τὰ ἑαυτῶν μέλη ἐν ἁμαρτίᾳ
48. Διεγείρει σε ἡ δέησίς μου.
49. Ἐλθέ, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς ἕως τέλους.
50. Ἵνα τί οὐ διαλλάσσῃ ἡμᾶς;
51. Οὐ προσδέχῃ τὴν δέησιν ἡμῶν κατὰ τὴν ἐξομολόγησιν τῶν ἁμαρτιῶν.
52. Ὅτι ἐδουλώθη τῇ ἁμαρτίᾳ ἡ ψυχή μου.
53. Καὶ τῶν γηΐνων πράξεων ἐγκεκόλληται ἡ ψυχὴ ἡμῶν.
54. Ἐλθέ, Κύριε, εἰς βοήθειαν ἡμῶν.
55. Καὶ λύτρωσαι ἡμᾶς διὰ τὸ ὄνομά σου.

«Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων, τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν, ᾠδὴ ὑπὲρ τοῦ Ἀγαπητοῦ.» ΨΑΛΜ. ΜΔ'.

1. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν·
2. Λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ.
3. Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.
4. Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων·
5. Ἐξεχύθη χάρις ἐν χείλεσί σου·
6. Διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα.
7. Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ·
8. Τῇ ὡραιότητί σου, καὶ τῷ κάλλει σου,
9. Καὶ ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε,
10. Ἕνεκεν ἀληθείας, καὶ πραότητος, καὶ δικαιοσύνης.
11. Καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.
12. Τὰ βέλη σου ἠκονημένα, δυνατέ·
13. Λαοὶ ὑποκάτω σου πεσοῦνται,
14. Ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως.
15. Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
16. Ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.
17. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν·
18. Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου,

19. Ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.
20. Σμύρνα, καὶ στακτή, καὶ κασία ἀπὸ τῶν ἱματίων σου,
21. Ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν εὔφρανάν σε
22. Θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου·
23. Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου,
24. Ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.
25. Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου.
26. Καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου.
27. Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου·
28. Ὅτι αὐτός ἐστι Κύριός σου, καὶ προσκυνήσεις αὐτῷ.
29. Καὶ θυγάτηρ Τύρου ἐν δώροις.
30. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.
31. Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν.
32. Ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη.
33. Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς·
34. Αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι.
35. Ἀπενεχθήσονται εὐφροσύνῃ καὶ ἀγαλλιάσει·
36. Ἀχθήσονται εἰς ναὸν βασιλέως.
37. Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν οἱ υἱοί σου.
38. Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.
39. Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.
40. Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι,
41. Εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων, τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν, ᾠδὴ ὑπὲρ τοῦ Ἀγαπητοῦ.»

1. Ὁ Πατὴρ λέγει περὶ τοῦ φανερῶσαι τὸν ἑαυτοῦ Υἱὸν τὸν Θεὸν Λόγον.

2. Ὁ Κύριος ἀναγγελεῖ τῷ πιστῷ λαῷ τὰ ἑαυτοῦ ἔργα.

3. Ὁ Πατὴρ λέγει· Τὸ Πνεῦμά μου τὸ ἅγιον κάλαμός ἐστι τοῦ Υἱοῦ μου· ἐν αὐτῷ γὰρ γράφει τὰς καρδίας τῶν πιστευόντων εἰς αὐτόν.

4. Ὁ Υἱός μου ἄσπιλός ἐστι καὶ ἄμωμος ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων.

5. Τοῖς τὸ κήρυγμα αὐτοῦ τοῖς ἔθνεσιν ἀναγγείλας [ἀναγγείλασι]. Καὶ [οἱ] ἀναγγελοῦσι, χείλη αὐτοῦ εἴρηκεν.

6. Τὸν πιστὸν λαὸν ὁ Κύριος εὐλόγησεν.

7. Ἐν τῷ Πνεύματί σου τῷ ἁγίῳ ἀναγέννησον τοὺς πιστεύοντας εἰς σέ.

8. Τῷ λόγῳ σου καὶ τῇ χάριτί σου.

9. Καὶ ἐνίσχυσον τοὺς ἁγίους, καὶ τὸ κήρυγμα αὐτῶν κατευόδωσον, καὶ βασίλευσον.

10. Διὰ τοὺς ἁγίους σου.

11. Καὶ ἔχοντές σε οἱ ἅγιοι ἐν ἑαυτοῖς, ἀγάγωσί σε τοῖς ἔθνεσι διὰ τοῦ κηρύγματος.

12. Οἱ ἀπόστολοί σου ἠκονημένοι διὰ τῆς χάριτός σου.

13. Ὑποταγήσονταί σοι ἔθνη διὰ τῆς πίστεώς σου.

14. Ἔτι ὄντες ἐν ταῖς ἁμαρτίαις.

15. Ἡ βασιλεία σου ἀτελεύτητος.

16. Ἐξουσία αἰώνιος ἡ βασιλεία σου.

17. Ἠγάπησας τοὺς ἁγίους σου, καὶ ἐμίσησας τοὺς εὑρετὰς τῆς ἀνομίας, φημὶ δὴ τὸν διάβολον καὶ τοὺς ἀγγέλους αὐτοῦ.

18, 19. Διὰ τοῦτο ἀνέδειξέ σε ὁ Πατὴρ διὰ τοῦ Πνεύματος ἁγίου βασιλέα ὄντα· ἐπειδήπερ ὑπῆρχες ἀεὶ βασιλεὺς ὑπὲρ τοὺς γενομένους μετόχους τῆς χάριτός σου· λέγω δὴ Μελχισεδέχ, καὶ Δαυίδ, καὶ Ἐζεχία, καὶ Ἰωσία, καὶ ὅσοι κατ' αὐτούς.

20. «Σμύρνα» ἑρμηνεύεται «μελῳδία αὐτῶν.» Τὴν οὖν μελῳδίαν αὐτῶν καὶ τὴν εὐωδίαν τῶν ἐθνῶν λέγει, ἣν ἐπισυνήγαγεν ἀπὸ τῆς διδασκαλίας.

21. Ἀπὸ τῶν πόλεων τῶν ἰσχυρῶν, τῶν εὐπρεπῶν, τουτέστι τῶν ἁγίων, ἐξ ὧν εὐφράνθης.

22. Αἱ ψυχαὶ τῶν ἁγίων δοξάσουσί σε.

23. Ἡ Ἐκκλησία.

24. Ἐν τῇ σοφίᾳ τῇ πολυποικίλῳ κεκοσμημένη.

25. Ἄκουσον, λέγει τῇ Ἐκκλησίᾳ τῇ ἐξ ἐθνῶν, τοῦ κηρύγματος τοῦ Κυρίου, καὶ πρόσχες τοῖς ὀφθαλμοῖς τῆς καρδίας ταῖς ἐντολαῖς τοῦ Κυρίου, καὶ ὑπάκουσον αὐτοῦ.

26. Καὶ ἐπιλάθου τοῦ Ἑλληνισμοῦ καὶ τῆς εἰδωλολατρείας.

27. Ὁ Κύριος τῆς πίστεώς σου.

28. Ὅτι αὐτός ἐστι Δεσπότης σου, καὶ αὐτῷ κλίνει [πᾶν] γόνυ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.[1]

29. Καὶ τῆς συγχύσεως θυγάτηρ, λέγω δὴ τῆς εἰδωλολατρείας, προσηνέχθη ἐν πίστει. «Τύρος» γὰρ «σύγχυσις» ἑρμηνεύεται.

30. Δοξάσουσι τὴν παρουσίαν σου οἱ ἅγιοι.

31. Πᾶσα ἡ χάρις τῆς Ἐκκλησίας ἐν τῷ κρυπτῷ τῆς καρδίας·

32. Ἐν χαρίσμασι πεπληγμένοις τιμίοις καὶ ποικίλοις περιβεβλημένη ἡ Ἐκκλησία.

33. Προσενεχθήσονται τῷ Κυρίῳ ψυχαὶ νήπιαι ἀκολουθεῖν τῇ Ἐκκλησίᾳ.

34. Αἱ ψυχαὶ τῶν ἁγίων.

35. Αἱ αὐταὶ ψυχαὶ ἀπενεχθήσονται ἐν χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ.

36. Εἰς τὴν ἐπουράνιον Ἱερουσαλήμ.

---

1. Πρβλ. Ἡσ. 45, 23. Ῥωμ. 14, 11. Φιλιπ. 2, 10.

37. Ὅτι πρότερον οἱ ἱερεῖς τῶν Ἰουδαίων γεννηθέντες ἐν τῇ κολυμβήθρᾳ ἐγένοντο υἱοὶ τῆς Ἐκκλησίας.

38. Ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους.

39. Ἀδιαλείπτως.

40, 41. Δοξάσουσί σε καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι.

«Εἰς τὸ τέλος, ὑπὲρ τῶν υἱῶν Κορέ, ὑπὲρ τῶν κρυφίων. Ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΜΕ΄.

1. Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις,
2. Βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα.
3. Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν,
4. Καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.
5. Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν·
6. Ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ.
7. Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ.

«Διάψαλμα.»

8. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.
9. Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται·
10. Βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς πρωὶ πρωί.
11. Ἐταράχθησαν, ἔθνη, ἔκλιναν βασιλεῖαι·
12. Ἔδωκε φωνὴν αὐτοῦ ὁ Ὕψιστος, ἐσαλεύθη ἡ γῆ.
13. Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν·
14. Ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.
15. Δεῦτε, καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ,
16. Ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς.
17. Ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς·
18. Τόξον συντρίψει, καὶ συνθλάσει ὅπλον,
19. Καὶ θυρεοὺς κατακαύσει ἐν πυρί.
20. Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός.
21. Ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.
22. Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν·
23. Ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ὑπὲρ τῶν υἱῶν Κορέ, ὑπὲρ τῶν κρυφίων ψαλμός.» Τοῦτο οὖν ἐστιν ὃ λέγει ἐπὶ συντελείᾳ τῶν αἰώνων ὑπὲρ τῶν υἱῶν τῆς ἀντιλογίας, τουτέστι τῶν ἐθνῶν τῶν υἱῶν τῆς ἁμαρτίας, καὶ ὑπὲρ τῶν ἐπὶ συντελείᾳ τῶν αἰώνων παθημάτων τοῦ Χριστοῦ ὁ ψαλμὸς εἴρηται.

1. Οἱ ἀπόστολοι κηρύσσουσι τοῖς ἔθνεσιν.

2. Βοηθός ἐστιν ὁ Θεὸς τοῦ λυτρώσασθαι ἡμᾶς ἀπὸ τοῦ πλήθους τῶν ἁμαρτιῶν ἡμῶν.
3. Διὰ τοῦτο οὐκ ἔτι φοβούμεθα ἐπεγειρομένων ἡμῖν γηίνων πνευμάτων.
4. Καὶ τὰ δικαιώματα τοῦ Θεοῦ εἶναι ἐν ταῖς καρδίαις τῶν ἐθνῶν.
5. Ἐφοβήθησαν καὶ ἀλαλάζουσιν αἱ ἐναντίαι δυνάμεις.
6. Διελύθησαν αἱ αὐταὶ ἐναντίαι δυνάμεις ἐν τῇ ἰσχύϊ τοῦ Κυρίου.
7. Τὰ γὰρ χαρίσματα τοῦ ἁγίου Πνεύματος ἐφώτισαν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ.
8. Ἡγίασε τὸν χορὸν τῶν κυρίων [ἁγίων] ὁ Κύριος.
9. Ὁ Θεὸς ἐν ταῖς καρδίαις τοῦ λαοῦ, καὶ ἀκίνητοι διαμένουσιν ἀπὸ τῆς πίστεως.
10. Βοηθήσει ὁ Θεὸς τῇ Ἐκκλησίᾳ ἐν τῷ φωτὶ τοῦ φωτὸς αὐτοῦ.
11. Διελύθησαν οἱ δαίμονες, καὶ ἡττήθησαν αἱ τοῦ ἐχθροῦ δυνάμεις.
12. Ἐκήρυξεν ὁ Θεὸς τὸν λόγον αὐτοῦ, καὶ ὑπήκουσαν αὐτοῦ τὰ ἔθνη.
13. Ὁ Δεσπότης πάσης ἐπουρανίου στρατιᾶς μεθ' ἡμῶν ἐστι.
14. Ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς τοῦ Ἰακώβ, λέγω δὲ Χριστός, ὁ προνοῶν ἡμῶν.
15. Προσκαλοῦνται τὰ ἔθνη οἱ ἀπόστολοι.
16. Ἃ ἐποίησε μυστήρια ἐπὶ τῆς γῆς.
17. Τοὺς πολέμους ὅλου τοῦ κόσμου διέλυσεν.
18, 19. Τὰς τοῦ ἐχθροῦ δυνάμεις.
20. Παύσασθε ἀπὸ τῆς ἁμαρτίας.
21. Δοξασθήσομαι ἐν τοῖς ἔθνεσι, καὶ ἐν τῷ λαῷ τῶν Ἰουδαίων τῶν πιστευόντων εἰς ἐμέ.
22. Ὁ ἐξουσιαστὴς πασῶν τῶν ἐπουρανίων δυνάμεων μεθ' ἡμῶν ἐπὶ τῆς γῆς ἀναστρέφεσθαι μέλλει.
23. Ἀντιλήπτωρ ἡμῶν ὑπάρχων ὁ Θεός, ὁ τὰ ἔσχατα τοῦ κόσμου συναγαγὼν πρὸς ἑαυτὸν παντελῶς.
«Ἰακὼβ» γὰρ ἑρμηνεύεται «κρατῶν ἔσχατα».

«Εἰς τὸ τέλος, ὑπὲρ τῶν υἱῶν Κορέ.» ΨΑΛΜ. ΜϚ'.

1. Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας·
2. Ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως·
3. Ὅτι Κύριος ὕψιστος, φοβερός.
4. Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.
5. Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν.
6. Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτῷ,
7. Τὴν καλλονὴν Ἰακώβ, ἣν ἠγάπησεν.

«Διάψαλμα.»

8. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ·
9. Κύριος ἐν φωνῇ σάλπιγγος.
10. Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε·
11. Ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε·
12. Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός·
13. Ψάλατε συνετῶς.
14. Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη·
15. Ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ.
16. Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ·
17. Ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν Κορὲ ψαλμός·» τουτέστιν, εἰς τὸ τέλος τῶν καιρῶν ὑπὲρ τῶν υἱῶν τῆς ἀντιλογίας τῶν ἐπιστρεφόντων ὁ ψαλμὸς εἴρηται.

1. Ἀγαλλιᾶσθε ταῖς καρδίαις.
2. Δοξάσατε αὐτόν.
3. Οὐκ ἔτι αἱ ἐπίγειαι δυνάμεις βασιλεύουσιν ἡμῶν.
4. Ἀλλὰ βασιλεύσει πάσης τῆς γῆς ὁ Ὕψιστος ὁ φοβερός.
5. «Ἔδωκεν ἡμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, και ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.[1]»
6. Τοὺς ἁγίους ἀποστόλους ἐξελέξατο.
7. Καὶ οὓς ἠγάπησεν ἐκ τοῦ λαοῦ Ἰουδαίων.
8. Τὴν ἀνάληψιν λέγει τοῦ Θεοῦ Λόγου.
9. Δοξαζόμενος ὑπὸ τῶν ἁγίων δυνάμεων.
10. Καὶ ἡμεῖς ἐπὶ γῆς δοξάσομεν αὐτόν.
11. Τῷ πρὸ αἰώνων.
12. Ὁ βασιλεύς ἐστιν ἐφ' ἡμᾶς.
13. Δοξάσατε αὐτὸν ἐν ἀληθείᾳ.
14. Ἐπιστρέψας αὐτῶν τὴν αἰχμαλωσίαν.
15. Ἐκ δεξιῶν τοῦ Πατρός.
16. Οἱ ἀπόστολοι μετὰ τοῦ Κυρίου.
17. Ὅτι οἱ ἐκλεκτοὶ τοῦ Θεοῦ πάνυ ἐνίσχυσαν.

«Ψαλμὸς ᾠδῆς τῆς υἱοῖς Κορέ, δευτέρᾳ Σαββάτου.»

ΨΑΛΜ. ΜΖ'.

1. Μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα.
2. Ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ.

1. Λουκ. 10, 19.

3. Εὐρίζων ἀγαλλιάματι πάσης τῆς γῆς·
4. Ὄρη Σιὼν τὰ πλευρὰ τοῦ βορρᾶ.
5. Ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου.
6. Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται,
7. Ὅταν ἀντιλαμβάνηται [ἀντιλαμβάνεται] αὐτῆς.
8. Ὅτι ἰδοὺ βασιλεῖς τῆς γῆς συνήχθησαν,
9. Διήλθοσαν ἐπὶ τὸ αὐτό.
10. Αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν.
11. Ἐταράχθησαν, ἐσαλεύθησαν, τρόμος ἐπελάβετο αὐτῶν.
12. Ἐκεῖ ὠδῖνες ὡς τικτούσης·
13. Ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσεῖς.
14. Καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν·
15. Ἐν πόλει Κυρίου τῶν δυνάμεων,
16. Ἐν πόλει τοῦ Θεοῦ ἡμῶν.
17. Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.
18. Ὑπελάβομεν, ὁ Θεός, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου.
19. Κατὰ τὸ ὄνομά σου, ὁ Θεός, οὕτω καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς.
20. Δικαιοσύνης πλήρης ἡ δεξιά σου.
21. Εὐφρανθήτω ὄρος Σιών,
22. Καὶ ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας,
23. Ἕνεκεν τῶν κριμάτων σου, Κύριε.
24. Κυκλώσατε Σιών, καὶ περιλάβετε αὐτήν·
25. Διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς.
26. Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς·
27. Καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς,
28. Ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν·
29. Ὅτι οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν,
30. Εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·
31. Αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς, δευτέρᾳ Σαββάτου.» Τοῦτο οὖν λέγει ὁ ψαλμὸς τῆς ᾠδῆς ταύτης περὶ «τῶν υἱῶν» τῆς ἀναπαύσεως. Λέγω δὴ μετὰ τὸ τὴν κρίσιν γενέσθαι εἰς τὴν δευτέραν τοῦ Κυρίου κατάπαυσιν. «Σάββατον» γὰρ «κατάπαυσις» ἑρμηνεύεται.

1. Θαυμαστός ἐστι καὶ δεδοξασμένος,
2. Εἰς τὴν ἄνω Ἱερουσαλήμ.
3. Χαίρων ἐπὶ τῇ πίστει τῶν ἐθνῶν.
4. Εἰς οὓς ἂν ἐπαίσατο τὸ πρότερον ὁ διάβολος, ἐκλεκτοί εἰσι τῆς ἄνω Ἱερουσαλήμ.

5. Ἡ Ἐκκλησία τοῦ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ.
6, 7. Ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτῆς φανεροῦται.
8. Οἱ ἀπόστολοι.
9. Εἰς τὸ κήρυγμα.
10. Ὅτι ἐπὶ τῆς γῆς ὤφθη.
11. Ὁ λαὸς τῶν Ἰουδαίων.
12. Ἐν τῇ συναγωγῇ τῶν Ἰουδαίων.
13. Ἐν ὀργῇ μεγάλῃ συντρίψεις τοὺς ἄρχοντας τῶν Ἰουδαίων, τοὺς ἔχοντας ἐν ἑαυτοῖς τὴν τῶν Γραφῶν γνῶσιν. «Θαρσεῖς» γὰρ ἑρμηνεύεται «κατασκοπὴ εὐφροσύνης.»
14. Καθάπερ ἠκούσαμεν περὶ τῆς παρουσίας τοῦ Θεοῦ ἡμῶν.
15, 16. Ἐν τῇ ἄνω Ἱερουσαλήμ.
17. Ἀσάλευτός ἐστιν εἰς τοὺς ἀτελευτήτους αἰῶνας.
18. Διηγησάμεθα τὰ παθήματά σου.
19. Ὡς ἀτελεύτητόν ἐστι τὸ ὄνομά σου, οὕτως καὶ ἡ αἴνεσίς σου.
20. Ὁ λαὸς ὁ ἑστὼς ἐκ δεξιῶν μου.
21. Ἡ ἄνω Ἱερουσαλήμ.
22. Αἱ ψυχαὶ τῶν ἁγίων.
23. Ἕνεκεν τῆς ἀνταποδόσεώς σου, Κύριε.
24. Οἰκήσατε τὴν ἄνω Ἱερουσαλήμ, καὶ εἰς κατάσχεσιν αὐτὴν ἔσχετε.
25. Ἐν τοῖς ἁγίοις αὐτῆς διηγήσασθε τὰ δικαιώματα αὐτοῦ.
26. Θέσθε τὴν διάνοιαν ὑμῶν εἰς τὰς ἐντολὰς αὐτοῦ.
27. Καὶ μερίσεσθε τὰς μονὰς αὐτῆς.
28. Ὅπως ἂν διηγήσασθε ἐν τῷ χρόνῳ τῶν ἁγίων.
29. «Ὅτι οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν.»
30, 31. Ὁ ποιμὴν ὁ καλὸς ποιμανεῖ ἡμᾶς.

«Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορέ.» ΨΑΛΜ. ΜΗʹ.

1. Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη.
2. Ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.
3. Οἵ τε γηγενεῖς καὶ υἱοὶ τῶν ἀνθρώπων,
4. Ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης.
5. Τὸ στόμα μου λαλήσει σοφίαν.
6. Καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.
7. Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου·
8. Ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου.
9. Ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ;
10. Ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με.
11. Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν,
12. Καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι.
13. Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος·

14. Οὐ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ.
15. Καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ.
16. Καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος.
17. Οὐκ ὄψεται καταφθοράν,
18. Ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας;
19. Ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται·
20. Καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν.
21. Καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα·
22. Σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν·
23. Ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν.
24. Καὶ ἄνθρωπος, ἐν τιμῇ ὤν, οὐ συνῆκε·
25. Παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.
26. Αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς·
27. Καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσιν.

«Διάψαλμα.»

28. Ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο·
29. Θάνατος ποιμανεῖ αὐτούς.
30. Καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωΐ.
31. Καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ,
32. Ἐκ τῆς δόξης αὐτῶν ἐξώσθησαν.
33. Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου,
34. Ὅταν λαμβάνῃ με.
35. Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος,
36. Ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ.
37. Ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα,
38. Οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ [δόξα τοῦ οἴκου αὐτοῦ].
39. Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται,
40. Ἐξομολογήσεταί σοι, ὅταν ἀγαθύνῃς αὐτόν.
41. Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ,
42. Ἕως αἰῶνος οὐκ ὄψεται φῶς.
43. Καὶ ἄνθρωπος, ἐν τιμῇ ὤν, οὐ συνῆκε·
44. Παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει. «Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ ψαλμός·» περὶ τοῦ τέλους τῶν υἱῶν τῆς ἀπειθείας ὁ ψαλμὸς λέγει. «Κορὲ» λέγει «ἀπειθὴς τῷ Θεῷ γεγένηται·» διότι καὶ τοὺς τοιούτους υἱοὺς αὐτοῦ καλεῖ ἡ Γραφή.

1. Παιδεύθητε ταῦτα, ἃ μέλλω λέγειν, πάντα τὰ ἔθνη.

2. Ἐκδέξασθε τὰ ὦτα ὑμῶν ἃ ἐρῶ ὑμῖν.
3. Οἱ γήινοι υἱοὶ τῶν ἀνθρώπων.
4. Τὴν αὐτὴν διδασκαλίαν πᾶσιν ὑμῖν μέλλω προτιθέναι.
5. Οἱ ἀπόστολοι διὰ τοῦ κηρύγματος λαλήσουσι σοφίαν αὐτοῦ, [οὐκ] αἰῶνος τούτου.
6. Καὶ ἡ μελέτη τῶν πιστευόντων εἰς ἐμὲ σύνεσίς ἐστιν.
7. Ἀγάγω εἰς παραβολὴν τὸ μυστήριόν μου.
8. Ἀναγράψω ἐν ψαλτηρίῳ τὸ πρόβλημα.
9. Ἐν τῷ καιρῷ τοῦ πάθους μου.
10. Ἰούδας ὁ ἔσχατος τῶν μαθητῶν μου ἐπισυστεὶ [ἐπισυστήσει] μοι.
11. Οἱ ἄρχοντες τῶν Ἰουδαίων.
12. Οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι ἐπὶ τῇ γνώσει τῶν Γραφῶν ἐπαιρόμενοι.
13. Οὐκ ἀδελφὸς ἡμῶν ἐστιν ὁ λυτρούμενος ἡμᾶς, τουτέστιν ὁ τῆς ἡμετέρας φύσεως, ἀλλ' ὁ Θεὸς κατὰ χάριν γενόμενος ἄνθρωπος λυτρώσεται ἡμᾶς.
14. Καὶ οὐδὲ ἑαυτὸν δώσει ἐξίλασμα τὴν ψυχὴν αὐτοῦ, ἀλλὰ διὰ πάντας.
15. Οὐδὲ τιμὴν τινὰ δώσει, ἵνα λυτρώσηται τὴν ψυχὴν αὐτοῦ.
16. Καὶ πέπονθε τῷ κόσμῳ, ἀλλὰ ζῇ ἀτελευτήτως.
17. Οὗτος μὲν οὐκ εἶδε διαφθοράν· οὐ γὰρ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπὸ τῆς φθορᾶς.
18. Πάντας δὲ τοὺς σοφοὺς τοῦ αἰῶνος τούτου αὐτὸς ὄψεται ἀποθνήσκοντας.
19. Ὁμοθυμαδὸν πάντες ἀπολοῦνται οἱ μὴ λέγοντες αὐτὸν εἶναι Θεόν.
20. Τοῖς δαίμοσι τὰς ψυχὰς αὐτῶν ἐμπιστεύσουσι,
21. Καὶ ἐν ταῖς ἁμαρτίαις αὐτῶν ἀποθανοῦνται.
22. Ἡ νέκρωσις αὐτῶν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
23. Περιεποιήσαντο τὰς γηΐνας ἡδονὰς αὐτῆς.
24. Καὶ οὐκ ἐπέγνωσαν, ὅτι κατ' εἰκόνα Θεοῦ γεγένηνται.
25. Ἀλλ' ὡς ἵπποι θηλυμανεῖς εὑρέθησαν.
26. Ἡ τρυφὴ καὶ ἀπάτη τοῦ βίου τούτου παγὶς αὐτοῖς.
27. Καὶ μετὰ ταῦτα τὴν σπατάλην τοῦ βίου τούτου ἐράσουσιν.
28. Ὡς ἄλογα ζῷα τῇ ἡδονῇ τοῦ βίου ἑαυτοὺς παρέδωκαν.
29. Θάνατος αὐτῶν κυριεύσει.
30. Οἱ ἅγιοι τοῦ Θεοῦ κρινοῦσιν αὐτοὺς ἐν τῇ ἀναστάσει.
31. Καὶ ἡ σοφία καὶ ὁ πλοῦτος αὐτῶν σὺν αὐτοῖς εἴη εἰς ἀπώλειαν.
32. Καὶ τῆς υἱοθεσίας, ἧς εἶχον τὸ πρότερον ἐξέπεσαν.
33. Ὅμως ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ τῆς ἁμαρτίας τοῦ θανάτου.

34. Ὅταν περιποιῆταί με.
35. Μὴ φοβοῦ, ὅταν εὐθηνῇ ἄνθρωπος.
36. Ἢ ὅταν ἀξιώμασι καὶ τιμαῖς μεγίσταις περιβέβληται ὁ οἶκος αὐτοῦ.
37, 38. «Οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον· δῆλον, ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνησόμεθα.[1]»
39. Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῷ νῦν αἰῶνι μακαρισθήσεται.
40. Ἐξομολογήσεταί σοι ἐν τῇ κρίσει, ὅταν ταπεινώσῃς αὐτόν.
41. Παραδοθήσεται γὰρ εἰς τὸν τόπον τοῦ διαβόλου καὶ τῶν ἀγγέλων αὐτοῦ.
42. Εἰς τὸ σκότος γάρ ἐστι τὸ ἐξώτερον.[2]
43. Κατ᾽ εἰκόνα γὰρ Θεοῦ ὤν, οὐκ ἐπέγνω τὸν ποιήσαντα αὐτόν.
44. Ἴσος εὑρέθη τῶν ἀποσκιρτώντων καὶ ἀποστάντων κτηνῶν.

«Ψαλμὸς τῷ Ἀσάφ.» ΨΑΛΜ. ΜΘ΄.

1. Θεὸς θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν,
2. Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν.
3. Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ·
4. Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν,
5. Καὶ οὐ παρασιωπήσεται.
6. Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται
7. Καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά.
8. Προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν,
9. Τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ.
10. Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ,
11. Τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις.
12. Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ·
13. Ὅτι ὁ Θεὸς κριτής ἐστιν.
14. Ἄκουσον, λαός μου, καὶ λαλήσω σοι, Ἰσραήλ,
15. Καὶ διαμαρτύρομαί σοι·
16. Ὁ Θεὸς ὁ Θεός σού εἰμι ἐγώ.
17. Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε·
18. Τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μού ἐστι διαπαντός.
19. Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους,
20. Οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους.
21. Ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ ἀγροῦ,
22. Κτήνη ἐν τοῖς ὄρεσι καὶ βόες.
23. Ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ·
24. Καὶ ὡραιότης ἀγροῦ μετ᾽ ἐμοῦ ἐστιν.
25. Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω·

1. Α΄ Τιμ. 6, 7. 2. Πρβλ. Ματθ. 8, 12. 22, 13. 25, 30.

26. Ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς.
27. Μὴ φάγωμαι κρέα ταύρων;
28. Ἢ αἷμα τράγων πίωμαι;
29. Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως·
30. Καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου.
31. Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου·
32. Καὶ ἐξελοῦμαί σε καὶ δοξάσεις με.
33. Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός·
34. Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου;
35. Καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;
36. Σὺ δὲ ἐμίσησας παιδείαν·
37. Καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω.
38. Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ·
39. Καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις.
40. Τὸ στόμα σου ἐπλεόνασε κακίαν·
41. Καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητας.
42. Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις·
43. Καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον.
44. Ταῦτα ἐποίησας, καὶ ἐσίγησα·
45. Ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος.
46. Ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου.
47. Σύνετε δὴ ταῦτα, οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ·
48. Μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος.
49. Θυσία αἰνέσεως δοξάσει με·
50. Καὶ ἐκεῖ ὁδός, ᾗ δείξω αὐτῷ τὸ σωτήριόν μου [ἣν... σωτήριον τοῦ Θεοῦ].

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Ἀσάφ», τουτέστι ψαλμὸς τῷ κριτῇ. «Ἀσάφ» γὰρ «κριτὴς» ἑρμηνεύεται.

1, 2. Θεὸς ὁ τῶν ἀνθρώπων Κύριος ἐλάλησε διὰ τοῦ κηρύγματος, καὶ ἐκάλεσε πάντας εἰς τὴν ἑαυτοῦ πίστιν ἀπὸ ἀνατολῶν ἡλίου ἕως δυσμῶν.

3. Ἐκ τῶν οὐρανῶν ἡ παρουσία τῆς χάριτος αὐτοῦ

4. Ἐν τῇ συντελείᾳ πάλιν τοῦ αἰῶνος ἔλθῃ.

5. Ἐλέγξει γὰρ πάντας τοὺς ἡμαρτηκότας.

6. Ὁ ποταμὸς καὶ ἡ λίμνη τοῦ πυρός.

7. Ἄνεμος σφοδρὸς ἐξάπτων μειζόνως τὴν φλόγα τοῦ πυρὸς ἐκείνου.

8, 9. Στήσει τοὺς τὰ οὐράνια φρονήσαντας, καὶ τοὺς τὰ γήινα, καὶ ἕκαστον κρινεῖ κατὰ τὸ ἔργον αὐτοῦ.

10. Στήσει αὐτοὺς ἐκ δεξιῶν αὐτοῦ

11. Ἐπὶ ἐλεημοσύνῃ καὶ πίστει ὀρθῇ.

12, 13. Ἀνυμνήσουσιν οἱ ἅγιοι τὴν δόξαν αὐτοῦ, ὁμολογοῦντες, ὅτι ὁ Θεὸς κριτής ἐστιν.

14. Διὰ τὸ τὸν Θεὸν μέλλειν κρίνειν τὴν οἰκουμένην, παραινῶ σοι, εἰς ὑπακοὴν εὐτρέπισόν μοι τὰ ὦτά σου, καὶ διδάξω σε.

15. Καὶ διαμαρτύρομαί σοι, ἃ μέλλεις φυλάττειν, ὁ λαὸς ὁ τοῦ «Ἰσραὴλ» γὰρ ἑρμηνεύεται «λαὸς ἰσχυρός.»

16. Ἐγὼ ὁ Θεός, φημί, ὁ Θεός σου.

17. Ὅτι οὐκ ἐπ' ἐμοὶ προσφέρεις θυσίας τῷ Θεῷ σου, ἀλλὰ δαίμοσι καὶ εἰδώλοις, καὶ δένδρεσι.

18. Τὰ δὲ κρύφια τῆς καρδίας σου ὁρῶ διαπαντός.

19. Τοὺς κερατίζοντας καὶ σκιρτῶντας ὑμῶν ὡς μοσχάρια οὐ δέχομαι.

20. Τοὺς τριχώδεις, τουτέστι τοὺς πόρνους καὶ βεβήλους οὐ δέχομαι.

21. Τὰ ἔθνη λέγει.

22. Τοὺς ἁγίους ἐν ταῖς Γραφαῖς καὶ τοὺς ἀποστόλους.

23. Τὰς ψυχὰς λέγει τὰς ἐπὶ τὰ οὐράνια ἀνιπταμένας.

24. Οἱ πεπιστευκότες ἐν τῷ κόσμῳ.

25. Ἐν τῷ καιρῷ τῆς παρουσίας μου.

26. Πάντες οἱ λαοὶ τῶν ἐθνῶν.

27, 28. Μὴ καταδέξομαι τὰς τῶν ἀρχόντων ὑμῶν τῶν κερατιζόντων σαρκικὰς καὶ αἱματώδεις ἐπιθυμίας.

29. Δόξασον αὐτὸν δι' ἔργων ἀγαθῶν.

30. Καὶ πλήρωσον τῷ Κυρίῳ ἃ ἐπήγγειλας.

31. Καὶ ἡνίκα ὁ ἐχθρὸς πολεμεῖ τὴν ψυχήν μου, ἐπικάλεσαί με.

32. Καὶ ῥύσομαί σε, καὶ εὐχαριστήσεις μοι.

33. Τῷ ἐπιμένοντι τῇ ἁμαρτίᾳ, ἢ τῷ διαβόλῳ.

34. Ἵνα τί σύ, μὴ φυλάττων αὐτά, ἐκδιηγῇ ταῦτα;

35. Καὶ θέλεις εἶναι νομοδιδάσκαλος διηγούμενος τὴν διαθήκην μου.

36, 37. «Ὁ οὖν διδάσκων ἕτερον, διὰ τί σεαυτὸν οὐ παιδεύεις;[1]»

38. «Ὁ λέγων μὴ κλέπτειν κλέπτεις.

39. Ὁ λέγων μὴ μοιχεύειν μοιχεύεις.[2]»

40. Ψεῦδος.

41. Οὐδὲν ὀρθόν.

42. Ἐλοιδόρεις.

43. Ψευδοκατηγόρεις.

44. Ἐπὶ τοσοῦτον γὰρ ἁμαρτάνοντάς σου ἐμακροθύμησας.

45. Ἐνόμισας, ὅτι ὑποκριτής εἰμι, ὡς καὶ σὺς [σὺ εἶς].

46. Ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

---

1. Πρβλ. Ῥωμ. 2, 21. 2. Ῥωμ. 2, 21-22.

47. Νοήσατε ταῦτα, οἱ μὴ φυλάσσοντες τὰς ἐντολὰς τοῦ Θεοῦ.
48. Ἐν τῷ καιρῷ τοῦ θανάτου.
49. Ὁ συντετριμμένῃ καρδίᾳ καὶ τεταπεινωμένῃ λατρεύων μοι, οὗτος δοξάζει με· ἐπειδὴ διὰ τῆς ταπεινώσεως δείκνυσιν, ὅτι παρίσταται μετὰ φόβου καὶ ἀληθείας τῷ Θεῷ.
50. Καὶ ἐν τῇ πίστει μου δείξω αὐτῷ τὰς ἐντολάς μου.

«Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ, ἐν τῷ εἰσελθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην, ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεὲ τὴν γυναῖκα Οὐρίου.»

ΨΑΛΜ. Ν'.

1. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου·
2. Καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
3. Ἐπιπλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου·
4. Καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
5. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω·
6. Καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.
7. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα·
8. Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου·
9. Καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
10. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην·
11. Καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
12. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας·
13. Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
14. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι·
15. Πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
16. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην·
17. Ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
18. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου·
19. Καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
20. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός.
21. Καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
22. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου·
23. Καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.
24. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου·
25. Καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.
26. Διδάξω ἀνόμους τὰς ὁδούς σου·
27. Καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
28. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου·
29. Ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
30. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου

31. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν·
32. Ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
33. Θυσίᾳ τῷ Θεῷ πνεῦμα συντετριμμένον·
34. Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
35. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών·
36. Καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
37. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης,
38. Ἀναφορὰν καὶ ὁλοκαυτώματα·
39. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ, ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην, ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεέ.» Αὕτη οὖν ἡ ἑρμηνεία τοῦ γράμματος. «Δαυὶδ» [γὰρ] ἑρμηνεύεται «ἐξουδένημα.» «Βηρσαβεὲ» δέ, πρὸς ἣν εἰσῆλθεν, ἑρμηνεύεται «φρέαρ πλησμονῆς.» «Νάθαν» δ' ὁ προφήτης, ὁ εἰσελθὼν πρὸς αὐτόν, ἑρμηνεύεται «δόσις.» Τοῦτο οὖν λέγει, ὅτι ὁ «ἐξουδενημένος» ἦν τὸ πρότερον διὰ τὰς ἁμαρτίας· «εἰς τὸ τέλος», τουτέστι μετὰ ταῦτα, ὅτε εἰσέλθῃ «εἰς τὸ φρέαρ τῆς πλησμονῆς», λέγω δὴ τοῦ βαπτίσματος, ἔρχεται πρὸς αὐτὸν ὁ προφήτης ὁ λεγόμενος «δόσις·» φημὶ δὴ τὸ Πνεῦμα τὸ ἅγιον, ὃ πάντα προεῖπε, καὶ λέγει· καὶ λοιπὸν ἄρχεται λέγειν ὁ φωτιζόμενος τὸν προκείμενον ψαλμόν.

1. Ἀπὸ τῆς αἰτήσεώς σου [μου] τοῦ ἐλέους σου δείκνυμι πᾶσι τὸ πῶς ἥμαρτον.
2. Τὸ πλῆθος τῶν οἰκτιρμῶν σου νικήσει τὸ πλῆθος τῶν ἁμαρτιῶν μου.
3. Ἐπὶ τοσοῦτον τὸ ὕδωρ τοῦ βαπτίσματός σου ἰσχύει ὥστε φθάσαι αὐτὸ καὶ ἕως τῆς ψυχῆς μου.
4. Ὁ θεῖος καὶ ἐπουράνιος Ἀμνός, ὁ αἴρων τὴν ἀνομίαν τοῦ κόσμου.
5. Ἐγὼ οἶδα πῶς ἥμαρτόν σοι.
6. Ὁρῶ τὰς πράξεις μου τὰς πονηρὰς ἑστώσας ἔμπροσθέν σου.
7. Εἰς σὲ ἥμαρτον, τὴν εἰκόνα σου φθείρας τῇ ἁμαρτίᾳ· λέγω δὴ ἐμαυτόν.
8, 9. Ὅτι προεῖπες ἡμῖν, ὅτι ἡ ἁμαρτία θάνατός ἐστι, καὶ ἀναπολόγητός ἐστι πᾶς ἄνθρωπος ἐνώπιόν σου.
10. Ἰδοὺ γὰρ ἐν ἀνομίαις, ἃς ἔπραξα συγκεκλεισμένος εἰμί.
11. Καὶ ἐν ταῖς ἁμαρτίαις ὄντα με συνέλαβέ με ἡ κολυμβήθρα.
12. Ἰδοὺ γὰρ ἀποταξάμενόν με τῷ Σατανᾷ ἠγάπησας.
13. Καὶ τὸ σύμβολον τῆς πίστεώς σου ἐδίδαξάς με.

14. Ῥαντιεῖς με τῷ ἁγίῳ Πνεύματι τὸ αἷμα τοῦ Υἱοῦ σου, καὶ καθαρισθήσομαι.

15. Καὶ τῷ ὕδατι τῷ ἐκ τῆς πλευρᾶς σου ἄσπιλον καὶ ἄμωμον ἀναδείξεις με.

16. Καὶ λοιπὸν διδάξεις με τὰς ἐντολάς σου.

17. Ἀγαλλιάσεται ἡ ἰσχὺς τῆς ψυχῆς μου, ἡ τὸ πρότερον ὑπὸ τῆς ἁμαρτίας ἀσθενοῦσα.

18. Δέομαί σου· μὴ μνησθῇς αὐτῶν ἔτι.

19. Ὅλας αὐτὰς ἀφάνισον.

20. Ἁγνὴν ποίησον ἐν τῷ βαπτίσματι τὴν καρδίαν μου.

21. Καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον ἐνοικεῖν ποίησον ἐν τῇ ψυχῇ μου καὶ ἐν τῇ διανοίᾳ μου.

22. Μὴ ἀνάξιόν με ἡγήσῃ τῆς χάριτός σου.

23. Τὸν ἀρραβῶνα τῆς υἱοθεσίας.

24. Σφράγισόν με τῇ σφραγῖδι τοῦ Πνεύματός σου.

25. Καὶ τῷ ἁγίῳ Πνεύματι τῷ τῇ θεότητι αὐτοκρατορικῷ δυνάμωσόν με.

26. Καὶ διηγήσομαι τοῖς μὴ εἰδόσι σε τὴν εἰς σὲ πίστιν καὶ τὸ σὸν ἔλεος.

27. Καὶ ἀκούοντες ἀσεβεῖς, ὅτι οὕτως συγχωρεῖς τοῖς πιστεύουσιν εἰς σέ, ἐπιστρέφουσιν.

28. Ῥῦσαί με ἐκ τῶν τοῦ ἐχθροῦ δυνάμεων.

29. Μελετήσει ἡ γλῶσσά μου τὰ λόγιά σου.

30. Πλήρωσον τὰ χείλη τῆς καρδίας μου τῆς χάριτός σου, ἵνα τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

31. Οὐδὲν ἠθέλησας λαβεῖν παρ' ἐμοῦ, ἐπεὶ ἔδωκα ἂν ὑπὲρ τῶν ἁμαρτιῶν μου.

32. Σεαυτὸν γὰρ μέλλεις σφαγὴν διδόναι ὑπὲρ ἡμῶν.

33. Ταπεινωθέντα με ἐξομολογήσασθαί σοι.

34. Καρδίαν ἐξομολογουμένην σοι οὐκ ἀπορρίπτεις.

35. Ὑπακοὴν ποίησον, Κύριε, τῷ θελήματί σου τὴν καρδίαν μου. «Σιὼν» γὰρ «σκοπευτήριον» ἑρμηνεύεται, ὅπερ ἐστὶν ἡ «καρδία.»

36. Καὶ αἱ ἐντολαί σου πληρωθῶσιν ἐν τῇ διανοίᾳ μου. «Ἱερουσαλὴμ» γὰρ ἑρμηνεύεται «αὐτὸ πνεῦμα χάριτος.»

37. Τότε, ὅτ' ἄν τις πληρώσῃ τὰς ἐντολάς σου, εὐπρόσδεκτός ἐστιν ἡ εὐχὴ αὐτοῦ παρὰ σοί.

38. Καὶ ἡ προσευχή μου, καὶ ὅλος εὐπρόσδεκτός σοί εἰμι.

39. Τότε περιεστῶτες ἐν τῷ ἐπουρανίῳ θυσιαστηρίῳ οἱ ἅγιοι ἄγγελοί σου δοξάσουσί σε, ὅτι ἠλέησάς με.

«Εἰς τὸ τέλος, συνέσεως τῷ Δαυίδ, ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον, καὶ ἀναγγεῖλαι τῷ Σαούλ, καὶ εἰπεῖν αὐτῷ· Ἦλθε Δαυὶδ εἰς οἶκον Ἀβιμέλεχ.» ΨΑΛΜ. ΝΑ'.

1. Τί ἐγκαυχᾷ ἐν κακίᾳ;
2. Ὁ δυνατὸς ἀνομίαν ὅλην τὴν ἡμέραν,
3. Ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου
4. Ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον.
5. Ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην·
6. Ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην.
7. Ἠγάπησας πάντα τὰ ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν.
8. Διὰ τοῦτο ὁ Θεὸς καθέλοι σε εἰς τέλος·
9. Ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου·
10. Καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων
11. Ὄψονται δίκαιοι, καὶ φοβηθήσονται.
12. Καὶ ἐπ' αὐτὸν γελάσονται, καὶ ἐροῦσιν·
13. Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ.
14. Ἀλλ' ἐπήλπισεν ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτοῦ·
15. Καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.
16. Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ·
17. Ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
18. Ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα ὅτι ἐποίησας·
19. Καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου.

Ἀθανασίου Ἑρμηνεία

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος συνέσεως τῷ Δαυίδ, ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον, καὶ ἀναγγεῖλαι τῷ Σαούλ, καὶ εἰπεῖν αὐτῷ· Ἦλθε Δαυὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ. Τοῦτο οὖν λέγει, ὅταν τις ἀπὸ τῆς ἁμαρτίας ἐπὶ τέλει εἰς σύνεσιν ἔλθῃ τοῦ ἀγαθοῦ, τότε αἱ ἐναντίαι δυνάμεις συμβουλεύονται μετὰ τοῦ διαβόλου τὸ πῶς ἀποβλέπουσι [ἀποβάλλωσι] τὸν ἐπιστρέφοντα. «Δαυὶδ» γὰρ ἑρμηνεύεται «οὗτος ἀγαπητός», τουτέστιν «ὁ ἐπιστρέφων.» Δωὴκ δὲ ὁ Ἰδουμαῖος ἑρμηνεύεται «πειρασμὸς ἐκλείπων», ὅπερ εἰσὶν «αἱ ἐναντίαι δυνάμεις.» Σαοὺλ δὲ ἑρμηνεύεται «αἰτητός» [αἰτητής]· λέγω δὴ «ὁ διάβολος», ὁ πάντας τοὺς δικαίους αἰτῶν πειράζειν. «Ἀβιμέλεχ» δὲ ἑρμηνεύεται πρὸς ὃν εἰσῆλθεν ὁ ἐπιστρέψας, «πατρός μου βασιλέα» [βασιλεύς], ὅπερ ἐστὶν ὁ «Υἱὸς τοῦ Θεοῦ», ὁ βασιλεὺς τῶν πατέρων ἡμῶν.

1. Τί καυχᾶται ὁ διάβολος ἐπὶ τῇ ἑαυτοῦ κακίᾳ;

2. Ἐν τῇ ἀνομίᾳ ᾗ περιβάλλεται ἀπαύστως.
3. Καὶ ἀδικίαν ὑποβάλλεις.
4. Γυμνὴν καὶ ἄτιμον ἀποδεικνύεις πᾶσαν ψυχήν, ὥσπερ τὸ ξυρὸν ἀποδείκνυσι τὸν πώγωνα καὶ τὴν κεφαλήν.
5. Ἡδέως ἔχεις τὸν φονευτὴν μᾶλλον ἢ τὸν κἂν ἕως λόγου ἀγαθοῦ λαλοῦντα.
6, 7. Ἡδέως ἔχεις βλασφημίαν καὶ πᾶσαν διδαχὴν πονηράν.
8. Διὰ τοῦτο ἐπὶ συντελείᾳ τοῦ αἰῶνος ἀπολεῖ σε εἰς τέλος.
9. Ἐκριζώσει σε, κατασπάσει σε ἀπὸ τῆς δυναστείας σου.
10. Καὶ τὸ μνημόσυνόν σου ἀρεῖ ἀπὸ τῆς μνήμης τῶν ζώντων.
11. Ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.
12. Χαίροντες εἴπωσιν·
13. Οὗτος ἦν ὁ ἀνθιστάμενος τῷ Θεῷ.
14. Ἀλλ' ἐθάρρει [ἐθάρρησεν] ἐπὶ τῇ ἀλαζονείᾳ ἑαυτοῦ.
15. Καὶ ἴσχυσεν ἐν τῇ ἀνομίᾳ, ἣν ἐφηῦρεν.
16. Ὁ δὲ χορὸς τῶν ἁγίων πλήρης ἐστὶν ἐλέους καὶ καρπῶν εἰρηνικῶν.
17. Ἀδιαλείπτως πέποιθα ἐπὶ τὸ ἀμέτρητον ἔλεος τοῦ Θεοῦ.
18. Δοξάσω σε εἰς τὸν αἰῶνα, ὅτι σύ με εἰς τοῦτο ἤγαγες.
19. Καὶ διαμενῶ ἀεὶ ἐν τῷ ὀνόματί σου, ὅτι τοῦτο ἀγαθόν ἐστι πᾶσι τοῖς ἁγίοις σου.

«Εἰς τὸ τέλος ὑπὲρ Μαελέθ, συνέσεως τῷ Δαυίδ.»
ΨΑΛΜ. ΝΒ'.

1. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός.
2. Διεφθάρησαν, καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις·
3. Οὐκ ἔστι ποιῶν ἀγαθόν.
4. Ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων,
5. Τοῦ ἰδεῖν, εἰ ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν Θεόν.
6. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν·
7. Οὐκ ἔστι ποιῶν ἀγαθόν, οὐκ ἔστιν ἕως ἑνός.
8. Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν;
9. Οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου τὸν Κύριον οὐκ ἐπεκαλέσαντο·
10. Ἐκεῖ ἐφοβήθησαν φόβον, οὗ οὐκ ἦν φόβος.
11. Ὅτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων.
12. Κατῃσχύνθησαν, ὅτι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς.
13. Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ;
14. Ἐν τῷ ἐπιστρέψαι τὸν Θεὸν τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ,
15. Ἀγαλλιάσεται Ἰακώβ, καὶ εὐφρανθήσεται Ἰσραήλ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος ὑπὲρ Μαελέθ, συνέσεως τῷ Δαυίδ.» Τοῦτο οὖν ἐστιν [ὃ λέγει] ἐπὶ τέλει τῶν αἰώνων ὑπὲρ τοῦ Κυρίου λέγει ὁ ψαλμός, πῶς ἐπιστρέφει τὸν λαὸν λυτρούμενος αὐτὸν ἐκ τῆς τοῦ διαβόλου δυναστείας. «Μαελὲθ» γὰρ ἑρμηνεύεται «ἀπαρχή»· ἀπαρχὴ δὲ ὁ «Χριστός ἐστιν. «Εἰς σύνεσιν» [Συνέσεως] δὲ τῷ «Δαυίδ», τουτέστιν ὅταν ἔλθῃ εἰς σύνεσιν ὁ λαὸς ὁ πεποθημένος· τοῦτο γὰρ ἑρμηνεύεται «ὁ Δαυίδ.»

1. Ὁ διάβολος καὶ οἱ αὐτοῦ πάντες περὶ τοῦ τεχθέντος ἐκ τῆς Παρθένου.
2. Κατεφθάρησαν καὶ προσώζεσαν ἐν ἁμαρτίαις.
3. Τῶν ἀπειθούντων τῷ Θεῷ τῷ ἀγαθῷ, καὶ κολλωμένοις τῷ πονηρῷ.
4. Κατανοεῖν τὰ ἔργα τῶν ἀνθρώπων.
5. Τοῦ ἰδεῖν εἰ ἔστι πιστεύων εἰς αὐτόν.
6. Πάντες ἀπέστησαν ἀπὸ τοῦ Θεοῦ, καὶ ἅμα ἀπώλοντο.
7. Οὐκ ἔστιν ἑνὸς αὐτῶν ἔργον δεκτὸν παρὰ τῷ Θεῷ.
8. Οὐκ οἴδασι τὸν Θεὸν οἱ ποιοῦντες τὴν ἀνομίαν.
9. Οἱ ἀναλισκόμενοι τοὺς ἁγίους μου ἐν φόνῳ μαχαίρας, τὸν Θεὸν οὐκ ἐφοβήθησαν.
10. Ἀλλὰ μᾶλλον τὴν βασιλείαν τοῦ κόσμου τούτου ἐφοβήθησαν.
11. Διχοτομήσει τὸ μέρος τῶν ὑποκριτῶν.
12. Ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ἐρεῖ αὐτούς· «Οὐκ οἶδα ὑμᾶς.[1]»
13. Τίς ἄλλος δυνήσεται τὴν σωτηρίαν δοῦναι τῷ λαῷ ἐν τῇ Σιών;
14. Εἰ μὴ ὁ ἐν αὐτῇ σταυρωθεὶς Θεὸς Λόγος, ὅταν ἐπιστρέψῃ τὴν αἰχμαλωσίαν ἡμῶν διὰ τοῦ ἰδίου θανάτου.
15. Ἀγαλλιάσεται ὁ λαὸς τῶν Ἰουδαίων τῶν πεπιστευκότων· ὁμοίως δὲ καὶ τῶν ἐθνῶν τῶν πεπιστευκότων.

«Εἰς τὸ τέλος, ἐν ὕμνοις συνέσεως τῷ Δαυίδ, ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους, καὶ εἰπεῖν τῷ Σαούλ· Οὐκ ἰδοὺ Δαυὶδ κέκρυπται παρ' ἡμῖν;»

ΨΑΛΜ. ΝΓ′.

1. Ὁ Θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με·
2. Καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.
3. Ὁ Θεός, εἰσάκουσον τῆς προσευχῆς μου·
4. Ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.
5. Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμέ·
6. Καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου·

---

1. Ματθ. 25, 12.

7. Καὶ οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν.
8. Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι·
9. Καὶ ὁ Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου.
10. Ἀποστρέψη [Ἀποστρέψει] τὰ κακὰ τοῖς ἐχθροῖς μου·
11. Ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς.
12. Ἑκουσίως θύσω σοι,
13. Ἐξομολογήσομαι τῷ ὀνόματί σου, Κύριε, ὅτι ἀγαθόν.
14. Ὅτι ἐκ πάσης θλίψεως ἐρρύσω με
15. Καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, συνέσεως ἐν ὕμνοις τῷ Δαυίδ, ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους, καὶ εἰπεῖν τῷ Σαούλ· Οὐκ ἰδοὺ Δαυὶδ κέκρυπται παρ' ἡμῖν;» Δαυὶδ οὖν ἑρμηνεύεται «ἐξουθένημα·» Ζιφαῖοι δὲ ἑρμηνεύονται «ἀναθάλλοντες.» Σαοὺλ δὲ ἑρμηνεύεται «αἰτητός.» Τοῦτο οὖν λέγει· οἱ δαίμονες τῷ διαβόλῳ λέγουσιν· Ἰδοὺ συγκεκλεισμένον ἔχομεν τὸν ἐξουθενημένον ἐκεῖνον· λοιπὸν συλληφθεὶς ὑπ' αὐτῶν ἐπὶ τέλει εἰς σύνεσιν ἔλθῃ ὑπὸ τοῦ Θεοῦ, ἀνυμνεῖ τὸν Θεόν, καὶ δέεται αὐτοῦ λέγων·

1. Ὁ Θεός, τὸ ὄνομά σου ἐπαναπαύεται [ἐπαναπαυέσθω] ἐπ' ἐμέ.
2. Καὶ κατὰ τὴν δύναμίν σου βοήθησόν με.
3. Εἰς τὰ ὦτά σου εἰσακουσθήτω ἡ προσευχή μου.
4. Πάντων ὁμοῦ τῶν ῥημάτων ἀκοῦσαι καταξίωσον· μηδὲν αὐτῶν ἀπόβλητον ἔστω παρὰ σοί.
5. Οἱ δαίμονες.
6. Ὁμοίως αἱ ἐναντίαι δυνάμεις.
7. Καὶ οὐκ ἐλογίσαντο, ὅτι ὁ Θεὸς δυνατός ἐστι τοῦ ῥύσασθαί με ἀπ' αὐτῶν.
8. Ἰδοὺ γὰρ ὁ Θεὸς λυτροῦταί με καθ' ἑκάστην.
9. Καὶ ὡς Δεσπότης μου ἀντιποιεῖται τοῦ πλάσματος αὐτοῦ.
10. Ἀποστρέψει [Ἀποστρέψεται] ἡ ὀδύνη αὐτῶν ἐπ' αὐτούς.
11. Ἐν τῇ χάριτι τοῦ ἁγίου Πνεύματος ἀπέλασον αὐτοὺς ἀπὸ τῆς ψυχῆς μου.
12. Ἵνα λοιπὸν ἐν μηδενὶ κατεχόμενος δοξάσω σε.
12. Ἀνυμνήσω τὸ ὄνομά σου, ὅτι ἀγαθόν ἐστιν ἐπαναπαυόμενον ἐπί τινα.
14. Πάσης ἁμαρτίας.
15. Καὶ τῇ διανοίᾳ προσέσχον μετ' ὀργῆς κατὰ τῶν ἐχθρῶν μου.

«Εἰς τὸ τέλος, ἐν ὕμνοις [ψαλμὸς] συνέσεως τῷ Δαυίδ.»
ΨΑΛΜ. ΝΔʹ.

1. Ἐνώτισαι, ὁ Θεός, τὴν προσευχήν μου,
2. Καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου·
3. Πρόσχες μοι, καὶ εἰσάκουσόν μου.
4. Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην,
5. Ἀπὸ φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ.
6. Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.
7. Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ.
8. Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμέ·
9. Καὶ ἐκάλυψέ με σκότος.
10. Καὶ εἶπα· Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς· καὶ πετασθήσομαι, καὶ καταπαύσω;
11. Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.
12. Προσεδεχόμην τὸν Θεὸν τὸν σῴζοντά με ἀπὸ ὀλιγοψυχίας, καὶ ἀπὸ καταιγίδος.
13. Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν·
14. Ὅτι εἶδον ἀνομίαν, καὶ ἀντιλογίαν ἐν τῇ πόλει.
15. Ἡμέρας καὶ νυκτὸς κυκλώσει, αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς·
16. Καὶ ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς, καὶ ἀδικία.
17. Καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος.
18. Ὅτι, εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν.
19. Καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ.
20. Σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου, καὶ γνωστέ μου·
21. Ὃς [Ὡς] ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα·
22. Ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ.
23. Ἐλθέτω δὴ θάνατος ἐπ' αὐτούς,
24. Καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες.
25. Ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν, ἐν μέσῳ αὐτῶν.
26. Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέ μου.
27. Ἑσπέρας, καὶ πρωί, καὶ μεσημβρίας διηγήσομαι,
28. Καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου.
29. Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι·
30. Ὅτε ἐν πολλοῖς ἦσαν σὺν ἐμοί.
31. Εἰσακούσεται ὁ Θεός, καὶ ταπεινώσει αὐτούς, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων.

Διάψαλμα.

32. Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, ὅτι οὐκ ἐφοβήθησαν τὸν Θεόν.

33. Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι.
34. Ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ·
35. Διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ,
36. Καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν.
37. Ἡπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον,
38. Καὶ αὐτοί εἰσι βολίδες.
39. Ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός τε διαθρέψει·
40. Οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ.
41. Σὺ δέ, ὁ Θεός, κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς.
42. Ἄνδρες αἱμάτων καὶ δολιότητος,
43. Οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν.
44. Ἐγὼ δέ, Κύριε, ἐλπιῶ ἐπὶ σέ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος ἐν ὕμνοις ψαλμὸς τῷ Δαυίδ.» Τοῦτο οὖν λέγει, ὅτι ὁ ψαλμὸς οὗτος λέγεται παρὰ τοῦ ἐπὶ τέλει ἐπιστρέφοντος, καὶ δεομένου τοῦ Θεοῦ ὕμνοις ῥυσθῆναι ἀπὸ τῶν τοῦ διαβόλου δυνάμεων, ἡνίκα ἀποτάξηται τῷ κόσμῳ. «Δαυὶδ» γὰρ ἑρμηνεύεται «οὗτος ἀγαπητὸς» ὅπερ ἐστὶν «ἀποτασσόμενος τῷ κόσμῳ.»

1. Εἰσάκουσον, ὁ Θεός, τὴν προσευχήν μου.
2. Καὶ μὴ καταλίπῃς αὐτὴν ἀπρόσδεκτον εἶναι παρὰ σοῦ.
3. Ἐπειδὴ ἕως τοῦ νῦν ἀπεστραμμένος ὑπῆρχες, νῦν ἡδέως μου ἄκουσον.
4. Ἐλυπήθην ἐν τῇ μερίμνῃ μου, καὶ ἐφοβήθην.
5. Ἀπὸ τῆς δυναστείας τοῦ διαβόλου καὶ τῆς ἁμαρτίας.
6. Ὅτι ἐκολλήθησάν μοι, καὶ μετ' ὀργῆς πολλῆς σκοτίζουσί με.
7. Διὰ τὴν μέλλουσαν γενέσθαι κρίσιν.
8, 9. Ἀγὼν πολύς μοί ἐστι, καὶ οὐκ οἶδα τί ποιήσω.
10. Καὶ εἶπα· Τίς καταδιώξει [καταξιώσει] με τῆς χάριτος τοῦ ἁγίου Πνεύματος, καὶ λάβω ἐμαυτὸν ἀπὸ τοῦ κόσμου, καὶ ἡσυχάσω;
11. Ἀνεχώρησα ἐκ τοῦ κόσμου, ἀνεπαυσάμην καταμόνας.
12. Λοιπὸν προσεδεχόμην τὸν Θεὸν τὸν λυτρούμενόν με ἀπὸ τῶν εἰσβολῶν τοῦ ἐχθροῦ.
13. Θανάτωσον, Κύριε, καὶ σύντριψον κακίαν αὐτῶν.
14. Ὅτι αἴσθομαι ἐν τῇ καρδίᾳ μου.
15. Ἀπαύστως ἡμέρας καὶ νυκτὸς περικαθέζεταί μοι ἡ ἁμαρτία.
16. Πεπλήρωται ἡ διάνοιά μου λογισμῶν.
17. Καὶ οὐκ ἀφίσταται ἀπὸ τῆς καρδίας μου ἡ προϋπάρχουσα ἁμαρτία.
18. Καὶ ὅτε ὁ ἐχθρὸς ὠνείδιζέ με, ὑπέφερον.

19. Καὶ πάλιν ὅτε τὴν ἀπάτην τοῦ βίου ἐνέβαλέ μοι, οὐκ ἠνεχόμην [ἠνεσχόμην] αὐτοῦ.
20. Σοὶ δὲ λέγω τῇ διανοίᾳ μου· Τὸ ἡγεμονικόν μου·
21. Τὸ μετ' ἐμοῦ τὰ λόγια τοῦ Θεοῦ ἡδέως ἔχον·
22. Πορευθῶμεν ἅμα εἰς προσευχήν.
23. Καὶ ἔρχεται ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς λογισμοὺς τοὺς κακούς.
24. Καὶ ἀφανεῖς γίνονται περὶ χρήματος.
25. Ὅτι κακία πολλὴ ἐν τῇ καρδίᾳ, ὅταν οἰκοῦσιν ἐν αὐτῇ.
26. 'Εγὼ ἀδικούμενος ὑπ' αὐτῶν ἀνεβόησα πρὸς τὸν Θεόν, καὶ ὁ Κύριος ἐβοήθησέ μοι.
27. 'Απαύστως δεόμενος ἐξομολογήσομαί σοι.
28. Καὶ ὁσάκις ἂν ἀναβοήσω πρὸς αὐτὸν πληρῶσαι τὸ αἴτημά μου, καὶ πρόνοιάν μου ποιήσεται.
29. Λυτρώσεται διὰ τῆς χάριτος αὐτοῦ τὴν ψυχήν μου ἀπὸ τῶν πονηρῶν λογισμῶν.
30. Ὅτι πολλοὶ ἦσαν ἐν τῇ καρδίᾳ μου.
31. Εἰς πέρας ἀγαγεῖ τὴν δέησίν μου καὶ ὑποστρώσει αὐτοὺς τοῖς ποσί μου ὁ προαιώνιος Θεός.
32. Οὐ γὰρ συγχωρήσεται αὐτοῖς.
33. Κατασχεῖν με ἠθέλησεν ὁ ἐχθρὸς ἐν τῷ τὸν Θεὸν λυτροῦσθαί με ἀπὸ τῆς ἁμαρτίας.
34. 'Εμόλυναν τοὺς ἀνθρώπους διὰ τῆς ἀνομίας.
35. 'Ηπατήθησαν οἱ ἄνθρωποι ἀπὸ τῆς κακίας τῶν δαιμόνων.
36. Καὶ συνεκλείσθησαν αἱ καρδίαι αὐτῶν.
37. Τῇ ἀπάτῃ τῆς ἁμαρτίας.
38. Ὡς τόξον ἐπάρθησαν ἀπ' αὐτοῦ.
39. Δεήθητι τοῦ Κυρίου, καὶ αὐτός σε ζωοποιήσει.
40. Οὐκ ἐάσει ποτὲ πειρασθῆναι τὸν δίκαιον.[1]
41. 'Εν τῷ μέλλοντι αἰῶνι τοὺς δαίμονας.
42. Αἱ τοῦ ἐχθροῦ δυνάμεις.
43. Ἦσαν γὰρ ἀθάνατοι· παραδοθήσονται δὲ εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον αὐτοῖς.
44. 'Εγὼ δὲ ἐλπίζω ἐπὶ σέ, ὅτι λυτροῦσαί με [νῦν λυτρώσῃ με], καὶ ἐν ἐκείνῳ τῷ αἰῶνι πάσης τιμωρίας.

«Εἰς τὸ τέλος, ὑπὲρ τοῦ λαοῦ, τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου, τῷ Δαυὶδ εἰς στηλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ.» ΨΑΛΜ. ΝΕ'.

1. 'Ελέησόν με, ὁ Θεός, ὅτι κατεπάτησέ με ἄνθρωπος·
2. Ὅλην τὴν ἡμέραν πολεμῶν, ἔθλιψέ με.

1. Πρβλ. Α' Κορ. 10, 13.

3. Κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν·
4. Ὅτι πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους.
5. Ἡμέρας οὐ φοβηθήσομαι·
6. Ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ.
7. Ἐν τῷ Θεῷ ἐπαινέσω τοὺς λόγους μου·
8. Ἐπὶ τῷ Θεῷ ἤλπισα οὐ φοβηθήσομαι, τί ποιήσει μοι σάρξ.
9. Ὅλην τὴν ἡμέραν τοὺς λόγους ἐβδελύσσοντο.
10. Κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν.
11. Παροικήσουσι, καὶ κατακρύψουσιν·
12. Αὐτοὶ τὴν πτέρναν μου φυλάξουσι,
13. Καθάπερ ὑπέμειναν τὴν ψυχήν μου.
14. Ὑπὲρ τοῦ μηδενὸς σώσεις αὐτούς·
15. Ἐν ὀργῇ λαοὺς κατάξεις.
16. Ὁ Θεός, τὴν ζωήν μου ἐξήγγειλά σοι.
17. Ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου, ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου.
18. Ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω·
19. Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε.
20. Ἰδοὺ ἔγνων, ὅτι Θεός μου εἶ σύ.
21. Ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα.
22. Ἐπὶ τῷ Κυρίῳ αἰνέσω λόγον.
23. Ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι· τί ποιήσει μοι ἄνθρωπος;
24. Ἐν ἐμοί, ὁ Θεός, εὐχαί, ἃς ἀποδώσω αἰνέσεώς σου.
25. Ὅτι ἐρρύσω τὴν ψυχήν μου ἐκ θανάτου,
26. Τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων,
27. Καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.
28. Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν φωτὶ ζώντων.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ὑπὲρ τοῦ λαοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου, τῷ Δαυὶδ εἰς στηλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ. Τῶν ἀπὸ τῶν ἁγίων δὲ μεμακρυμμένου [ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου]· τουτέστιν ὑπὲρ τῶν ἐθνῶν τῶν τὸ πρότερον μεμακρυμμένων ἀπὸ τῶν ἁγίων. Εἶτα, «τῷ Δαυὶδ εἰς στηλογραφίαν·» λέγω δὴ ἐπὶ τέλει ἐπιστρεφόντων εἰς τὴν τοῦ Κυρίου εὐάρεστον πολιτείαν· ὥσπερ γὰρ στήλην τινὰ διαγράφει ταύτην· «τὸν δὲ Δαυὶδ εἰς τὸν Κύριον θεωρητέον, διὰ τὸ ἑρμηνεύεσθαι αὐτὸν «ἱκανὸν χειρί·» εἶτα· «Ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ.» «Ἀλλόφυλοι» ἑρμηνεύονται «πίπτοντες ποτήματι.» «Ἐν Γὲθ» δὲ ἑρμηνεύεται «ἐν ληνῷ.» Τοῦτο οὖν λέγει, ὅταν τις κατέχεται ἐν τῇ καρδίᾳ ἑαυτοῦ ὑπὸ τῶν ἐναντίων δυνάμεων, καὶ ἐπιστρέψας εἰς τὴν τοῦ Κυρίου πολιτείαν, ἄρχεται λέγειν τῷ Θεῷ τὸν παρακείμενον ψαλμόν.

1. Περὶ τοῦ διαβόλου λέγει.
2. Ἀπαύστως ἐμβάλλων μοι τὰς ἑαυτοῦ ἐνθυμήσεις.
3. Οἱ δαίμονες καὶ αὐτοὶ ὁμοίως, ἀπαύστως.
4. Οἱ λογισμοὶ οἱ πετάμενοι, καὶ εἰσιόντες ἐν ταῖς καρδίαις.
5, 6. Ὧν ἐν τῷ φωτί σου νῦν οὐκ ἔτι φοβοῦμαι· ἀλλ' ἐλπιῶ ἐπὶ σοί.
7. Τὴν εὐχήν μου προσενέγκω.
8. Τουτέστιν, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἁμαρτία.
9. Πάντοτε τὴν εὐχήν μου, ἣν ἀνέπεμπον τῷ Θεῷ, ἐκεῖνοι ἔφευγον.
10. Καὶ λοιπὸν συνεβουλεύοντο τὸ πῶς παγιδεύσωσί με.
11. Παραμενοῦσι καὶ τηρήσουσι τὸ πῶς πιάσωσί με.
12. Ἐκδέχονται σκελίσαι με.
15, 14. Ὡς αὐτοὶ ἐκδέχονται ἀπολέσαι τὴν ψυχήν μου ἀκαίρως, αὐτὸς κατέβαλεν αὐτούς.
15. Τὸ πλῆθος αὐτῶν.
16. Τὴν προτέραν μου ἀναστροφὴν ἐξωμολογησάμην σοι.
17. Αὐτὸς δὲ ἐξέδωκα τὰ δάκρυα, καθὼς ἐπηγγείλαμεν τοῖς μετανοοῦσι ποιεῖν.
18. Ἀναχωρήσουσιν οἱ δαίμονες αἰσχυνόμενοι.
19. Ἀφ' ἧς ἡμέρας ἐπεκαλεσάμην σε.
20. Ἔγνων, ὅτι Θεός μου εἶ σύ.
21. Ἐπὶ τῷ Θεῷ, λέγει, καυχήσομαι.
22. Τὴν εὐχήν μου.
23. Τί ποιήσει μοι ὁ διάβολος;
24. Διαμενοῦσι, Κύριε, αἱ εὐχαριστίαι, ἃς ἀποδώσω τῇ δόξῃ σου.
25. Ἐκ τῆς ἁμαρτίας.
26. Ἀπὸ τῶν δαιμόνων.
27. Ἀπὸ πτώματος.
28. Εὐχαριστήσω τῷ Κυρίῳ ἐν ταῖς ὁδοῖς τῶν ἁγίων.

«Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαυίδ, εἰς στηλογραφίαν, ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον.»

ΨΑΛΜ. ΝϚʹ.

1. Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με·
2. Ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου.
3. Καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ,
4. Ἕως οὗ παρέλθῃ ἡ ἀνομία.
5. Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν ὕψιστον,
6. Τὸν Θεὸν τὸν εὐεργετήσαντά με.
7. Ἐξαπέστειλεν ἐξ οὐρανοῦ, καὶ ἔσωσέ με·
8. Ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦντάς με.

9. Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ, καὶ τὴν ἀλήθειαν αὐτοῦ·
10. Καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων·
11. Ἐκοιμήθην τεταραγμένος.
12. Υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλα καὶ βέλη·
13. Καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα.
14. Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός·
15. Καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.
16. Παγίδα ἡτοίμασαν τοῖς ποσί μου·
17. Καὶ κατέκαμψαν τὴν ψυχήν μου.
18. Ὤρυξαν πρὸ προσώπου μου βόθρον·
19. Καὶ ἐνέπεσον εἰς αὐτόν.

Διάψαλμα.

20. Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός·
21. Ἑτοίμη ἡ καρδία μου, ᾄσομαι, καὶ ψαλῶ ἐν τῇ δόξῃ μου.
22. Ἐξεγέρθητι, ἡ δόξα μου·
23. Ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα.
24. Ἐξεγερθήσομαι ὄρθρου.
25. Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε·
26. Ψαλῶ σοι ἐν ἔθνεσιν.
27. Ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου·
28. Καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.
29. Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός·
30. Καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος μὴ διαφθείρῃς, τῷ Δαυίδ, εἰς στηλογραφίαν, ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον.» Τοῦτο οὖν δηλοῖ, ὅταν τις φεύγῃ ἀπὸ προσώπου Σαοὺλ εἰς τὸν μονήρη βίον, μηκέτι διαφθείρει εἰς τὴν τοῦ Κυρίου πολιτείαν, ἀλλὰ βοᾶν [βοᾷ] πρὸς αὐτὸν τὸν προκείμενον ψαλμόν. Σαοὺλ γὰρ εἰς τὸν διάβολον ἑρμηνεύεται, καθὼς πολλάκις εἰρήκαμεν.

1, 2. Δέομαί σου, ὁ Θεός, ἐλέησόν με, ὅτι πεπίστευκά σοι, ὅτι ἐλεήμων εἶ.
3. Καὶ ἐν τῇ ἀναπαύσει τῶν δύων σου διαθηκῶν ἐλπιῶ·
4. Ἕως οὗ συντελεσθῇ ὁ κόσμος.
5. Δεηθήσομαι, λέγει, τοῦ Θεοῦ τοῦ ὑψίστου·
6. Τὸν δωρησάμενον τὰ ἑαυτοῦ πάντα.
7. Τὸν Θεὸν Λόγον ἐξαπέστειλεν ὁ Πατήρ.
8. Τοὺς δαίμονας λέγει.
9. Τὸν Υἱὸν αὐτοῦ, καὶ τὸ Πνεῦμα αὐτοῦ τὸ ἅγιον.

10. Ἐκ μέσου τῶν δαιμόνων.
11. Ἀνεπαυσάμην μετὰ φροντίδος τῶν ἁμαρτιῶν μου.
12. Τῶν ἀνθρώπων αἱ διδασκαλίαι θανατηφόροι εἰσίν.
13. Καὶ ἡ λαλιὰ αὐτῶν ἠκονημένη εἰς κακά.
14. Δοξάσθητι ἐν τοῖς ἁγίοις σου, ὁ Θεός.
15. Καὶ ἐν παντὶ τῷ κόσμῳ ἡ πίστις σου.
16. Οἱ δαίμονες τὴν ἁμαρτίαν.
17. Καὶ εἵλκυσαν τὴν ψυχήν μου.
18. Ηὐτρέπισάν μοι τοῦ πεσεῖν εἰς τὴν ἁμαρτίαν, καὶ ἐμὲ μὲν ἐρρύσω·
19. Ἐκεῖνοι δὲ ἐνέμειναν ἐν αὐτῇ.
20. Εἰς τὸ θέλημά σου.
21. Ἀνυμνῶν σου καὶ λέγων τὰς δωρεὰς ἃς ἐχαρίσω μοι.
22. Ἡ χάρις σου.
23. Τὸ Πνεῦμά σου τὸ ἅγιον.
24. Ἐν τῷ φωτί σου.
25. Δοξάσω σε, λέγει.
26. Ὅταν σταυρωθεὶς [σταυρωθῇς] ὑπὲρ παντὸς τοῦ κόσμου.
27. Ὅτι ἐδοξάσθη ἀπὸ τῆς γῆς ἕως τῶν οὐρανῶν τὸ πάθος σου.
28. Καὶ ἡ πίστις σου εἰς τοὺς ἁγίους.
29. Ἀναλήφθητι εἰς τοὺς οὐρανούς.
30. Καὶ ἐν τῇ γῇ πάσῃ τὸ πάθος σου δοξασθήσεται

«Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαυὶδ εἰς στηλογραφίαν.»
ΨΑΛΜ. ΝΖʹ.

1. Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε,
2. Εὐθείας κρίνατε, υἱοὶ τῶν ἀνθρώπων.
3. Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίαν ἐργάζεσθε ἐν τῇ γῇ·
4. Ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσιν.
5. Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας·
6. Ἐπλανήθησαν ἀπὸ γαστρός, ἐλάλησαν ψευδῆ.
7. Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως,
8. Ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς·
9. Ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπᾳδόντων, φαρμακοῦ τε,
10. Φαρμακευομένη παρὰ σοφοῦ.
11. Ὁ Θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν·
12. Τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ Κύριος.
13. Ἐξουδενωθήσονται ὡσεὶ διαπορευόμενον·
14. Ἐντενεῖ τὸ τόξον αὐτοῦ, ἕως οὗ ἀσθενήσουσιν.
15. Ὡσεὶ κηρὸς τακείς, ἀνταναιρεθήσονται·
16. Ἔπεσε πῦρ ἐπ' αὐτούς, καὶ οὐκ εἶδον τὸν ἥλιον.
17. Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον.

18. Ὡσεὶ ζῶντας, ὡσεὶ ἐν ὀργῇ καταπίεται αὐτούς.
19. Εὐφρανθήσεται δίκαιος, ὅταν ἴδῃ ἐκδίκησιν·
20. Τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ.
21. Καὶ ἐρεῖ ἄνθρωπος· Εἰ ἄρα ἐστὶ καρπὸς τῷ δικαίῳ·
22. Ἄρα ἐστὶν ὁ Θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, μὴ δαφθείρῃς, τῷ Δαυὶδ εἰς στηλογραφίαν.» Τοῦτο οὖν λέγει ἕως τέλους μὴ διαφθείρῃς κατὰ Θεόν σου πολιτείαν· ὡς γὰρ πολλάκις εἰρήκαμεν, ἡ στηλογραφία εἰς τὴν πολιτείαν θεωρεῖται.

1. Εἰ κατὰ ἀλήθειαν Χριστιανοί ἐστε,
2. Δίκαια καὶ ἄξια βουλεύεσθε περὶ ἑαυτοῦ [ἑαυτῶν].
3. Καὶ γὰρ τοῖς ἀνθρώποις φαίνεσθε δίκαιοι ἔξωθεν· ἔσωθεν δὲ γέμετε πάσης πλάνης.
4. Καὶ αἱ καρδίαι ὑμῶν ἐξερευνήσεις τινὰς συντιθεῖσιν.
5. Οἱ τοιοῦτοι ἀπηλλοτριώθησαν ἀπ' ἐμοῦ τῆς κολυμβήθρας.
6. Πλάνην γὰρ ἔλαβον ἀπὸ τοῦ βαπτίσματος.
7. Ἡ διδαχὴ αὐτῶν θανατηφόρος, ὡς ὁ υἱὸς τοῦ ὄφεως.
8. Ἀπὸ τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέφουσιν.
9. Οὕτως οὐδὲ οὗτοι ἀκούουσι τῶν διδασκόντων αὐτοὺς τὴν ἀλήθειαν.
10. Οἱ διδάσκαλοι αὐτῶν τῇ σοφίᾳ τοῦ κόσμου τούτου ἀπατῶσιν αὐτούς.
11. Τὰς διδασκαλίας αὐτῶν.
12. Τοὺς ἡγουμένους αὐτῶν.
13. Ἡ ἡμέρα τῆς κρίσεως ἀπορρίψει αὐτούς.
14. Ἐνισχύσει τὸν λόγον τοῦ κηρύγματος αὐτοῦ ἕως τῆς συντελείας.
15. Ὡς ὁ κηρὸς ἐν τῷ πυρὶ ἀναλίσκεται, οὕτως ἔσται ἡ ἀπώλεια αὐτῶν.
16. Κατεκυρίευσεν αὐτῶν ὁ Σατανᾶς, καὶ οὐκ ἔγνωσαν τὸν Κύριον.
17, 18. Πρὸ τοῦ τὰς ἀνομίας ὑμῶν κεκολλῆσθαι τῷ Διαβόλῳ, ὡς ἔτι ἐστὲ ζῶντες, ἐν τῇ ὀργῇ αὐτοῦ κατέπιεν ὑμᾶς διὰ τὴν πλάνην τῆς αἱρέσεως ὑμῶν.
19. Ἐν τῷ καιρῷ τῆς ἀνταποδόσεως.
20. Ἀθῶον ἑαυτὸν δείξει ἀπὸ τῆς ἁμαρτίας.
21. Καὶ ἐρεῖ ἕκαστος· Ὄντως ἐστὶν μισθαποδοσία τῷ δικαίῳ.
22. Ὄντως ἐστὶν ὁ ποιῶν αὐτῶν τὴν ἐκδίκησιν.

«Εἰς τὸ τέλος, μὴ διαφθείρῃς τῷ Δαυΐδ, εἰς στηλογραφίαν, ὁπότε ἀπέστειλε Σαούλ, καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ, τοῦ θανατῶσαι αὐτόν.»

ΨΑΛΜ. ΝΗ'.

1. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός·
2. Καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με.
3. Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν·
4. Καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με.
5. Ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου,
6. Ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί.
7. Οὔτε ἡ ἀνομία μου, οὔτε ἡ ἁμαρτία μου, Κύριε·
8. Ἄνευ ἀνομίας ἔδραμον, καὶ κατεύθυνα.
9. Ἐξεγέρθητι εἰς συνάντησίν μου, καὶ ἴδε.
10. Καὶ σύ, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ Θεὸς τοῦ Ἰσραήλ.
11. Πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη·
12. Μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

Διάψαλμα

13. Ἐπιστρέψουσιν εἰς ἑσπέραν, λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν.
14. Ἰδοὺ αὐτοὶ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν.
15. Καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν·
16. Ὅτι τίς ἤκουσε; Καὶ σύ, Κύριε, ἐκγελάσεις αὐτούς·
17. Ἐξουδενώσεις πάντα τὰ ἔθνη.
18. Τὸ κράτος μου πρὸς σὲ φυλάξω.
19. Ὅτι σύ, ὁ Θεός, ἀντιλήπτωρ μου εἶ.
20. Ὁ Θεός μου, τὸ ἔλεος αὐτοῦ προφθάσει με·
21. Ὁ Θεός μου δείξει μοι ἐν τοῖς ἐχθροῖς μου.
22. Μὴ ἀποκτείνῃς αὐτούς, μήποτε ἐπιλάθωνται τοῦ νόμου σου.
23. Διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου·
24. Καὶ κατάγαγε αὐτούς, ὁ ὑπερασπιστής μου Κύριε.
25. Ἁμαρτία στόματος αὐτῶν λόγος χειλέων αὐτῶν·
26. Καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν.
27. Καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται ἐν συντελείᾳ,
28. Ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξωσι.
29. Καὶ γνώσονται, ὅτι ὁ Θεὸς δεσπόζει τοῦ Ἰακώβ, καὶ τῶν περάτων τῆς γῆς.
30. Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων,
31. Καὶ κυκλώσουσι πόλιν.
32. Αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν·
33. Ἐὰν δὲ μὴ χορτασθῶσι, καὶ γογγύσουσι [γογγύσωσιν.]
34. Ἐγὼ δὲ ᾄσομαι τῇ δυνάμει σου [τὴν δύναμίν σου.]
35. Καὶ ἀγαλλιάσομαι τὸ πρωῒ τὸ ἔλεός σου.

36. Ὅτι ἐγενήθης ἀντιλήπτωρ μου,
37. Καὶ καταφυγή μου ἐν ἡμέρᾳ θλίψεώς μου.
38. Βοηθός μου εἶ, σοὶ ψαλῶ·
39. Ὅτι σὺ ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ·
40. Ὁ Θεός μου τὸ ἔλεός μου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαυὶδ εἰς στηλογραφίαν.» Τοῦτο οὖν λέγει· εἰς ἀρετήν τινα τοῦ Κυρίου, ἥτις ἐστὶ στηλογραφία, «μὴ διαφθείρῃς ἕως τέλους.» Εἶτα· «Ὁπότε ἀπέστειλε Σαούλ, καὶ ἐφύλαξεν οἶκον αὐτοῦ, τοῦ θανατῶσαι αὐτόν», τουτέστιν, οὕτως καὶ ὁ διάβολος ἀποστέλλει ἐπιτηρῆσαι τὸν οἶκον αὐτοῦ, τοῦ θανατῶσαι. Μὴ διαφθείρῃς οὖν ἕως τέλους [τινὰ] τῶν ἐντολῶν τοῦ Κυρίου, ἀλλὰ λέγε τὸν ὑποτεταγμένον ψαλμόν. Πολλάκις γὰρ εἴπαμεν τὴν ἑρμηνείαν τοῦ ὀνόματος καὶ τοῦ «Σαούλ», καὶ «τοῦ Δαυίδ», ὁτὲ μὲν εἰς τὸν Κύριον καὶ εἰς τοὺς αὐτοῦ ἑρμηνεύεται, ὁτὲ δὲ εἰς τὸν διάβολον.

1, 2. Τῶν ἐν καρδίᾳ μου λογισμῶν.
3. Τῶν ἡδονῶν τῶν στρατευομένων ἐν τοῖς βέλεσί μου.
4. Τῶν ἐναντίων δυνάμεων.
5. Ὅτι ἰδοὺ συνέχουσι τὴν ψυχήν μου.
6. Οἱ δαίμονες.
7. Οὔτε ἡ ἀνομία μου ἡδέα [ἡδεῖα] μοί ἐστιν, οὔτε ἡ ἁμαρτία μου, Κύριε.
8. Μισήσας τὴν ἀνομίαν, ἔδραμον ἐν ταῖς ἐντολαῖς σου, καὶ κατεύθυνα ἐν τῇ καρδίᾳ μου.
9. Ἐλθὲ εἰς τὴν ἀντίληψίν μου.
10, 11. Σὺ αὐτός, Κύριε, ἐλθέ, καὶ διὰ τῆς σῆς παρουσίας ἴασαι πάντα τὰ ἔθνη.
12. Τὰς ἐναντίας δυνάμεις.
13. Ἔρχονται ἐν σκότει κυκλοῦντες τὴν ψυχήν, καὶ κατεσθίειν ζητοῦσιν ὡς κύνες.
14. Ἰδοὺ αὐτοὶ οὗτοι πιθανότητάς τινας λαλοῦσι.
15. Καὶ ἀναιροῦσιν ἐν τοῖς λόγοις αὐτῶν τοὺς ἀκούοντας αὐτῶν.
16. Καὶ σύ, Κύριε, ἀπελάσεις αὐτούς.
17. Τὰ ἔθνη αὐτὰ ταῦτα.
18. Τὴν βοήθειάν μου παρὰ σοῦ αἰτήσω.
19. Ὅτι σὺ ὑπάρχεις Θεός μου.
20. Ὁ ἔφορός μου, τὸ ἔλεος αὐτοῦ σκεπάσει με.
21. Τοῖς δαίμοσι.
22. Μὴ παντελῶς ποιήσῃς αὐτοὺς μὴ εἶναι, μήποτε ὡς μὴ ὑπάρχοντες οὐκ ἔτι μνημονεύσουσι τῶν κολάσεων, ὧν ἐπάγεις αὐτοῖς.

23. Ἀλλὰ διασκόρπισον αὐτοὺς εἰς τὸ πῦρ τὸ αἰώνιον.
24. Καὶ εἰς τάρταρα τῆς γῆς κατάγαγε αὐτούς.
25. Διὰ τὰς ἁμαρτίας τοῦ στόματος αὐτῶν, καὶ τοὺς λόγους οὓς ἐλάλησαν κατὰ σοῦ.
26. Καὶ καταδικασθῶσιν ἐν τῇ ἀνταρσίᾳ αὐτῶν.
27. Καὶ τῆς ἐκκοπῆς καὶ τοῦ ψεύδους, οὗ ἐλάλησαν, καὶ ἐδίδαξαν ἐν τῷ κόσμῳ.
28. Καὶ ἐν τῇ ὀργῇ τῆς συντελείας οὐ μὴ ὑπάρξωσιν.
29. Καὶ τότε γνώσονται, ὅτι τῷ Θεῷ δουλεύσουσι πᾶσαι φυλαὶ γλῶσσαι.
30. Ἀχθήσονται ἐν τῇ συντελείᾳ ὑλακτοῦντες ὡς κύων.
31. Ἔξω τῆς Ἱερουσαλήμ.
32. Αὐτοὶ ἀπορριφθήσονται.
33. Τῆς αἰωνίου τροφῆς.
34. Γογγύσουσι μὲν οἱ δαίμονες, ἐγὼ δὲ ἀνυμνήσω τὴν δύναμίν σου, ὅτι τούτων περιεγένου.
35. Καὶ ἀγαλλιάσομαι ἐν τῷ ἀιδίῳ φωτὶ διὰ τὸ ἔλεός σου.
36-39. Εἰς σεαυτὸν ἀναδέχῃ τὰ κατ' ἐμέ.
40. Ὁ Θεός μου, οὗ εὔσπλαγχνος [εὐσπλαγχνίᾳ] καταρτίζομαι.

«Εἰς τὸ τέλος, τοῖς ἀλλοιωθησομένοις εἰς στηλογραφίαν τῷ Δαυὶδ εἰς διδαχήν, ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν Συρίας, καὶ τὴν Συρίαν Σοβάλ· καὶ ἐπέστρεψεν Ἰωὰβ καὶ ἐπάταξε τὸν Ἐδὼμ ἐν τῇ φάραγγι τῶν Ἁλῶν, δώδεκα χιλιάδας.» ΨΑΛΜΟΣ ΝΘ'.

1. Ὁ Θεός, ἀπώσω ἡμᾶς, καὶ καθεῖλες ἡμᾶς·
2. Ὠργίσθης καὶ ᾠκτείρησας ἡμᾶς.
3. Συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν·
4. Ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη.
5. Ἔδειξας τῷ λαῷ σου σκληρά.
6. Ἐπότισας ἡμᾶς οἶνον κατανύξεως.
7. Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν, τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου.
8. Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου.
9. Σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου.
10. Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ·
11. Ἀγαλλιάσομαι καὶ διαμεριῶ Σίκιμα·
12. Καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.
13. Ἐμός ἐστι Γαλαὰδ καὶ ἐμός ἐστι Μανασσῆς·
14. Καὶ Ἐφραῒμ κραταίωσις τῆς κεφαλῆς μου.
15. Ἰούδας βασιλεύς μου·
16. Μωὰβ λέβης τῆς ἐλπίδος μου.
17. Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου.

18. 'Εμοὶ ἀλλόφυλοι ὑπετάγησαν.
19. Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς;
20. Ἢ τίς ὁδηγήσει με ἕως τῆς 'Ιδουμαίας;
21. Οὐχὶ σὺ ὁ Θεὸς ὁ ἀπωσάμενος ἡμᾶς;
22. Καὶ οὐκ ἐξελεύσῃ, ὁ Θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν;
23. Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως·
24. Καὶ ματαία σωτηρία ἀνθρώπου.
25. 'Εν τῷ Θεῷ ποιήσομεν δύναμιν·
26. Καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς

'Αθανασίου 'Ερμηνεία.

'Η προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, τοῖς ἀλλοιωθησομένοις εἰς στηλογραφίαν τῷ Δαυὶδ εἰς διδαχήν, ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν Συρίας καὶ τὴν Συρίαν Σωβάλ, καὶ ἐπέστρεψεν 'Ιωάβ, καὶ ἐπάταξε τὸν 'Εδὼμ ἐν τῇ φάραγγι τῶν 'Αλῶν, δώδεκα χιλιάδας.» Τοῦτο οὖν ἐστιν ὃ λέγει, ὅτι ἐπὶ τέλει οἱ ἀλλοιούμενοι, τουτέστιν οἱ μεταβαλλόμενοι ἀπὸ τοῦ κακοῦ εἰς τὸ ἀγαθόν, εἰς στηλογραφίαν ἔρχονται, λέγω δὴ εἰς τὴν ἐνάρετον πολιτείαν· εἶτα· «Τῷ Δαυὶδ εἰς διδαχήν», φημὶ καὶ εἰς διδαχὴν τοῦ «ἱκανοῦ τῇ χειρί», ὅπερ εἰς τὸν Κύριον ἀναφέρεται· καὶ λοιπὸν «ἐνεπύρισε» τὴν ἔπαρσιν τοῦ μετεωρισμοῦ ὡσανεὶ τὴν ἁμαρτίαν, καὶ τὸν μετεωρισμὸν τῆς ἁμαρτίας καὶ παλαιώσεως, τουτέστι τὸν θάνατον· «δώδεκα» γὰρ «χιλιάδες» [χιλιάδας] εἶπε διὰ τὸ πᾶν τῆς ἁμαρτίας τοῦ θανάτου.

1. 'Ο Θεός, ἀπέρριψας ἡμᾶς τοῦ χαρίσματος τῆς υἱοθεσίας, ἧς ἐτίμησας ἡμᾶς ἐξ ἀρχῆς.
2. Οὐκ εἰς τέλος ἀπεστράφης, οὐδὲ ἐπελάθου ἡμῶν.
3. Οἱ ἐξ ἐθνῶν ἀκούσαντες διὰ τοῦ κηρύγματος, ὅτι ἔστησας ἡμέρας, ἐν ᾗ μέλλεις κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ.
4. Ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ὑπήκουσέ σοι.
5. Πάντα τὰ προστάγματά σου.
6. Τὴν χάριν σου εἰς ἐπιστροφήν.
7. Τοῖς πιστοῖς γνῶσιν, τοῦ φυγεῖν ἀπὸ τῆς ἁμαρτίας.
8. 'Απ' αὐτῆς τῆς ἁμαρτίας.
9. 'Επάκουσόν μου, καὶ σῶσον ἐν τῷ Υἱῷ σου.
10. 'Ο Πατὴρ ἐν τῷ Υἱῷ.
11. «Σίκιμα» ἑρμηνεύεται «ἀναβαίνουσα.» Τὴν οὖν ἀναβαίνουσαν ψυχὴν πρὸς μέ, ἢ αὐτὴν τὴν 'Εκκλησίαν ἀποχωρίσω ἀπὸ τοῦ κόσμου ἐμαυτῷ.
12. Καὶ ἐν τῇ ψυχῇ τῶν ταπεινῶν ἐμπεριπατήσω.
13. «Γαλαάδ» ἑρμηνεύεται «κατοικία μαρτυρίου.» «Μανασσῆς» ἑρμηνεύεται «ἐπιλανθανόμενος.» Τοῦτο οὖν λέγει· «'Εμός ἐστι Γαλαάδ, ὁ ἀπὸ τῆς ἁμαρτίας μέτοικος γινόμενος πρὸς ἐμὲ ἐν μαρτυρίᾳ· καὶ

«ἐμός ἐστι Μανασσῆς», ὁ ἐπιλανθανόμενος τῶν προτέρων αὐτοῦ πονηρῶν πράξεων.

14. «'Εφραΐμ» ἑρμηνεύεται «παράκλητος·» ὁ δὲ παράκλητος τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι. Κραταίωσις οὖν τὸ Πνεῦμα τὸ ἅγιον τῆς διανοίας μου· ἡ κεφαλὴ γὰρ πολλάκις εἰς τὸ ἡγεμονικὸν τῆς διανοίας θεωρεῖται.

15. «'Ιούδας·» δῆλον γάρ, ἐξ 'Ιούδα ἀνατέταλκεν ὁ Κύριος.

16. «'Εκ τῆς 'Ρούθ τῆς Μωαβίτιδος» κατάγεται ἡ ἁγία Μαρία· ὡς οὖν διὰ τὴν παρθένον «Μωὰβ» καλεῖται. 'Η Παρθένος οὖν λέβης τοῦ Κυρίου γεγένηται, διὰ τὸ ἐν τῇ κοιλίᾳ αὐτῆς συλληφθείσης καὶ τὸν Κύριον ὑπὲρ φύσεως, καὶ κατὰ φύσιν.

17. Χώρα ἦν τοῦ 'Ησαῦ «ἡ 'Ιδουμαία». «'Ησαῦ» δὲ ἑρμηνεύεται «τριχώδης», ὅπερ ἦσαν τὰ ἔθνη διὰ τὴν τραχύτητα τῆς καρδίας αὐτῶν. 'Επὶ τούτους οὖν, λέγει, τὴν πορείαν μου ποιήσομαι.

18. 'Υπήκουσαν δὲ καὶ ἐπίστευσαν τῷ κηρύγματί μου.

19. Εἰς τὴν ἐπουράνιον πόλιν τίς ἀπάξει με, εἰ μὴ σὺ ὁ δημιουργὸς αὐτῆς;

20. Ἢ τίς ὁδηγήσει με εἰς τὴν σκηνήν σου τὴν ἀτελεύτητον;

21, 22. Εἰ μὴ σύ, ὁ Θεός, ὁ ἀπορρίψας ἡμᾶς.

23. 'Ανάγαγε ἡμᾶς ἐκ τῆς ἁμαρτίας εἰς τὴν ἐπίγνωσίν σου.

24. Πᾶσα σωτηρία ἀνθρωπίνη ματαία.

25. 'Εν τῷ σταυρῷ τοῦ Θεοῦ ὁπλισόμεθα.

26. Καὶ αὐτὸς ὁ σταυρὸς ἀπελάσει τοὺς ἀκαθάρτους δαίμονας.

«Εἰς τὸ τέλος, ἐν ὕμνοις τῷ Δαυίδ.» ΨΑΛΜ. Ξ'.

1. Εἰσάκουσον, ὁ Θεός, τῆς δεήσεώς μου·

2. Πρόσχες τῇ προσευχῇ μου.

3. 'Απὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα, ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου·

4. 'Εν πέτρᾳ ὕψωσάς με.

5. 'Ωδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου,

6. Πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ.

Διάψαλμα.

7. Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας.

8. Σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου.

9. Ὅτι σύ, ὁ Θεός, εἰσήκουσας τῶν εὐχῶν μου·

10. Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου.

11. 'Ημέρας ἐφ' ἡμέρας τοῦ βασιλέως προσθήσεις,

12. Τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς.

13. Διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεοῦ.

14. Ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει;

15. Οὕτω ψαλῶ τῷ ὀνόματί σου εἰς τοὺς αἰῶνας [τὸν αἰῶνα].
16. Τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ἐν ὕμνοις τῷ Δαυΐδ.» Τοῦτο οὖν ἐστιν, ὃ λέγει· μέχρι τέλους εἰς ὕμνον εἴρηται «τῷ ἱκανῷ τῇ χειρί», τουτέστι τῷ Υἱῷ τοῦ Θεοῦ. «Δαυὶδ» γὰρ ἑρμηνεύεται «ἱκανὸς χειρί», ὡς εἴρηκα πολλάκις.

1. Δεκτὴ γένητοι ἐνώπιόν σου ἡ δέησίς μου.
2. Μὴ ἀποστραφῇς τὴν προσευχήν μου.
3. Ὅλων τῶν γηίνων τῶν ἐν τῷ κόσμῳ καθαρίσας τὴν διάνοιάν μου, οὕτως ἐδεήθην σου.
4. Ἐν τῷ νυστάξαι εἰς τὴν ἁμαρτίαν τὴν καρδίαν μου, ἐν ταῖς ἐντολαῖς σου ἐθεμελίωσάς με.
5. Ἐν τῷ φωτὶ τῆς χάριτός σου ὡδήγησάς με.
6. Τεῖχος ἰσχυρόν μοι ὑπάρχεις φεύγοντι ἀπὸ τῆς ἁμαρτίας.
7. Ἐν τοῖς δικαιώμασί σου διαμένω [διαμενῶ] διαπαντός.
8. Φυλαχθήσομαι ὑπὸ τῶν δύο Διαθηκῶν σου.
9. Πληρώσας με τοῦ φωτισμοῦ σου.
10. Τὴν βασιλείαν τῶν οὐρανῶν ἔδωκας τοῖς ποιοῦσι τὸ θέλημά σου.
11. Καὶ τῷ ἀξιωθέντι πιστῷ σου λαῷ ἐν τῷ νῦν αἰῶνι τοῦ φωτὸς τῆς χάριτός σου προσθήσεις αὐτῷ καὶ τοῦ ἀιδίου φωτὸς ἀπολαῦσαι ἐν τῷ μέλλοντι αἰῶνι.
12. Καὶ ἡ ζωὴ αὐτοῦ ἀτελεύτητός ἐστιν.
13. Καὶ ἀχώριστός ἐστι τοῦ ὁρᾶν τὴν δόξαν τοῦ Θεοῦ.
14. Τὴν εὐσπλαγχνίαν αὐτοῦ καὶ τὴν δικαιοκρισίαν τίς καταλάβῃ;
15. Οὕτως ψαλῶ σοι ἀπαύστως, ὡς ὀφείλων, ἐν εὐχαριστίαις.
16. Ἀνυμνεῖν σε καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι.

«Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθοὺμ ψαλμὸς τῷ Δαυΐδ.»
ΨΑΛΜ. ΞΑ΄.

1. Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου;
2. Παρ᾿ αὐτῷ γὰρ τὸ Σωτήριόν μου.
3. Καὶ γὰρ αὐτὸς Θεός μου καὶ Σωτήρ μου,
4. Ἀντιλήπτωρ μου, οὐ σαλευθῶ ἐπὶ πλεῖον.
5. Ἕως πότε ἐπιτίθεσθε ἐπ᾿ ἄνθρωπον;
6. Φονεύετε πάντες ὑμεῖς.
7. Ὡς τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὠσμένῳ;
8. Πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι.

9. Ἔδραμον ἐν δίψῃ.
10. Τῷ στόματι αὐτῶν εὐλόγουν, τῇ καρδίᾳ αὐτῶν κατηρῶντο.

Διάψαλμα.

11. Πλὴν τῷ Θεῷ ὑποτάγηθι, ἡ ψυχή μου·
12. Ὅτι παρ' αὐτῷ ἡ ὑπομονή μου.
13. Ὅτι αὐτὸς Θεός μου καὶ Σωτήρ μου·
14. Ἀντιλήπτωρ μου, οὐ μὴ μεταναστεύσω.
15. Ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν μου καὶ ἡ δόξα μου.
16. Ὁ Θεὸς τῆς βοηθείας μου καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ Θεῷ.
17. Ἐλπίσατε ἐπ' αὐτόν, πᾶσα συναγωγὴ λαῶν.
18. Ἐκχέατε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν·
19. Ὅτι ὁ Θεὸς βοηθὸς ἡμῶν.

Διάψαλμα.

20. Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων·
21. Ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς, τοῦ ἀδικῆσαι·
22. Αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό.
23. Μὴ ἐλπίζετε ἐπ' ἀδικίαν·
24. Καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε·
25. Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν.
26. Ἅπαξ ἐλάλησεν ὁ Θεός, δύο ταῦτα ἤκουσα·
27. Ὅτι τὸ κράτος τοῦ Θεοῦ,
28. Καὶ σοῦ, Κύριε, τὸ ἔλεος.
29. Ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθοὺμ ψαλμὸς τῷ Δαυίδ·» τοῦτο οὖν λέγει· ἐπὶ τέλει τῶν αἰώνων ὑπὲρ «τοῦ ἑνὸς κριτοῦ τοῦ ἐρχομένου·» τοῦτο γὰρ ἑρμηνεύεται Ἰδιθούμ· εἶτα· «Ψαλμὸς τῷ Δαυίδ», τουτέστι ψαλμός, «τῷ ἱκανῷ τῇ χειρί·» τοῦτο γὰρ ἑρμηνεύεται Δαυίδ. Οὐκοῦν σαφῶς λέγει περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ ἑνὸς κριτοῦ ἐρχομένου «ἱκανοῦ χειρὶ ὄντος».

1. Οὐ δίκαιον καὶ συμφέρον ἐστὶ τῇ ψυχῇ μου ἐν μηδενὶ ἀνθίστασθαι τῷ Θεῷ.
2. Παρ' αὐτῷ γὰρ ἡ ζωή μου καὶ ἐν τῷ νῦν ὄντι.
3. Καὶ γὰρ αὐτός ἐστι δημιουργός μου καὶ Σωτήρ μου.
4. Οὐ μὴ ἀποστῶ ἀπ' αὐτοῦ ἕως τέλους.
5. Ἕως πότε τῇ ἀνθρωπίνῃ δυναστείᾳ καὶ βοηθείᾳ χρῆσθε;
6. Καὶ φονεύετε τοὺς ὑποδεεστέρους ὑμῶν·
7. Ὡς τοίχῳ πίπτοντι καὶ φραγμῷ ῥιφέντι;
8. Οὕτως τὰ προστάγματά μου ἀπωθοῦνται.

9, 10. Ὡς ὁ τρέχων ἐν τῇ δίψῃ τῷ μὲν στόματι πίνει, ἡ δὲ καρδία αὐτοῦ οὐδὲν δέχεται τοῦ πόματος· οὕτω καὶ οὗτοι τῷ στόματι αὐτῶν τὰ λόγιά μου δέχονται, ἡ δὲ καρδία αὐτῶν πόρρωθεν ἀπέχει.

11. Σὺ δέ, ψυχή μου, τῷ Θεῷ ὑποτάγηθι.

12. Ὅτι παρ' αὐτῷ ἡ μισθαποδοσία μου.

13. Καὶ γὰρ αὐτὸς Θεός μου καὶ Σωτήρ μου.

14. Ἀντιλήπτωρ μού ἐστιν· οὐ μὴ ἄλλῳ τινὶ κολληθῶ.

15. Ἐπὶ τῷ Θεῷ ἡ ζωή μου καὶ τὸ καύχημά μου.

16. Ὁ Θεός μου βοηθός μου γίνεται ἀεί, καὶ διὰ τοῦτο ἡ ἐλπίς μου ἐπ' αὐτῷ ἐστι.

17. Καὶ ὑμεῖς οὖν, ἐπ' αὐτὸν ἐλπίσατε πάντες.

18. Τῷ ἑτοίμως βοηθοῦντι τοῖς ἐλπίζουσιν ἐπ' αὐτὸν προσενέγκατε αὐτῷ τὰς καρδίας ὑμῶν.

19. Ἀντίκειται τοῖς ἐχθροῖς ἡμῶν.

20. Οἱ τὰ ἀνθρώπινα φρονοῦντες.

21. Δόλιοι καταδυναστεύοντες καὶ ἀδικοῦντες.

22. Ἐκ πλεονεξίας συναγαγεῖν ἑαυτοῖς ἡ φροντὶς αὐτῶν ἐστιν.

23-25 «Οἱ γὰρ πλουτεῖν θέλοντες ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα τοῦ διαβόλου.[1]»

26. Τὰ αὐτὰ ἐλάλησεν ὁ Θεὸς καὶ ἐν τῷ νόμῳ, καὶ ἐν τοῖς προφήταις τὰ δύο ταῦτα·

27. «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου.[2]»

28. Καὶ ποιήσεις ἔλεον τῷ πλησίον σου ὡς ἑαυτῷ.[3]

29. Αὐτὸς γὰρ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.[4]

Ψαλμὸς τῷ Δαυΐδ· ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰδουμαίας.

ΨΑΛΜ. ΞΒ'.

1. Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.
2. Ἐδίψησέ σε ἡ ψυχή μου·
3. Ποσαπλῶς σοι ἡ σάρξ μου.
4. Ἐν γῇ ἐρήμῳ, καὶ ἀβάτῳ, καὶ ἀνύδρῳ
5. Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι·
6. Τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.
7. Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς·
8. Τὰ χείλη μου ἐπαινέσουσί σε.
9. Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου·
10. Καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.
11. Ὡς ἐκ στέατος καὶ ποιότητος ἐμπλησθείη ἡ ψυχή μου·
12. Καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.

---

1. Α' Τιμ. 6, 9. 2. Δευτ. 6, 5. Ματθ. 22, 37. 3. Πρβλ. Λευϊτ. 19, 18. Ματθ. 22, 37. 4. Ῥωμ. 2, 6.

13. Εἰ ἐμνημόνευσόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ·
14. Ὅτι ἐγενήθης βοηθός μου·
15. Καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
16. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου·
17. Ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.
18. Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου·
19. Εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς.
20. Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας·
21. Μερίδες ἀλωπέκων ἔσονται.
22. Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ·
23. Ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ·
24. Ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Δαυίδ· ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰδουμαίας.» Τοῦτο οὖν ἐστιν ὃ λέγει. «Δαυὶδ» ἑρμηνεύεται «ἐξουθένημα, ἔρημος» καὶ «ὁ κόσμος» θεωρεῖται. «Ἰδουμαία» δὲ ἑρμηνεύεται «ἐκλείπουσα·» τουτέστιν ὁ ἁμαρτωλὸς ὁ ἐξουθενημένος ὤν ἐστι τῷ κόσμῳ τῷ ἐκλείποντι, θέλων ἐπιστρέψαι καὶ ἐλθεῖν ἐπὶ τὸ βάπτισμα, πάλιν μετὰ βάπτισμα ἡμαρτηκώς, καὶ θέλων μετανοῆσαι λέγει τὸν ψαλμὸν τοῦτον.

1. Ὁ Θεὸς ὁ Θεός μου, ἐπὶ τὸ φῶς σου θέλω ἐλθεῖν.
2. Ἐπεθύμησέ σε ἡ ψυχή μου.
3. Ποσαχῶς ἀναριθμήτως.
4. Ὅτι ὡς οὐδέν εἰμι ἐνώπιόν σου· ἐπειδὴ οὔτε ῥίζα, οὔτε καρπός ἐστιν ἐν ἐμοί.
5. Οὕτως ἐν τῷ οἴκῳ τῷ ἁγίῳ σου προσῆλθόν σοι.
6. Τοῦ μαθεῖν τὴν ἀνάστασίν σου καὶ τὸ πάθος σου.
7. Ὅτι πολὺ βέλτιον τὸ ἔλεός σου ὑπὲρ τὴν ἀπόλαυσιν, καὶ τὸν πλοῦτον τοῦ αἰῶνος τούτου.
8. Τὰ χείλη τῆς καρδίας μου ἀνυμνήσουσί σε.
9. Διαπαντός.
10. Ἀνατείνω πρὸς σὲ τὴν καρδίαν μου.
11. Τῇ χάριτί σου.
12. Τῆς καρδίας ἀγαλλιωμένης, αἰνέσει τὸ στόμα μου.
13. Ἐὰν μνημονεύσω σου ἐν τῇ ἡσυχίᾳ τῆς ψυχῆς μου, ἐν τοῖς προστάγμασί σου μελετήσω.
14. Ὅτι ἀεὶ ἐν τοῖς προστάγμασί σου ἐνεδυνάμωσά με.
15. Καὶ ἐν ταῖς δυσί σου Διαθήκαις ἀγαλλιάσομαι.
16. Τοῖς ἴχνεσί σου ἐξακολουθήσει.
17. Αὐτὸς δὲ ὡδήγησάς με τῇ δεξιᾷ σου.

18. Οἱ δαίμονες.

19. Εἰς τὰ τάρταρα τῆς γῆς· «ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ βρυγμὸς τῶν ὀδόντων.»

20. Εἰς κόλασιν αἰώνιον.

21. Τῶν αἱρετικῶν καὶ τῶν ὑποκριτῶν οἱ δαίμονες μερίδες εἰσίν.

22. Ὁ πιστὸς λαός.

23. Δοξασθήσεται ὁ πιστεύων τῷ Κυρίῳ· ὅρκος γὰρ λόγος πιστούμενός ἐστι.

24. Τῶν δαιμόνων καὶ τῶν αἱρετικῶν.

«Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ.»

ΨΑΛΜ. ΞΓ'.

1. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου, ἐν τῷ δέεσθαί με πρὸς σέ·

2. Ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.

3. Σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων,

4. Ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν.

5. Οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν,

6. Ἐνέτειναν τόξον αὐτῶν, πρᾶγμα πικρόν.

7. Τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον·

8. Ἐξάπινα κατατοξεύσουσιν αὐτόν, καὶ οὐ φοβηθήσονται [φοβηθήσεται.]

9. Ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν·

10. Διηγήσαντο τοῦ κρύψαι παγίδα.

11. Εἶπον· Τίς ὄψεται αὐτούς;

12. Ἐξηρεύνησαν ἀνομίαν·

13. Ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις.

14. Προσελεύσεται ἄνθρωπος, καὶ καρδία βαθεῖα·

15. Καὶ ὑψωθήσεται ὁ Θεός.

16. Βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν.

17. Καὶ ἐξησθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν.

18. Ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτούς·

19. Καὶ ἐφοβήθη πᾶς ἄνθρωπος.

20. Καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ Θεοῦ.

21. Καὶ τὰ ποιήματα αὐτοῦ συνῆκαν.

22. Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτόν·

23. Καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ·» περὶ τῶν ἐστὶ συντελείᾳ τῶν αἰώνων ἐσομένων ὁ ψαλμὸς λέγεται παρὰ τὸν Κύριον τὸν [τῷ] Δαυίδ.

1. Προσκαλούμενός σε εἰς βοήθειαν εἰσάκουσον τῆς δεήσεως ἧς προσάγω σοι.
2. Τοῦ διαβόλου.
3. Τῶν αἱρετικῶν.
4. Τῶν δαιμόνων.
5. Οἱ δαίμονες κατήρτισαν τοὺς αἱρετικούς.
6. Καὶ τὴν διδασκαλίαν τῆς πλάνης αὐτῶν ἐπλεόνασαν.
7. Τοῦ ῥήματα βλάσφημα λέγειν κατὰ τὸν Θεόν.
8. Ἑτοίμως ῥήματα ἀσεβείας λέγουσι κατὰ τοῦ Θεοῦ, καὶ οὐ φοβοῦνται.
9. Τὰς ἐξηγήσεις αὐτῶν τὰς διαβολικάς.
10. Συνεγράψαντο πιθανολογίας, δι' ὧν παγιδεύσουσι τοὺς ἀνθρώπους.
11. Λογίζονται, οὐδεὶς δύναται αὐτοῖς ἀντιστῆναι.
12. Ἐν φιλοσοφίᾳ τινὶ διεστραμμένα λαλοῦσι κατὰ τοῦ Κυρίου.
13. Ἀπώλοντο ζητοῦντες οὐδὲν ἀληθές.
14. Ἐλεύσεται πρὸς τοὺς ἀνθρώπους τοὺς ἔχοντας χάριν ἐν ταῖς Γραφαῖς.
15. Καὶ δοξασθήσεται ὁ Θεὸς ἐν αὐτοῖς.
16. Τὰ ῥήματα γὰρ αὐτῶν τὰ νομιζόμενα ἠκονημένα εἶναι ἀνίσχυρα εὑρίσκονται πρὸς τὸν τοῦ Θεοῦ ἄνθρωπον.
17. Καὶ κατῃσχύνθησαν ἐν τῇ διδασκαλίᾳ αὐτῶν.
18. Ἐξενίσθησαν πάντες οἱ ὁρῶντες αὐτοὺς ἡττηθέντας.
19, 20. Καὶ ἐθαύμασε πᾶς ἄνθρωπος, καὶ εἶπεν οὕτως· Χάρις τοῦ Θεοῦ ἐστιν ἐν τῷ ἀνθρώπῳ τῷ καταισχύνοντι τοὺς αἱρετικούς.
21. Καὶ τὴν ἀλήθειαν τοῦ Θεοῦ ἐπέγνωσαν.
22. Ἀγαλλιάσεται ὁ ἄνθρωπος, ὁ τοὺς αἱρετικοὺς νικήσας.
23. Καὶ ἐπαινεθήσονται πάντες οἱ ὀρθῶς φρονοῦντες περὶ τοῦ Κυρίου.

«Εἰς τὸ τέλος, ψαλμὸς ᾠδῆς τῷ Δαυίδ· (ᾠδὴ Ἱερεμίου καὶ Ἰεζεκιὴλ τοῦ λαοῦ τῆς παροικίας, ὅτε ἔμελλον ἐκπορεύεσθαι.» ΨΑΛΜ. ΞΔ'.

1. Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιών·
2. Καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ.
3. Εἰσάκουσον προσευχῆς μου, πρὸς σὲ πᾶσα σὰρξ ἥξει.
4. Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς.
5. Καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ.
6. Μακάριος, ὃν ἐξελέξω, καὶ προσελάβου·
7. Κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου.
8. Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου·
9. Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.
10. Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν.

11. Ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν.

12. Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ,

13. Περιεζωσμένος ἐν δυναστείᾳ.

14. Ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης.

15. Ἤχους κυμάτων αὐτῆς τίς ὑποστήσεται;

16. Ταραχθήσονται τὰ ἔθνη, καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου·

17. Ἐξόδους πρωΐας, καὶ ἑσπέρας τέρψεις.

18. Ἐπεσκέψω τὴν γῆν, καὶ ἐμέθυσας αὐτήν·

19. Ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν.

20. Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων·

21. Ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία.

22. Τὰς αὔλακας αὐτῆς μέθυσον·

23. Πλήθυνον τὰ γεννήματα αὐτῆς.

24. Ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα.

25. Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου·

26. Καὶ τὰ πεδία σου πλησθήσονται πιότητος.

27. Πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμου·

28. Καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται.

29. Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων·

30. Καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον·

31. Κεκράξονται, καὶ γὰρ ὑμνήσουσιν.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ψαλμὸς ᾠδῆς τῷ Δαυίδ.» Τοῦτο οὖν λέγει· ὑπὲρ τῶν μελλόντων ἐπ' ἐσχάτων τῶν ἡμερῶν γίνεται ὑπὸ τοῦ Κυρίου ὁ ψαλμὸς τῆς ᾠδῆς ταύτης εἴρηται «τῷ Δαυίδ», τουτέστιν «τῷ ἱκανῷ τῇ χειρί», ὅς ἐστι Κύριος ὁ Θεὸς ἡμῶν.

1. Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν καρδίᾳ διψώσῃ· «Σιὼν» γὰρ ἑρμηνεύεται «διψῶσα».

2. Καὶ ἐν τῇ ψυχῇ τῇ ὁρώσῃ σε ἀποδοθήσεταί σοι εὐχή· «Ἱερουσαλὴμ» γὰρ ἑρμηνεύεται «ὅρασις εἰρήνης.»

3. Εἰσάκουσον τῆς προσευχῆς μου, ὅτι πάντες τῷ βήματί σου παραστησόμεθα.

4. Ἡ διδαχὴ τοῦ διαβόλου καὶ τῶν ὑπουργῶν αὐτοῦ κατίσχυεν ἡμῶν.

5. Ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

6. Μακάριος ὃν ἐρρύσω ἐκ τῶν ἁμαρτιῶν αὐτοῦ, καὶ ἐφύλαξας αὐτόν.

7. Ἐν ταῖς αἰωνίαις ἀναπαύσεσιν.

8. Ἐμπλησθῶμεν τῶν δικαιωμάτων τοῦ λαοῦ σου.
9. Ὁ λαὸς ὁ πιστεύων εἰς σέ, ἐν οἷς αὐτὸς κατοικεῖς.
10. Πρόσδεξαι ὕμνους ἡμῶν, οὕς σοι προσφέρομεν.
11. Τῶν Ἰουδαίων καὶ τῶν ἐθνῶν πάντων.
12. Ταπεινῶν τὰς ἐναντίας δυνάμεις.
13. Ἐρχόμενος ἐν δυναστείᾳ.
14. Ὁ συντρίβων τὸ κέρας τοῦ ἄρχοντος τοῦ κόσμου τούτου.
15. Τὰς ὑποβολὰς τῶν ἐξουσιῶν τοῦ ἐχθροῦ τίς ὑποφέρει;
16. Ἔμφοβα καὶ ἔντρομα γενήσονται τὰ ἔθνη ἀπὸ τῶν θαυμάτων σου, ὧν ἀκηκόασιν.
17. Ἐν τῷ φωτί σου ἐξαγάγεις τὰ ἔθνη, καὶ ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος πληρώσεις αὐτὰ ἀγαλλιάσεται.
18. Ἐπὶ τῆς γῆς ὤφθης, καὶ πάσης εὐφροσύνης ἐπλήρωσας τοὺς ἀνθρώπους.
19. Ἐπλήθυνας τὰ χαρίσματά σου ἐν τῇ Ἐκκλησίᾳ.
20. Τὸ ἅγιον Πνεῦμα τοῦ Θεοῦ ἀνεπαύσατο ἐπὶ τὰ ἔθνη.
21. Τὰ λόγιά σου ηὐτρέπισας αὐτοῖς.
22. Τὰς καρδίας τῶν πιστῶν ἔμπλησον τῆς χάριτός σου.
23. Καὶ πλεόνασον τὰ ἔργα τῆς δικαιοσύνης αὐτῶν.
24. Ἐν τῷ τὴν χάριν σου κατιέναι ἐπὶ τὸν λαόν, ἐν εὐφροσύνῃ ποιήσουσι καρπὸν μετανοίας.
25. Τὸν λαὸν τὸν πεπιστευκότα.
26. Καὶ οἱ πραεῖς τῇ καρδίᾳ πλησθήσονται Πνεύματος ἁγίου.
27. Μεταλάβωσι τῆς χάριτός σου, οὓς ἐξελέξω ἐκ τοῦ κόσμου.
28. Καὶ οἱ υἱοὶ τῶν προφητῶν χαρήσονται.
29. Τὴν χάριν τοῦ ἁγίου Πνεύματος οἱ ἀπόστολοι.
30. Αἱ ψυχαὶ αἱ ταπειναὶ πληθυνοῦσι γεννήματα δικαιοσύνης.
31. Δοξάζονται, καὶ ἀνυμνήσουσί σε.

«Εἰς τὸ τέλος, ᾠδὴ ψαλμοῦ ἀναστάσεως.» ΨΑΛΜ. ΞΕ΄.

1. Ἀλαλάξατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ·
2. Ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ·
3. Δότε δόξαν ἐν αἰνέσει αὐτοῦ.
4. Εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου.
5. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.
6. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι·
7. Ψαλάτωσαν δὴ τῷ ὀνόματί σου, Ὕψιστε.
8. Δεῦτε, καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ

Διάψαλμα.

9. Ὡς φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων.
10. Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν·

11. Ἐν ποταμῷ διελεύσονται ποδί.
12. Ἐκεῖ εὐφρανθησόμεθα ἐπ᾿ αὐτῷ,
13. Τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος.
14. Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν·
15. Οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς.
16. Εὐλογεῖτε, ἔθνη, τὸν Θεὸν ἡμῶν·
17. Καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ.
18. Τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωήν.
19. Καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου.
20. Ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ Θεός, ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον.
21. Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα
22. Ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν·
23. Ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν.
24. Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος·
25. Καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.
26. Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν.
27. Ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου·
28. Καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου.
29. Ὁλοκαυτώματα μεμυελωμένα ἐνοίσω σοι μετὰ θυμιάματος καὶ κριῶν·
30. Ἀνοίσω σοι βόας μετὰ χιμάρων.
31. Δεῦτε, ἀκούσατε, καὶ διηγήσομαι ὑμῖν, πάντες οἱ φοβούμενοι τὸν Θεόν.

Διάψαλμα.

32. Ὅσα ἐποίησε τῇ ψυχῇ μου.
33. Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα·
34. Καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου.
35. Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω μου Κύριος.
36. Διὰ τοῦτο εἰσήκουσέ μου ὁ Θεός·
37. Προσέσχε τῇ φωνῇ τῆς δεήσεώς μου.
38. Εὐλογητὸς ὁ Θεός, ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου καὶ τὸ ἔλεος αὐτοῦ ἀπ᾿ ἐμοῦ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ᾠδὴ ψαλμοῦ ἀναστάσεως.» Τουτέστιν, εἰς τὸ τέλος τῶν αἰώνων ἡ ᾠδὴ αὕτη εἴρηται μετὰ ψαλμοῦ περὶ τῆς ἀναστάσεως τοῦ Κυρίου τῶν ἐθνῶν ἐπιστροφῆς.

1,2. Ἐν ἰσχυρᾷ φωνῇ ἀνυμνήσατε τὸν Κύριον ἐν ψαλμοῖς, πάντα τὰ ἔθνη.

3. Καὶ ἐν τῷ τέλει ἑκάστου ψαλμοῦ δόξαν αὐτῷ προσαγάγετε.

4. Εἴπατε τῷ Θεῷ· Ὡς ἀνεκδιηγήτως συνελήφθης, καὶ ἐτέχθης ἐπὶ τῆς γῆς;

5. Καὶ ἐν τῷ πάθει καὶ τῇ ἀναστάσει σου ἀρνήσονταί σε Θεὸν οἱ Ἰουδαῖοι.

6. Τὰ ἔθνη πάντα πιστεύσουσι, καὶ δοξάσουσί σε.

7. Ἀνυμνήσουσι τὸ μεγαλοπρεπὲς ὄνομά σου.

8. Τῇ καρδίᾳ ἡμῶν προσέχετε τοῖς δικαιώμασιν αὐτοῦ.

9. Ὅτι ἡ διδαχὴ τῆς χάριτος αὐτοῦ ἐνδοξοτέρα ἐστὶ τῆς σοφίας τῶν ἀνθρώπων.

10. Ὁ τὴν ἁμαρτίαν τοῦ κόσμου θανατῶν.

11. Ἐν τῇ χάριτι τοῦ ἁγίου Πνεύματος ζητοῦσιν ἀφόβως.

12. Ἐν τῇ χάριτι τοῦ μέλλοντος αἰῶνος εὐφρανθησόμεθα ὁρῶντες τὴν δόξαν τοῦ Θεοῦ.

13. Πατὴρ γάρ ἐστι τοῦ μέλλοντος αἰῶνος.

14. Οἱ ἀπόστολοι ἐπὶ τὸ κήρυγμα τῶν ἐθνῶν πορεύονται.

15. Ὁ λαὸς τῶν Ἰουδαίων, μὴ καυχᾶσθε λέγοντες· «Σπέρμα Ἀβραάμ ἐσμεν.[1]»

16. Οὐκ ἔτι γὰρ μόνων Ἰουδαίων ὁ Θεός, ἀλλὰ καὶ ἐθνῶν.[2]

17. Καὶ ὑπακούσατε τῷ κηρύγματι τῆς δόξης αὐτοῦ.

18. Τοῦ μεταγαγόντος ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.

19. Καὶ μὴ ἐάσαντός με ἕως τέλους τῇ ἁμαρτίᾳ συναπολέσθαι.

20. Ὅτι εἴδης [εἶδες], ὅτι ὑπακούομεν τῷ κηρύγματί σου· πᾶσαν ἀκαθαρσίαν οὖσαν ἐν ἡμῖν ἐποίησας ἡμᾶς ἀποθέσθαι.

21. Εἰσήγαγες ἡμᾶς εἰς τὴν σύνεσίν σου.

22. Ἤλεγξας ἡμῶν τὰς ἀνομίας, καὶ ἐταπείνωσας ἡμᾶς.

23. Κατέστησας τοὺς ἁγίους σου ἡγεῖσθαι ἡμῶν.

21. Διὰ τοῦ βαπτίσματός σου.

25. Καὶ εἰς ἀνάπαυσιν ἤγαγες ἡμᾶς λυτρωθέντας τῶν ἁμαρτιῶν ἡμῶν.

26. Εἰσελευσόμεθα εἰς τὴν ἄνω Ἱερουσαλὴμ κεκαθαρισμένοι ὁλοτελῶς.

27. Πληρώσω ἃ ἐπηγγειλάμην σοι διὰ τοῦ βαπτίσματος.

28. Καὶ ἃ συνεθέμην ἔτι ὢν ἐν τῇ ἁμαρτίᾳ.

29. Ὅλον ἐμαυτὸν προσαγάγω σοι μετὰ προσευχῆς καὶ τῶν ἔργων τῆς δικαιοσύνης τῶν προπορευομένων ἔμπροσθέν σου.

30. Τὰ μέλη μου, καὶ τὴν ψυχήν μου ἀνάθωμαί σοι [ἀναθήσομαί σοι].

31. Δεῦτε, ἀκούσατε πῶς ἔσωσέ με.

32. Οὐ μόνον συνεχώρησέ μοι τὰς ἁμαρτίας, ἀλλὰ καὶ υἱὸν ἑαυτοῦ ἐποίησέ με.

---

1. Ἰω. 8, 33. 2. Πρβλ. Ῥωμ. 3, 29.

33. Μόνον ἐπεκελεσάμην αὐτόν.
34. Καὶ ὡμολόγησα αὐτὸν τῇ γλώσσῃ μου.
35. Εἰ μὴ ἐν ἀληθινῇ καρδίᾳ ἐπίστευσα αὐτῷ, μὴ εἰσακουσάτω μου ὁ Κύριος.
36, 37. Ὅτι ἐξ ὅλης τῆς ψυχῆς μου προσῆλθον· διὰ τοῦτο εἰσήκουσέ μου.
38. Οὐκ ἀπώσατο τὴν προσευχήν μου, ἀλλὰ ἐδέξατο αὐτὴν δωρησάμενός μοι τὸ ἔλεος αὐτοῦ.

«Εἰς τὸ τέλος, ἐν ὕμνοις, ψαλμὸς ᾠδῆς τῷ Δαυίδ.» ΨΑΛΜ. ΞΣΤ'.

1. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς
2. Ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς,
3. Καὶ ἐλεήσαι ἡμᾶς.
4. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου,
5. Ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου.
6. Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός·
7. Ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.
8. Εὐφρανθήτωσαν, καὶ ἀγαλλιάσθωσαν ἔθνη·
9. Ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι,
10. Καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις.

Διάψαλμα.

11. Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός.
12. Ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες·
13. Γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς.
14. Εὐλογήσαι ἡμᾶς ὁ Θεός, ὁ Θεὸς ἡμῶν, εὐλογήσαι ἡμᾶς ὁ Θεός.
15. Καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ἐν ὕμνοις [ψαλμὸς ᾠδῆς τῷ Δαυίδ]· τουτέστι περὶ τοῦ πληρώματος τῶν καιρῶν ὁ ψαλμὸς ᾄδεται.

1. Ὁ Θεὸς εὐσπλαγχνισθήσεται εἰς ἡμᾶς, καὶ ἐλεύσεται ἐπὶ τῆς γῆς.
2, 3. Πρόσωπον πρὸς πρόσωπον ὁραθείημεν [1], καὶ ἐλεήσει ἡμᾶς.
4, 5. Τὸ κήρυγμα τοῦ σταυροῦ σου.
6. Ὁμολογήσουσί σε οἱ λαοί, ὅτι Θεὸς εἶ.

---

1. Πρβλ. Α' Κορ. 13, 12.

7. Ἐν τῇ χάριτί σου.
8. Ὅτι παρέστησαν αὐτοὺς εἰς τὰ ἔργα ἀγαθά.
9. 10. Τῷ φωτὶ τῆς χάριτος.
11. Ἀνυμνήσουσί σε.
12. Δοξάσουσί σε.
13. Ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως προσαγάγωσιν ἔργα δικαιοσύνης οἱ πιστεύσαντες τῷ Κυρίῳ.
14. «Οἱ εὐλογημένοι τοῦ Πατρός μου·[1]» δηλονότι.
15. Αὐτῷ γὰρ λοιπὸν μόνῳ λατρεύσουσι, καὶ οὐδενὶ ἑτέρῳ.

«Εἰς τὸ τέλος ᾠδῆς [ψαλμὸς ᾠδῆς], ψαλμὸς τῷ Δαυίδ.»

ΨΑΛΜ. ΞΖʹ.

1. Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ.
2. Καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.
3. Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν·
4. Ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.
5. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ.
6. Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν, ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ.
7. Τερφθήτωσαν ἐν εὐφροσύνῃ.
8. Ἄσατε τῷ Θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ·
9. Ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν· Κύριος ὄνομα αὐτῷ·
10. Καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ.
11. Ταραχθήτωσαν ἀπὸ προσώπου αὐτοῦ·
12. Τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν.
13. Ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ.
14. Ὁ Θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ·
15. Ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ,
16. Ὁμοίως τοὺς παραπικραίνοντας, τοὺς κατοικοῦντας ἐν τάφοις.
17. Ὁ Θεός, ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου,
18. Ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ, γῆ ἐσείσθη·
19. Καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινᾶ,
20. Ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ.
21. Βροχὴν ἑκούσιον ἀφοριεῖς, ὁ Θεός, τῇ κληρονομίᾳ σου·
22. Καὶ ἠσθένησε· σὺ δὲ κατηρτίσω αὐτήν.
23. Τὰ ζῷά σου κατοικοῦσιν ἐν αὐτῇ·
24. Ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ ὁ Θεός.
25. Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.

---

1. Ματθ. 25, 34.

26. Ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ·
27. Τῇ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα.
28. Ἐὰν κοιμηθῆτε ἀναμέσον τῶν κλήρων.
29. Πτέρυγες περιστερᾶς περιηργυρωμέναι,
30. Καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου.
31. Ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς.
32. Χιονωθήσονται ἐν Σελμών.
33. Ὄρος τοῦ Θεοῦ ὄρος πῖον·
34. Ὄρος τετυρωμένον ὄρος πῖον.
35. Ἵνα τί ὑπολαμβάνετε ὄρη τετυρωμένα;
36. Τὸ ὄρος, ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ·
37. Καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος.
38. Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον·
39. Χιλιάδες εὐθηνούντων.
40. Κύριος ἐν αὐτοῖς ἐν Σινᾶ ἐν τῷ ἁγίῳ.
41. Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν.
42. Ἔλαβες δόματα ἐν ἀνθρώποις.
43. Καὶ γὰρ ἀπειθοῦντας τοῦ κατασκηνῶσαι.
44. Κύριος ὁ Θεὸς εὐλογητός, εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν·
45. Κατευοδώσαι ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν.

Διάψαλμα.

46. Ὁ Θεὸς ἡμῶν ὁ Θεὸς τοῦ σῴζειν·
47. Καὶ τοῦ Κυρίου, Κυρίου αἱ διέξοδοι τοῦ θανάτου.
48. Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ.
49. Κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν.
50. Εἶπε Κύριος· Ἐκ Βασὰν ἐπιστρέψω,
51. Ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης.
52. Ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι·
53. Ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ.
54. Ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ Θεός,
55. Αἱ πορεῖαι τοῦ Θεοῦ μου τοῦ βασιλέως, τοῦ ἐν τῷ ἁγίῳ.
56. Προέφθασαν ἄρχοντες ἐχόμενα ψαλλόντων,
57. Ἐν μέσῳ νεανίδων τυμπανιστριῶν.
58. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.
59. Κύριον ἐκ πηγῶν Ἰσραήλ.
60. Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει.
61. Ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν·
62. Ἄρχοντες Ζαβουλών.
63. Ἄρχοντες Νεφθαλείμ.
64. Ἔντειλαι, ὁ Θεός, τῇ δυνάμει σου·
65. Δυνάμωσον, ὁ Θεός, τοῦτο, ὃ κατειργάσω ἐν ἡμῖν.

66. 'Απὸ τοῦ ναοῦ σου ἐπὶ 'Ιερουσαλήμ.

67. Σοὶ οἴσουσι βασιλεῖς δῶρα.

68. 'Επιτίμησον τοῖς θηρίοις τοῦ καλάμου·

69. 'Η συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσι τῶν λαῶν.

70. Τοῦ ἐγκλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ.

71. Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα.

72. Ἥξουσι πρέσβεις ἐξ Αἰγύπτου.

73. Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ.

74. Αἱ βασιλεῖαι τῆς γῆς, ᾄσατε τῷ Θεῷ, ψάλατε τῷ Κυρίῳ.

75. Τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς.

76. 'Ιδοὺ δώσει τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως.

77. Δότε δόξαν τῷ Θεῷ·

78. 'Επὶ τὸν 'Ισραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ·

79. Καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις.

80. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

81. 'Ο Θεὸς 'Ισραήλ· αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ.

82. Εὐλογητὸς ὁ Θεός.

'Αθανασίου 'Ερμηνεία.

'Η προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ψαλμὸς ᾠδῆς τῷ Δαυίδ·» τουτέστι, περὶ τῶν εἰς τὸ τέλος τῶν Χριστοῦ [εἰς τὸν Χριστὸν] μελλόντων πιστεύειν ὁ ψαλμὸς ᾄδεται «τῷ ἱκανῷ χειρί·» Δαυὶδ γὰρ οὕτως ἑρμηνεύεται, ὅς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ.

1. 'Ελεύσεται ὁ Κύριος, καὶ συντριβήσονται οἱ δαίμονες.

2. Οἱ αὐτοὶ δαίμονες, ὁρῶντες αὐτόν, βοήσουσιν· «Αἴα [ἔα] τί ἡμῖν καὶ σοί, 'Ιησοῦ Ναζαρηνέ; ἦλθες ὧδε πρὸ καιροῦ ἀπολέσαι ἡμᾶς.[1]»

3, 4. Αἱ ἐναντίαι δυνάμεις.

5. 'Εν τῇ παρουσίᾳ αὐτοῦ ὁρῶντες αὐτὸν καταναλίσκονται.

6. Οἱ πιστεύοντες εἰς αὐτόν, καὶ οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ, θεασάμενοι αὐτόν, χαρήσονται.

7. Πνεύματος ἁγίου,

8. 'Αγγέλων ἔργον ἐπιτελέσατε ἐπὶ τῆς γῆς.

9. 'Ετοιμάσατε τὰς καρδίας ὑμῶν τῷ καταβεβηκότι ἀπὸ τῶν οὐρανῶν.

10. Ὅτι ἠξιώθησαν ἰδεῖν τὴν παρουσίαν αὐτοῦ.

11. Αἱ τοῦ ἐχθροῦ δυνάμεις.

12. Τῶν νηπίων ψυχῶν, καὶ τῶν ἀβοηθήτων οὐσῶν.

13. 'Ο Θεὸς οἰκεῖ οὐ μόνον ἐν οὐρανῷ, ἀλλὰ καὶ ἐπὶ γῆς.

---

1. Ματθ. 8, 29. Λουκ. 4, 34.

14. Τοὺς κατὰ Χριστὸν μονάζοντας.

15. Τοὺς αὐτοὺς μονάζοντας ἐκ τῶν δεσμῶν τῶν ἁμαρτιῶν λυτρούμενος ἐν ἰσχύϊ κατὰ τῆς ἁμαρτίας.

16. Τοὺς διὰ τῶν ἁμαρτιῶν παραπικραίνοντας αὐτὸν πρότερον, ὕστερον δὲ μετανοήσαντας, καὶ κατοικοῦντας ἐν τάφοις, τουτέστιν ἐν ταῖς μοναῖς, ἐξάγει ἐν ἀνδρείᾳ κατὰ τοῦ διαβόλου.

17. Ὁ Θεός, ἐν τῷ ἐκπορεύεσθαί σε ἐκ τῶν πατρικῶν κόλπων, ὀφθῆναι ἐπὶ τῆς γῆς τοῖς ἀνθρώποις.

18. Ἐν τῷ ὁδοιπορεῖν σε ἐν τῷ κόσμῳ, τὰ ἔθνη μετετέθησαν ἀπὸ τῆς εἰδωλολατρείας εἰς τὴν ἐπίγνωσίν σου.

19. Καὶ γὰρ οἱ ἀπόστολοί σου τὸν λόγον σου ἔταξαν εἰς τὰς καρδίας αὐτῶν.

20. Ἀπὸ τοῦ Υἱοῦ σου.

21. Τὸ κήρυγμα τοῖς ἔθνεσιν.

22. Καὶ ἠσθένησαν τὰ ἔθνη, καὶ ὁ Κύριος, ἰασάμενος κατήρτισεν αὐτὰ εἰς τὸ θέλημα αὐτοῦ.

23. Οἱ πιστοὶ ἐν τῇ Ἐκκλησίᾳ.

24. Τῷ λαῷ τῷ ταπεινῷ τῇ καρδίᾳ τὴν ἄνω Ἱερουσαλήμ.

25. Τοῖς ἀποστόλοις.

26. Τὸ ἅγιον Πνεῦμα τοῦ Υἱοῦ.

27. Τοῖς ἐκλεκτοῖς τοῦ λαοῦ δίδωσι διάφορα χαρίσματα τὸ Πνεῦμα τὸ ἅγιον.

28. Ἐὰν ἀναπαύσησθε ἐν ταῖς ἐντολαῖς τοῦ Θεοῦ.

29. Αἱ δύο διαθῆκαι, αἱ τῷ ἁγίῳ Πνεύματι λαληθεῖσαι πᾶσαν καθαρότητα ἔχουσαι.

30. Καὶ ἡ γνῶσις τῆς θείας Γραφῆς, ὡς χρυσίον ἐξαστράπτει.

31, 32. Ἐν τῷ τὸν Κύριον ἀποστέλλειν τοὺς ἀποστόλους εἰς τὴν οἰκουμένην, καθαρισθήσονται ἐν τῇ βοηθείᾳ αὐτοῦ.

33. Τὴν Παρθένον λέγει καὶ Θεοτόκον.

34. Συνεσφραγισμένη τῇ παρθενίᾳ δηλονότι.

35. Ὁ λαὸς τῶν Ἰουδαίων, οἱ τῇ καρδίᾳ τετυρωμένοι.

36. Ἵνα μὴ δοκῆτε τὴν Παρθένον φθαρεῖσαν.

37. Καὶ γὰρ ὁ Κύριος ἐπὶ συντελείᾳ τοῦ αἰῶνος κατασκηνώσει ἐν αὐτῇ.

38. Ἡ νέα διαθήκη, καὶ ἡ πίστις τοῦ Θεοῦ.

39. Καὶ τὸ πλῆθος τῶν πιστῶν.

40. Ὁ Υἱὸς ἐν τοῖς ἁγίοις, τοῖς ἐν τῇ ἐντολῇ τοῦ Πατρὸς αὐτοῦ.

41. Ἀνελήφθης ἐν δόξῃ λαβὼν τοὺς αἰχμαλώτους, τοὺς αἰχμαλωτισθέντας ὑπὸ τοῦ διαβόλου.

42. Ἔλαβες δόματα τοὺς ἀνθρώπους.

43. Καὶ γὰρ ἐποίησας τοὺς ἀπειθοῦντάς σοι τὸ πρότερον νῦν ἐπιμένειν ἐν ταῖς ἐντολαῖς σου.

44. Ἀΐδιος καὶ ἄναρχος.

45. Καὶ κατευθύνει [κατευθύναι] τὴν καρδίαν ἡμῶν εἰς τὰς ἐντολὰς αὐτοῦ.

46. Ἰησοῦς ὁ Κύριος ἡμῶν.

47. Πρῶτος γὰρ αὐτὸς ἀναστὰς ἐκ τοῦ θανάτου ἐποίησεν ἔξοδον τοῖς κεκοιμημένοις.

48. Τῶν ἐναντίων δυνάμεων.

49. Τὸν διάβολον τὸν τὴν κακίαν ἐφευρόντα εἰς ἁμαρτίαν.

50. Εἶπε Κύριος· Τοὺς ἐκ τῆς αἰσχύνης ἐπιστρέψω· «Βασὰν» γὰρ ἑρμηνεύεται «αἰσχύνη», ἥτις ἐστὶν ὁ κόσμος.

51. Ἐπιστρέψω αὐτοὺς ἐπὶ τὸ βάπτισμα.

52. Ὅπως ἂν τὰ τελευταῖα τῶν μελῶν σου, τουτέστι τὰ ἔθνη, βαπτισθῶσιν ἐν τῷ αἵματί σου.

53. Τῶν ἐθνῶν αὐτῶν, καὶ ἡ γλῶσσα ἐβάφη ἐν τῷ αἵματί σου τῷ θανάτῳ, ὅτε ἐπέστρεψαν ἐκ τῶν ἐθνῶν.

54. Τὰ δικαιώματά σου ἐπεγνώσθησαν.

55. Αἱ ἐντολαὶ τοῦ Υἱοῦ τοῦ ὄντος ἐν τῷ Πατρί.

56. Οἱ ἡγούμενοι τῶν μοναζόντων ἦλθον εἰς ἀπάντησιν τοῦ Κυρίου κατέχοντος τοὺς ἑαυτῶν μαθητάς.

57. Ἐν μέσῳ τῶν ψυχῶν τῶν νεωστὶ ἀποταξαμένων καὶ νεκρουσῶν τὰ μέλη ἑαυτῶν.

58. Ἐν τοῖς μέλεσιν ὑμῶν εὐλογεῖτε τὸν Θεὸν καθὼς γέγραπται· «Ὅτι ὑμεῖς ναὸς Θεοῦ ἐστε καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν.[1]»

59. Κύριον ἐκ τῶν καρδιῶν ὑμῶν δοξάζετε· «Ἰσραὴλ» γὰρ ἑρμηνεύεται, «νοῦς ὁρῶν Θεόν.»

60. Τὸν Παῦλον λέγει.

61. Οἱ ἀπόστολοι τοῦ Θεοῦ αἰνετοῦ· «Ἰούδας» γὰρ ἑρμηνεύεται, «Θεὸς αἰνετός.»

62, 63. Οἱ αὐτοὶ ἀπόστολοι, ἐπειδὴ ἐκ τῆς φυλῆς Ζαβουλὼν καὶ Νεφθαλεὶμ ἦσαν.

64. Τῇ χάριτί σου.

65. Τὴν πίστιν σου.

66, 67. Ἐκ τῆς ψυχῆς καὶ τοῦ σώματος σοὶ προσαγάγωσιν ἔργα δίκαιοι πιστοὶ ἐν τῇ ἄνω Ἱερουσαλήμ.

68. Τοῖς δαίμοσι καὶ τοῖς Ἰουδαίοις.

69. Οἱ ἄρχοντες καὶ οἱ γραμματεῖς τῶν Ἰουδαίων.[2]

70. Ὅτε ἐνέκλεισαν εἰς φυλακὴν οἱ αὐτοὶ Ἰουδαῖοι καὶ Φαρισαῖοι τοὺς ἀποστόλους [ὡς] ἐν ταῖς Πράξεσι· διὰ τί [διότι] ἐλάλουν τὸν λόγον τῷ Θεῷ [τοῦ Θεοῦ].

71. Τοὺς δήμους τῶν Ἰουδαίων τοὺς τὰς ἡδονὰς καὶ τὰς ἐπιθυμίας τοῦ βίου θέλοντας.

---

1. Α΄ Κορ. 3, 16. 2. Πρβλ. Πράξ. 4, 5.

72. Οἱ ἀπόστολοι ἐλεύσονται ἐκ τῆς φυλακῆς, λαλοῦντες τὸν λόγον ἐν τῷ ἱερῷ.

73. Οἱ πεπιστευκότες Ἰουδαῖοι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ πεντακισχίλιαι.[1]

74. Οἱ ἀπόστολοι σταθέντες ἐν τῷ ἱερῷ, λαλεῖτε τῷ λαῷ τὰ ῥήματα τῆς ζωῆς ταύτης.

75. Τῷ ἀναληφθέντι ὑπεράνω τῶν οὐρανῶν.

76. Τοῖς ἀποστόλοις τὸ κήρυγμα αὐτοῦ.

77. Τῷ μονογενεῖ Υἱῷ τοῦ Θεοῦ.

78. Ἡ χάρις αὐτοῦ ἐπὶ τοὺς ὁρῶντας αὐτὸν τῇ διανοίᾳ.

79. Καὶ τὸ Πνεῦμα τὸ ἅγιον αὐτοῦ ἐν τοῖς ἀποστόλοις.

80. Δοξάζεται ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

81, 82. Ὁ Θεὸς τῶν καθαρῶν τῇ καρδίᾳ, αὐτὸς δώσει τὸ Πνεῦμα τὸ ἅγιον τοῖς πειθαρχοῦσιν αὐτῷ· δεδοξασμένος γάρ ἐστιν ἐν αὐτοῖς.

«Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων, ψαλμὸς τῷ Δαυίδ.»

ΨΑΛΜ. ΞΗ΄.

1. Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου.

2. Ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις.

3. Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με.

4. Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου.

5. Ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου.

6. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν.

7. Ἐκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως·

8. Ἃ οὐχ ἥρπαζον, τότε ἀπετίννυον

9. Ὁ Θεός, σὺ ἔγνως τὴν ἀφροσύνην μου,

10. Καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν.

11. Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε, Κύριε, Κύριε τῶν δυνάμεων·

12. Μηδὲ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε, ὁ Θεὸς τοῦ Ἰσραήλ.

13. Ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμόν.

14. Ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου.

15. Ἀπηλλοτριωμένος, ἐγενήθην τοῖς ἀδελφοῖς μου·

16. Καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου.

17. Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με·

---

1. Πρβλ. Πράξ. 2, 41. 4, 4.

18. Καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ.
19. Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου.
20. Καὶ ἐγενήθη [ἐγενήθην] εἰς ὀνειδισμοὺς ἐμοί.
21. Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον·
22. Καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν.
23. Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις·
24. Καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον.
25. Ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σέ, Κύριε·
26. Καιρὸς εὐδοκίας.
27. Ὁ Θεός, ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου.
28. Ἐν ἀληθείᾳ τῆς σωτηρίας σου.
29. Σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ·
30. Ῥυσθείην ἐκ τῶν μισούντων με καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων.
31. Μή με καταποντισάτω καταιγὶς ὕδατος·
32. Μηδὲ καταπιέτω με βυθός·
33. Μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.
34. Εἰσάκουσόν μου, Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου·
35. Κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ.
36. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου·
37. Ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου.
38. Πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν.
39. Ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με.
40. Σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου καὶ τὴν αἰσχύνην μου καὶ τὴν ἐντροπήν μου.
41. Ἐναντίον σου πάντες οἱ θλίβοντές με.
42. Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν.
43. Καὶ ὑπέμεινα συλλυπούμενον καὶ οὐχ ὑπῆρξε·
44. Καὶ παρακαλοῦντας καὶ οὐχ εὗρον.
45. Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν·
46. Καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.
47. Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα.
48. Καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον.
49. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν·
50. Καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον.
51. Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου·
52. Καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς.
53. Γενηθήτω ἡ ἔπαυλις ἠρημωμένη.
54. Καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν.
55. Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν.
56. Καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν.
57. Πρόσθες ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ αὐτῶν·
58. Καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου.

59. Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων·

60. Καὶ μετὰ δικαίων μὴ γραφήτωσαν.

61. Πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ·

62. Ἡ σωτηρία σου ὁ Θεὸς ἀντιλάβοιτό μου.

63. Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ [Θεοῦ μου] μετ' ᾠδῆς·

64. Μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει.

65. Καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλάς.

66. Ἰδέτωσαν πτωχοί, καὶ εὐφρανθήτωσαν.

67. Ἐκζητήσατε τὸν Θεόν.

68. Καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν.

69. Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ Κύριος·

70. Καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν.

71. Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ,

72. Θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτῇ·

73. Ὅτι ὁ Θεὸς σώσει τὴν Σιών·

74. Καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας·

75. Καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτήν.

76. Καὶ τὸ σπέρμα τῶν δούλων σου καθέξουσιν αὐτήν.

77. Καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου κατασκηνώσουσιν ἐν αὐτῇ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων, ψαλμὸς τῷ Δαυίδ.» Τοῦτο οὖν λέγει, ἐπὶ τέλει τῶν αἰώνων ὑπὲρ τῶν μεταβληθέντων ἐθνῶν ἀπὸ τῆς ἁμαρτίας εἰς τὸν Κύριον, καὶ τῶν Ἰουδαίων τῶν μεταβληθέντων ἀπὸ τῶν ἐντολῶν τοῦ Θεοῦ εἰς τὴν ἁμαρτίαν. «Ψαλμὸς τῷ Δαυίδ·» ὡσανεὶ ψαλμὸς «τῷ ἱκανῷ τῇ χειρί», τουτέστι τῷ Υἱῷ τοῦ Θεοῦ.

1. Ἐλθέ, ὁ Θεός, εἰς βοήθειάν μου, ὅτι αἱ ἐπιθυμίαι τοῦ κόσμου κατέχουσί με.

2. Δεδούλωμαι τῇ ἁμαρτίᾳ, καὶ οὐκ ἰσχύω ἀποστῆναι.

3. Ἦλθον εἰς τὰς ἡδονὰς καὶ τὰς ἐπιθυμίας τοῦ κόσμου, καὶ ἡ ἁμαρτία κατεκυρίευσέ με.

4. Εἰς ἀπόγνωσιν λοιπὸν ἀπὸ τοῦ μὴ εἰσακούεσθαι τὴν δέησίν μου.

5. Ἀπὸ τοῦ δοκεύειν με, καὶ περιμένειν τὸ ἔλεος τοῦ Θεοῦ μου.

6. Πολλοί εἰσιν οἱ δαίμονες οἱ ἀντικείμενοί μοι.

7. Περὶ τῶν αὐτῶν ἐναντίων δυνάμεων λέγει.

8. Ἃ ἐμίσουν, ταῦτα ἔπραττον.

9. Ὁ Θεός, σὺ οἶδας τὴν ἁμαρτίαν μου.

10. Καὶ αἱ ἀνομίαι μου φανεραί εἰσιν.

11. Μή, διὰ τὸ ἁμαρτάνειν με, ἔχωσι παρρησίαν οἱ ἅγιοί σου τοῦ πρεσβεύειν ὑπὲρ ἐμοῦ.

12. Καὶ τῶν ἁγίων σου ἡ δέησις ἡ ὑπὲρ ἐμοῦ μὴ ἀνίσχυρος γένηται.

13. Ὅτι διὰ τὴν ἐπὶ σὲ ἐλπίδα ὑπερορῶ θλίψεις.

14. Ἡ αἰσχύνη τῆς ἁμαρτίας μου.

15. Τοῖς ἐν τῷ βαπτίσματι.

16. Τοῖς ἐν τῇ κολυμβήθρᾳ.

17. Οἱ [Ὅς μοὶ κατὰ] τῆς ἁμαρτίας ὕπαρχοι.

18. Οἱ λογισμοὶ τῶν δαιμόνων.

19. Καὶ ἀπέσχον ἀπὸ παντὸς κακοῦ.

20. Διὰ τῶν λογισμῶν, ὧν ὠνείδιζόν με οἱ δαίμονες.

21. Λέγω δὴ πένθος.

22. Εἰς καταγέλωτα.

23. Αἱ ἐναντίαι δυνάμεις κατ' ἐμοῦ ἐβουλεύοντο.

24. Καὶ εἰς ἐμὲ εἶδον οἱ εὐφραινόμενοι ἐπὶ τοῖς κακοῖς.

25. Ἐγὼ δὲ δέομαι πρὸς σέ, Κύριε.

26. Ἰδοὺ καιρὸς εὐπρόσδεκτος τῆς δεήσεώς μου.

27. Ἰδοὺ νῦν ἡμέρα σωτηρίας μου διὰ τὸ πλῆθος τοῦ ἐλέους σου.

28. Ἐν τῇ ἀπλανεῖ σωτηρίᾳ μου τῇ παρὰ σοί.

29. Ἀπὸ τῆς ἁμαρτίας ἀνάγαγέ με, ἵνα μὴ ἀπομείνω.

30. Ῥυσθείην ἐκ τῶν ἀκαθάρτων πνευμάτων καὶ ἐκ τῶν ἐπιθυμιῶν αὐτῶν.

31, 32. Μή μου κατακυριευσάτω ἐπιθυμία τῶν δαιμόνων.

33. Μηδὲ συγκλείσῃ με ἐν ἑαυτῷ ὁ διάβολος.

34. Ὠφέλιμόν ἐστιν.

35. Ὅσον ὑπάρχεις οἰκτίρμων, βοήθησόν με.

36. Μὴ ὀργισθῇς, Δέσποτα, τῷ σῷ οἰκέτῃ.

37. Ὅτι θλίβομαι διὰ τὴν ἁμαρτίαν μου ταχὺ ἐπάκουσόν μου.

38. Προνόησον τῇ ψυχῇ μου.

39. Εἰ καὶ ἐγὼ οὐκ εἰμὶ ἄξιος δυσωπῆσαί σε, ἀλλὰ διὰ τὸ μισεῖν τὰς ἐναντίας δυνάμεις.

40. Σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου τὸν παρ' αὐτῶν, καὶ τὴν αἰσχύνην ἣν ἔχω, καὶ τὴν ἐντροπήν.

41. Αἱ ἐναντίαι δυνάμεις εἰσὶν αἱ θλίβουσαί με.

42. Παρὰ πᾶσιν ὄνειδος καὶ βδελυκτὸς ἐγενόμην.

43. Λοιπὸν ὁ Κύριος λέγει, ὅτι Περιέμεινα ἰδεῖν τινα συλλυπούμενον τῷ ἁμαρτάνοντι, καὶ οὐδεὶς ὅλως.

44. Νουθετοῦντας ἐξεζήτησα ἐλθὼν ἐπὶ τὴν γῆν, καὶ οὐχ εὗρον.

45. Ἐπὶ τοῦ σταυροῦ.

46. Ὁμοίως ἐπὶ τοῦ σταυροῦ.

47. Ἡ καρδία αὐτῶν εἴτω [ἔστω] εὐτρεπισμένη τῷ διαβόλῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ.

48. Καὶ ἐν τῷ νῦν αἰῶνι ἀπολάβωσι, καὶ ἐν τῷ μέλλοντι κατακριθῶσιν, ὡς σκάνδαλον ὄντες.

49. Οἱ ὀφθαλμοὶ τῆς διανοίας αὐτῶν.

50. Καὶ μὴ ἀνανεύσωσιν ἀπὸ τῆς ἁμαρτίας αὐτῶν, ἀλλ' ἐν αὐτῇ ἀποθανοῦνται.

51. Πυρικαύστους αὐτοὺς ποίησον ἐκ τοῦ οὐρανοῦ.

52. Καὶ μηδεὶς αὐτῶν διασωθῇ.

53. Τὴν διάνοιαν αὐτῶν λέγει.

54. Ἀβοήθητοι ὦσιν.

55. Ὅτι ὃν σὺ ἀπέστειλας εἰς τὸν κόσμον, αὐτοὶ ἐφόνευσαν.

56. Λόγχῃ ἐξεκέντησαν.

57. Ὥσπερ αὐτοὶ οὐκ ἠρκέσθησαν σταυρώσαντές με, ἀλλὰ καὶ ἑτέραν πληγὴν ἐπήγαγόν μοι.

58. Ἐν τῇ βασιλείᾳ σου.

59. Ἐκ τῶν οὐρανῶν.

60. Ἐν τοῖς οὐρανοῖς.

61. Ἐπτώχευσε δουλωθὲν τὸ γένος ἡμῶν.

62. Καὶ ἡ ταφὴ καὶ ἡ ἀνάστασίς σου, ὁ Θεός, ἀντελάβετό μου.

63. Ἀνυμνήσω αὐτὸν ἐν ἀγαλλιάσει.

64. Δοξάσω αὐτὸν ἐν αἰνέσει.

65. Ὑπὲρ τὸν λαὸν τῶν Ἰουδαίων τοὺς κερατίζοντας καὶ σκιρτῶντας ἐν ταῖς ἁμαρτίαις.

66. Οἱ τῇ καρδίᾳ πτωχοί.

67. Τουτέστι τὰ ἔθνη.

68. Εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

69. Τῶν ἁγίων.

70. Τοὺς προσφεύγοντας αὐτῷ ἀπὸ τῆς ἁμαρτίας.

71. Οἱ ἐπουράνιοι καὶ οἱ ἐπίγειοι.

72. Ὁ κόσμος καὶ οἱ ἀναστρεφόμενοι ἐν αὐτῷ.

73. Τὴν ψυχὴν τὴν διψῶσαν αὐτόν. «Σιὼν» γὰρ ἑρμηνεύεται «διψῶσα.»

74. Καὶ οἰκοδομηθήσονται αἱ καρδίαι, αἱ τῷ Θεῷ ἐξομολογούμεναι. «Ἰουδαία» γὰρ ἑρμηνεύεται «Θεῷ ἐξομολογούμενος.»

75. Τὴν ἄνω Ἱερουσαλήμ.

76. Καὶ τὰ ἔργα τῶν ἁγίων σου κρατήσουσιν αὐτήν.

77. Καὶ αὐτοὶ ἅγιοι σκηνώσουσιν ἐν αὐτῇ.

«Εἰς τὸ τέλος, τῷ Δαυίδ, εἰς ἀνάμνησιν, εἰς τὸ σῶσαί με, Κύριος.»

ΨΑΛΜ. ΞΘ'.

1. Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες.

2. Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.

3. Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου.

4. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά.

5. Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι· Εὖγε, εὖγε.

6. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, ὁ Θεός.

7. Καὶ λεγέτωσαν διαπαντός· Μεγαλυνθήτω ὁ Κύριος [ὁ Θεός].

8. Οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

9. Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης, ὁ Θεός, βοήθησόν μοι.

10. Βοηθός μου, καὶ ῥύστης μου εἶ σύ, Κύριε, μὴ χρονίσῃς.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, τῷ Δαυΐδ, εἰς ἀνάμνησιν εἰς τὸ σῶσαί με, Κύριος.» Τοῦτο οὖν ἐστιν, ἐπὶ τέλος ὁ ἐξουθενημένος, ἢ ὅταν ἔλθῃ εἰς ἀνάμνησιν εἰς τὸ σωθῆναι αὐτὸν ὑπὸ Κυρίου λέγει τὸν ψαλμόν. «Δαυὶδ» γὰρ ἑρμηνεύεται «ἐξουθενημένος», ὅπερ ἢ ὁ δίκαιος [ὃς] εὑρίσκεται παρὰ τῶν ἐν τῷ κόσμῳ ἐξουθενημένος, ἢ ὁ ἁμαρτωλὸς ὀνειδιζόμενος.

1. Ὁ Θεός, εὐδόκησον εἰς τὸ ἀντιλαβέσθαι μου.

2. Κύριε, εἰς τὸ βοθῆσαι ὑπὲρ ἐμοῦ παραγίνου.

3. Μὴ ποιήσωσι τὸ θέλημα αὐτῶν ἐν μηδενί.

4. Μηδὲν ἀνύσαντες παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι· Εὖγε, εὖγε.

5. Ἄπρακτοι παραχρῆμα ἀναχωρήσουσιν οἱ λέγοντές μοι· Ναὶ ναὶ ἴδωμεν αὐτοῦ τὴν ἀπώλειαν.

6. Οἱ ἐπιστρέφοντες πρὸς σέ.

7. Δοξασθήτω ὁ Θεός.

8. Οἱ ἀγαπῶντες τὸ θέλημά σου.

9. Τῇ δικαιοσύνῃ πτωχός εἰμι.

10. Βοηθὸς καὶ ῥύστης μου εἶ ἐκ τῶν ἐχθρῶν μου, Κύριε, μὴ βραδύνῃς.

«Ψαλμὸς τῷ Δαυὶδ τῶν υἱῶν Ἰωναδάβ, καὶ τῶν πρώτων αἰχμαλωτισθέντων· ἀνεπίγραφος παρ' Ἑβραίοις.» ΨΑΛΜ. Ο'.

1. Ἐπὶ σοί, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.

2. Ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ ἐξελοῦ με·

3. Κλῖνον πρὸς μὲ τὸ οὖς σου, καὶ σῶσόν με.

4. Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν,

5. Καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με·

6. Ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ.

7. Ὁ Θεός μου, ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ·

8. Ἐκ χειρὸς παρανομοῦντος, καὶ ἀδικοῦντος.
9. Ὅτι σὺ εἶ ἡ ὑπομονή μου, Κύριε·
10. Κύριε, ἡ ἐλπίς μου ἐκ νεότητός μου.
11. Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός·
12. Ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής·
13. Ἐν σοὶ ἡ ὕμνησίς μου διαπαντός.
14. Ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς·
15. Καὶ σὺ βοηθός μου κραταιός.
16. Πληρωθήτω τὸ στόμα μου αἰνέσεως,
17. Ὅπως ὑμνήσω τὴν δόξαν σου·
18. Ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.
19. Μὴ ἀπορρίψῃς με εἰς καιρὸν γήρως·
20. Ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου, μη ἐγκαταλίπῃς με.
21. Ὅτι εἶπον οἱ ἐχθροί μου ἐμοί·
22. Καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου,
23. Ἐβουλεύσαντο ἐπὶ τὸ αὐτό,
24. Λέγοντες· Ὁ Θεὸς ἐγκατέλιπεν αὐτόν·
25. Καταδιώξατε, καὶ καταλάβετε αὐτόν·
26. Ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος.
27. Ὁ Θεός μου, μὴ μακρύνῃς ἀπ' ἐμοῦ.
28. Ὁ Θεός μου, εἰς τὴν βοήθειάν μου πρόσχες.
29. Αἰσχυνθήτωσαν καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου.
30. Περιβαλλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι.
31. Ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ ἐπὶ σέ.
32. Καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου.
33. Τὸ στόμα μου ἀναγγελεῖ τὴν δικαιοσύνην σου.
34. Ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου.
35. Ὅτι οὐκ ἔγνων γραμματείας.
36. Εἰσελεύσομαι ἐν δυναστείᾳ Κυρίου·
37. Κύριε, μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου.
38. Ὁ Θεός μου, ἃ ἐδίδαξάς με ἐκ νεότητός μου·
39. Καὶ μέχρι τοῦ νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σου.
40. Καὶ ἕως γήρως καὶ πρεσβείου· ὁ Θεός μου, μὴ ἐγκαταλίπῃς με·
41. Ἕως ἂν ἀπαγγελῶ τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ.
42. Τὴν δυναστείαν σου, καὶ τὴν δικαιοσύνην σου.
43. Ὁ Θεός, ἕως τῶν ὑψίστων, ἃ ἐποίησάς μοι μεγαλεῖα.
44. Ὁ Θεός, τίς ὅμοιός σοι;
45. Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακάς.
46. Καὶ ἐπιστρέψας ἐζωοποίησάς με·

47. Καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς ἀνήγαγές με.
48. Ἐπλεόνασας ἐπ' ἐμὲ τὴν μεγαλωσύνην σου·
49. Καὶ ἐπιστρέψας παρεκάλεσάς μου.
50. Καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.
51. Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε.
52. Ἐν σκεύεσι ψαλμοῦ τὴν ἀλήθειάν σου, ὁ Θεός.
53. Ψαλῶ σοι ἐν κιθάρᾳ, ὁ ἅγιος τοῦ Ἰσραήλ.
54. Ἀγαλλιάσονται τὰ χείλη μου, ὅταν ψάλω σοι·
55. Καὶ ἡ ψυχή μου, ἣν ἐλυτρώσω.
56. Ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου·
57. Ὅταν αἰσχυνθῶσι, καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ πριέχει· «Ψαλμὸς τῷ Δαυὶδ τῶν υἱῶν Ἰωναδάβ, καὶ τῶν πρώτων αἰχμαλωτισθέντων· ἀνεπίγραφος παρ' Ἑβραίοις.» Τοῦτο οὖν λέγει «ψαλμὸς τῷ Δαυὶδ τῷ ἱκανῷ τῇ χειρί», τουτέστι τῷ Κυρίῳ Εἶτα τῶν υἱῶν Ἰωναδάβ, ὅπερ ἐστὶ τῶν υἱῶν τῆς εὐδοκίας τοῦ Θεοῦ, ὡσανεὶ τῶν ἁγίων. Ἰωναδὰβ γὰρ ἑρμηνεύεται «Θεοῦ ἑκουσιότης.» Εἶτα καὶ «τῶν πρώτων αἰχμαλωτισθέντων», τουτέστι τῶν ὑποκειμένων τῇ ἁμαρτίᾳ τὸ πρότερον, ὕστερον δὲ ἐπιστρεψάντων.

1. Ἐπὶ σοὶ ἤλπισα, Κύριε, ὅτι φυλαχθήσομαι, καὶ ἐν μηδενὶ εὑρεθῶ πταίσας ἐνώπιόν σου.
2. Ἐν τῷ Υἱῷ σου ῥῦσαί με, καὶ ἐξελοῦμαι ἀπὸ τῶν ἁμαρτιῶν μου.
3. Ἐπάκουσόν μου, καὶ σῶσόν με.
4. Ἔστω μοι εἰς Θεὸν ὑπερασπιστήν.
5. Εἰς τὴν ἄνω Ἱερουσαλήμ.
6. Ὅτι βοήθειά μου καὶ καταφυγὴ εἶ σύ.
7. Τοῦ διαβόλου λέγει.
8. Τοῦ αὐτοῦ.
9. Ὅτι σὺ εἶ ἡ παράκλησίς μου, Κύριε.
10. Σὺ εἶ ἐλπίς μου ἀφ' οὗ ἐνεποιήθην.
11. Ἀπὸ τοῦ βαπτίσματος.
12. Ἐκ τῆς κολυμβήθρας.
13. Ἡ προσδοκία μου.
14. Ὡσεὶ παίγνιον τοῖς δαίμοσι.
15. Καὶ σὺ βοηθός μου ἰσχυρός.
16. Τῆς χάριτός σου.
17. Τὴν ὡραιότητα τῆς δυνάμεώς σου.

18. Κοιταζόμενος καὶ διανιστάμενος καὶ πορευόμενος ὑμνήσω τὸ μέγεθος τὸ ἀκατάληπτον τῆς εὐπρεπείας σου.
19. Μὴ ἀπορρίψῃς με, ὅταν ἐγγὺς γίνωμαι ἀφανισμοῦ.
20. Ἐν τῷ ἀσθενεῖν τὴν ψυχήν μου μὴ ἐάσῃς με.
21. Ὅτι ἀπειλοῦσί με οἱ δαίμονες.
22. Καὶ οἱ ἐκδεχόμενοι παγιδεῦσαί με.
23. Συνταγὰς ἔχουσι κατ' ἐμοῦ.
24. Λέγοντες· Ὁ Θεὸς εἴασεν αὐτόν.
25. Κρατήσατε αὐτόν, καὶ κατακυριεύσατε αὐτοῦ.
26. Ὅτι οὐδεὶς δύναται αὐτὸν ῥύσασθαι ἐξ ἡμῶν.
27. Ὁ Θεός μου, μὴ ἐάσῃς με.
28. Ὁ ἔφορός μου, προνοητής μου εὐδόκησον εἶναι.
29. Ἀνίσχυροι γίνονται οἱ ἐπιβουλεύοντες τῇ ψυχῇ μου.
30. Μὴ γενομένου τοῦ θελήματος αὐτῶν.
31. Ἀπαύστως.
32. Τὴν καρδίαν μου ὅλην δῶ εἰς τὸ δοξάζειν σε.
33. Μελετήσει τὰ λόγιά σου.
34. Ἀπαύστως τὰς ἐντολάς σου.
35. Περισπασμοὺς ἢ τὴν σοφίαν τοῦ κόσμου.[1]
36. Καυχήσομαι ἐν τοῖς προστάγμασί σου.
37. Τὰ προστάγματά σου.
38. Τὰ ἱερὰ γράμματα, ἃ ἐδίδαξάς με ἀπὸ νεότητός μου.
39. Καὶ μέχρι νῦν αὐτὰ μελετήσω.
40. Καὶ ἕως ἐσχάτης μου ἀναπνοῆς ἐν αὐτοῖς φύλαξόν με.
41. Ἕως οὗ εἴπω ἐν τῇ ἄνω Ἱερουσαλὴμ τοῖς ἁγίοις σου τὴν βοήθειάν σου, ἐν ᾗ ἀντελάβου μου.
42. Καὶ τὴν ἰσχύν σου τὴν μεγάλην καὶ ἀληθινὴν ἕως τῶν ἁγίων σου.
43. Ἃ ἐπεδείξω σπλάγχνα.
44,45. Ἐπέστησας τὸν νοῦν μου ἐπιγνῶναί με τὰς ἁμαρτίας μου, ἃς ἐποίησα.
46. Καὶ ἐποίησάς με μετανοῆσαι διὰ τῆς χάριτός σου, καὶ ζωοποιηθῆναι ἐν τῷ βαπτίσματι.
47. Ἐκ τῶν ἁμαρτιῶν μου.
48. Καὶ πάλιν ἡμαρτηκότος μου οὐ παρεῖδές με.
49. Ἀλλ' ἐπιστρέψας με ἀπὸ τῆς ἁμαρτίας διὰ τῶν ἁγίων Γραφῶν ἐνουθέτησάς με.
50. Καὶ πάλιν ἐκ δευτέρου διὰ τῆς μετανοίας ἐρρύσω με ἀπὸ τῶν ἀνομιῶν μου.
51. Διηγήσομαι πᾶσι, τὸ πῶς με ἠλέησας.
52. Ἐν τῇ γλώσσῃ μου καὶ ἐν τοῖς χείλεσί μου.

---

1. Πρβλ. Ἐκκλ. 1, 13.

53. Νεκρῶσαι τὸ σῶμά μου διὰ τῆς ἐγκρατείας οὕτως ἀνυμνήσω σε.
54. Τὰ χείλη τῆς καρδίας μου.
55. Ἐκ τῶν ἐχθρῶν αὐτῆς.
56. Ἐν τῷ νόμῳ σου ἐπιζητεῖ, ὅ τι ἀρεστὸν ἐν σοί ἐστιν.
57. Οἱ δαίμονες.

«Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυὶδ εἰς Σολομών.» ΨΑΛΜ. ΟΑ'.

1. Ὁ Θεός, τὸ κρῖμά σου τῷ βασιλεῖ δός·
2. Καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως.
3. Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ·
4. Καὶ τοὺς πτωχούς σου ἐν κρίσει.
5. Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ·
6. Καὶ οἱ βουνοὶ δικαιοσύνην.
7. Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ·
8. Καὶ σώσεις τοὺς υἱοὺς τῶν πενήτων·
9. Καὶ ταπεινώσει συκοφάντην.
10. Καὶ συμπαραμενεῖ τῷ ἡλίῳ,
11. Καὶ πρὸ τῆς σελήνης γενεᾶς καὶ γενεῶν.
12. Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον·
13. Καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν.
14. Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη,
15. Καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη.
16. Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης.
17. Καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης.
18. Ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες·
19. Καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι.
20. Βασιλεῖς Θαρσεῖς καὶ νῆσοι δῶρα προσοίσουσι·
21. Βασιλεῖς Ἀράβων καὶ Σαβᾶ δῶρα προσάξουσι.
22. Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς·
23. Πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ.
24. Ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου,
25. Καὶ πένητα, ᾧ οὐχ ὑπῆρχε βοηθός.
26. Φείσεται πτωχοῦ καὶ πένητος·
27. Καὶ ψυχὰς πενήτων σώσει.
28. Ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν.
29. Καὶ ἔντιμον τὸ ὄνομα αὐτοῦ ἐνώπιον αὐτῶν.
30. Καὶ ζήσεται καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας·
31. Καὶ προσεύξονται περὶ αὐτοῦ διαπαντός·
32. Ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν.
33. Ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ' ἄκρων τῶν ὀρέων·

34. Ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ·
35. Καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.
36. Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας.
37. Πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ.
38. Καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς·
39. Πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν.
40. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ·
41. Ὁ ποιῶν θαυμάσια μόνος.
42. Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
43. Καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ·
44. Γένοιτο, γένοιτο.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυῒδ εἰς Σολομών.» Τοῦτο οὖν λέγει· ἐπ' ἐσχάτων τῶν ἡμερῶν εἰς τὸν εἰρηνικώτατόν ἐστιν ὁ ψαλμός, λέγω δὴ εἰς τὸν Κύριον Ἰησοῦν· «Σαλομὼν» γὰρ «εἰρηνικὸς» ἑρμηνεύεται.

1. Τῷ Υἱῷ σου.
2. Τοῖς ἁγίοις σου.
3. Ποιεῖν τὸν λαόν σου ἐν δικαιοσύνῃ σου πορεύεσθαι.
4. Καὶ τοὺς πτωχοὺς τῷ πνεύματι ἐν ἀληθείᾳ.
5. Οἱ προφῆται κηρύξουσι τὸν Κύριον ἐρχόμενον.
6. Καὶ οἱ ἀπόστολοι τὸν αὐτὸν κηρύξουσιν.
7. Ἀγάγει τοὺς πτωχοὺς τῷ πνεύματι.
8. Καὶ σώσει τοὺς μαθητὰς τῶν ἀποστόλων.
9. Τὸν διάβολον.
10. Καὶ συμπαραμενεῖ τοῖς ἁγίοις.
11. Καὶ πρὸ τοῦ κόσμου ἐξελέξατο αὐτούς.
12. Καταβήσεται ἀπὸ τῶν οὐρανῶν καθαίρων πᾶσαν ἀνομίαν.
13. Τὰ χαρίσματα αὐτοῦ ἐν τοῖς ἀποστόλοις.
14. Οἱ ἅγιοι.
15. Ἡ εἰρήνη πολλὴ ἔσται ἐν αὐτοῖς ἕως τῆς συντελείας τοῦ αἰῶνος.
16. Ἀπὸ ἀρχῆς τοῦ κόσμου ἕως [ἐσχάτης] ἀρχῆς.
17. Καὶ ἀπὸ τῶν ἐθνῶν ἕως τῶν λοιπῶν πάντων.
18. Προσπέσουσιν αὐτῷ οἱ μελανωθέντες ἀπὸ τῶν ἁμαρτιῶν.
19. Οἱ δαίμονες.
20. Οἱ ἀπόστολοι καὶ ὁ λαὸς τῶν πιστῶν τὰς ἑαυτῶν ψυχὰς προσαγάγωσιν. Λέξωμεν δὲ καὶ ἄλλως τὴν ἑρμηνείαν· «Θαρσεῖς» ἑρμηνεύεται «κατασκοπὴ χαρᾶς», ὅπερ ἦσαν οἱ ἀπόστολοι, διὰ τὸ ἐπισκέπτεσθαι αὐτοῦ τὸν λαόν. «Νῆσοι» δὲ «αἱ Ἐκκλησίαι» εἴρηνται, διὰ τὸ πάντας ἐν αὐταῖς σῴζεσθαι.

21. Ὁμοίως πάλιν οἱ ἀπόστολοι καὶ οἱ ἐπιστρέφοντες προσαγάγωσιν ἑαυτοὺς δῶρα τῷ Κυρίῳ. Εἴπωμεν δὲ καὶ ἄλλως τὴν ἑρμηνείαν. «Σαβᾶ» ἑρμηνεύεται «ἐπιστροφή·» «Ἀράβων» δὲ ἑρμηνεύεται τὸ «τῶν Ἰουδαίων ἔθνος», ἐπειδὴ ἐν τῷ Σινᾷ ὄρει τὸν νόμον ἐδέξαντο. Τὸ δὲ Σινᾶ ὄρος ἐν τῇ Ἀραβίᾳ ἐστί. Διὰ τοῦτο οὖν τοὺς ἀπὸ τῶν Ἰουδαίων στόμα [«Σαβᾶ» καὶ] «Ἄραβας» ἐκάλεσε.

22. Οἱ βασιλεύοντες κατὰ τῆς ἁμαρτίας.

23. Ἐξαγορασθήσονται ὑπ' αὐτοῦ.

24. Τοὺς πτωχοὺς ἐκ τοῦ διαβόλου.

25. Τὸν πιστεύοντα παλαιόν.

26. Τῶν ἁγίων.

27. Τῶν προσφευγόντων ἐπὶ τὸ ἔλεος αὐτοῦ.

28. Ἐκ τῆς προϋπαρχούσης αὐτῶν ἁμαρτίας.

29. Δεδοξασμένον τὸ ὄνομα αὐτοῦ ἐν αὐτοῖς ἐστιν.

30. Οἱ ἀπόστολοι δοθῶσιν αὐτῷ ἐκ τοῦ ἔθνους τῶν Ἰουδαίων.

31. Ἀπαύστως κηρύξουσι περὶ αὐτοῦ.

32. Ἀδιαλείπτως δοξάσουσιν αὐτόν.

33. Ἔσται βεβαίωσις τῶν προφητικῶν λόγων τὸ κήρυγμα τῶν ἀποστόλων.

34. Ὁ λαὸς ὁ πιστὸς ὑπὲρ τὸν λαὸν τῶν Ἰουδαίων.

35. Καὶ ἐκλάμψουσιν ἐν τῇ ἄνω Ἱερουσαλήμ.

36. Εἰς τοὺς ἀτελευτήτους αἰῶνας.

37. Ἀνάρχως καὶ ἀπερινοήτως.

38. Ἐν τῷ ὀνόματι αὐτοῦ ἁγιασθήσονται οἱ πιστεύοντες αὐτῷ.

39. Οἱ πιστοὶ δοξάσουσιν αὐτόν.

40. Ἡγιασμένος κατὰ φύσιν ἔσται ὁ Θεὸς τῶν ὁσίων.

41. Ὁ θαυματοποιὸς καὶ πρὸ τῆς παρουσίας, καὶ μετὰ τὴν παρουσίαν αὐτοῦ.

42. Καὶ ἡγιασμένον τὸ ὄνομα τῆς ὑπεροχῆς αὐτοῦ εἰς τὸν αἰῶνα ἑστῶτα καὶ ἐν τῷ αἰῶνι τῆς κρίσεως καὶ εἰς τὸν ἀτελεύτητον αἰῶνα.

43, 44. Καὶ πληρωθήσεται τῆς πίστεως αὐτοῦ πᾶσα ἡ γῆ Ἀμήν, ἀμήν.

«Ἐξέλιπον οἱ ὕμνοι Δαυίδ, υἱοῦ Ἰεσσαί. Ψαλμὸς τῷ Ἀσάφ.»

ΨΑΛΜ. ΟΒ'.

1. Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραὴλ τοῖς εὐθέσι τῇ καρδίᾳ!
2. Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες·
3. Παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου.
4. Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν.
5. Ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν,
6. Καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν.
7. Ἐν κόποις ἀνθρώπων οὐκ εἰσί·

8. Καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται.
9. Διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία αὐτῶν εἰς τέλος·
10. Περιεβάλοντο ἀδικίαν καὶ ἀσέβειαν ἑαυτῶν.
11. Ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν·
12. Διῆλθοσαν εἰς διάθεσιν καρδίας.
13. Διενοήθησαν, καὶ ἐλάλησαν ἐν πονηρίᾳ·
14. Ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν.
15. Ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν·
16. Καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς.
17. Διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα·
18. Καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς.
19. Καὶ εἶπον· Πῶς ἔγνω ὁ Θεός;
20. Καὶ εἰ ἔστι γνῶσις ἐν τῷ Ὑψίστῳ;
21. Ἰδοὺ οὗτοι οἱ ἁμαρτωλοὶ καὶ εὐθηνοῦντες.
22. Εἰς τὸν αἰῶνα κατέσχον πλούτου.
23. Καὶ εἶπα· Ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου;
24. Καὶ ἐνιψάμην ἐν ἀθώοις τὰς χεῖράς μου.
25. Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν·
26. Καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωΐας.
27. Εἰ ἔλεγον, διηγήσομαι οὕτως·
28. Ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκα.
29. Καὶ ὑπέλαβον τοῦ γνῶναι·
30. Τοῦτο κόπος ἐστὶν ἐνώπιόν μου.
31. Ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ·
32. Καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν.
33. Πλὴν διὰ τὰς δολιότητας αὐτῶν ἔθου αὐτοῖς κακά·
34. Κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι.
35. Πῶς ἐγένοντο εἰς ἐρήμωσιν;
36. Ἐξάπινα ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν.
37. Ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου,
38. Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.
39. Ὅτι ἐξεκαύθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν.
40. Κἀγὼ ἐξουδενωμένος καὶ οὐκ ἔγνων·
41. Κτηνώδης ἐγενήθην παρὰ σοί.
42. Κἀγὼ διαπαντὸς μετὰ σοῦ·
43. Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου·
44. Καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με·
45. Καὶ μετὰ δόξης προσελάβου με.
46. Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ;
47. Καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς;
48. Ἐξέλιπεν ἡ καρδία μου καὶ ἡ σάρξ μου, ὁ Θεὸς τῆς καρδίας μου·
49. Καὶ ἡ μερίς μου ὁ Θεὸς εἰς τὸν αἰῶνα.

50. Ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται·
51. Ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ.
52. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι.
53. Τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου.
54. Τοῦ ἐξαγγεῖλαί με πάσας τὰς αἰνέσεις σου,
55. Ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ἐξέλιπον ὕμνοι Δαυὶδ τοῦ υἱοῦ Ἰεσσαί· ψαλμὸς τῷ Ἀσάφ.» Τοῦτο οὖν λέγει· Ἐξέλιπον πάντη οἱ ὕμνοι τοῦ λαοῦ τῶν Ἰουδαίων. «Δαυὶδ» γὰρ ἐνταῦθα «ἐξουθένημα» ἑρμηνεύεται, ὅπερ εἰσὶν οἱ Ἰουδαῖοι. Τοῦτο γὰρ καὶ ὁ ψαλμὸς κατηγορεῖ αὐτῶν ὡς τελείως αὐτῶν ἐκκλινάντων ἀπὸ τοῦ Θεοῦ· Εἶτα· «Τοῦ υἱοῦ Ἰεσσαὶ» [Ἰεσσαὶ δὲ ἑρμηνεύεται] «μεταλλοίωσις·» μετεβλήθησαν γὰρ ἀπὸ τοῦ Θεοῦ εἰς τὴν εἰδωλολατρείαν. Τηλαυγέστερον δὲ αὐτὸ σημαίνει λέγων· «Ψαλμὸς τῷ Ἀσάφ», τουτέστι «συναγωγῇ.» Τοῦτο γὰρ ἑρμηνεύεται τῷ «Ἀσάφ.»

1. Ἀγαθός ἐστιν ὁ Θεὸς τοῖς ὁρῶσιν αὐτὸν τῇ διανοίᾳ.
2. Ἐγὼ δὲ παρὰ μικρὸν ἐξέκλινα καὶ ἐξέπεσα.
3. Παρ' ὀλίγον συνένεσα [συνένευσα] τῇ ἁμαρτίᾳ.
4. Ὅτι εἶδον τοὺς ἁμαρτωλοὺς ἐν ἀπολαύσει ὄντας ἐνταῦθα, ἔζησαν παρὰ μικρὸν τοιοῦτο γενέσθαι.
5. Ὅτι οὐ μεταμέλονται ἀπὸ τῆς ἁμαρτίας αὐτῶν.
6. Καὶ ἐπιμένουσι τῇ ἁμαρτίᾳ.
7. Οὐ λογίζονται ἑαυτοὺς ἵνα ὡς ἕκαστος τῶν ἀνθρώπων.
8. Οὐδὲ ὅτι μετὰ τῶν ἀνθρώπων μέλλουσι κρίνεσθαι.
9. Διὰ τοῦτο οὐ μετεμελήθησαν ἐπὶ τῇ σπάρσει [ἐπάρσει] τῆς καρδίας αὐτῶν.
10. Ταῖς ἑαυτῶν ἁμαρτίαις καὶ ἀδικίαις σφίγγονται.
11. Ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ἰσχυρὰ ἡ ἁμαρτία αὐτῶν ἀναδειχθῇ.
12. Ἐξηκολούθησαν.
13. Ἐσκέψαντο καὶ ἐλάλησαν πονηρὰ κατὰ τοῦ Θεοῦ.
14. Ῥήματα βλάσφημα κατὰ τοῦ Κυρίου ἐλάλησαν.
15. Δυσφημοῦντες κατὰ τοῦ Θεοῦ.
16. Καὶ ἡ διδαχὴ αὐτῶν κατέσχεν ἐπὶ τῆς γῆς.
17. Διὰ τοῦτο τὸν λαόν μου ἐπισυναγάγῃ [ὁ λαός μου ἐπισυναγάγηται] ἐν βασιλείᾳ μου.
18. Καὶ οὐδὲν σκοτεινὸν ἔργον ἐν αὐτοῖς, ἀλλὰ τοῦ φωτὸς πάντων [πάντα].
19. Καὶ εἶπαν οἱ ἀσεβεῖς· Πόθεν οἶδεν ὁ Θεός τι περὶ ἐμοῦ;
20. Καὶ εἰ ὅλως ἐστὶ φροντὶς περὶ τούτων τῷ Θεῷ;

21. Ἐν τῷ κόσμῳ εὐθυνοῦντες.

22. Εἰς τὸν αἰῶνα τὸν νῦν.

23. Καὶ ἐλογισάμην καθ' ἑαυτόν· Ἄρα μὴ εἰς μάτην οὐκ ἐξέδωκα εἰς τὸν πλοῦτον τοῦ κόσμου τὴν καρδίαν μου;

24. Καὶ ἐκαθάρισα τὴν διάνοιάν μου ἀπ' αὐτῶν.

25. Καὶ πληγὴ εὐθέως ἦλθεν ἐπ' ἐμέ, μόνον εἶπα τοῦτο.

26. Καὶ ἀνανήφουσα, κατεγίνωσκέ μου ἡ καρδία.

27, 28. Καὶ ἔλεγον τῷ Θεῷ· Διηγήσομαι τῇ γενεᾷ τῶν υἱῶν σου, ἢ ἐνετείλω, ὅτι, ἵνα [ἐὰν] οὕτως λογίσωμαι καὶ ζηλώσω [ἐλογισάμην καὶ ἐζήλωσα] τὸν πλοῦτον τῶν ἁμαρτωλῶν καὶ ἐμαστιγώθην παρὰ τοῦ Θεοῦ.

29, 30. Ἐνεθυμήθην, καὶ ἔγνω, ὅτι θλῖψις σύνεσιν [συνέστη] ἐν τῷ κόσμῳ τῷ κατέναντι [κατέναντί μου].

31. Ἕως οὗ ἀναλύσω πρὸς τὸν Θεόν μου.

32. Καὶ τότε ὁρῶ τί ἔσται πάντα τὰ ἔσχατα τῶν ἁμαρτωλῶν.

33. Ὅμως διὰ τὰς ἁμαρτίας αὐτῶν εὐτρέπισας αὐτοῖς κολάσεις αἰωνίας.

34. Διεσκόρπισας αὐτοὺς ἀπὸ σοῦ διὰ τὴν ὑπερηφάνειαν τῆς καρδίας αὐτῶν.

35. Πῶς ἐγένοντο εἰς ἀφανισμόν;

36. Ἀπέθανον, καὶ ἀπώλοντο διὰ τὸν ἄδικον πλοῦτον αὐτῶν.

37. Ὥσπερ ὁ ἐνυπνιαζόμενος ἐρᾷ [ὁρᾷ] πολλάκις ἑαυτὸν ἐν πλούτῳ ὄντα, δι' ὑπρισθεὶς [διυπνισθεὶς] δὲ οὐδὲν ἔχει, οὕτω γέγονε καὶ τούτοις ὁ πλοῦτος αὐτῶν.

38. Κύριε, ἐν τῇ ἄνω Ἱερουσαλὴμ ἀπορρίψεις αὐτοὺς ἀπὸ προσώπου σου.

39. Ὅτι ἐθλιβόμην ἐν τῷ κόσμῳ καὶ ἐτάκην ὅλως.

40. Καὶ ἐξουδενωμένος ἤμην παρ' αὐτοῖς καὶ οὐκ ἔμελέ μοι.

41. Καὶ ὡς κτῆνος ἤμην παρὰ σοὶ τῷ βουλήματι ἐπιθέμενος πάντῃ.

42. Ὁ Κύριος λέγει πρὸς αὐτόν· Καὶ ἐγὼ διὰ τοῦτο ἤμην διαπαντὸς μετὰ σοῦ.

43, 44. Καὶ ὡς κτῆνος, ὅπου ἐὰν ὡδήγησέ με ἡ χείρ σου καὶ τὸ θέλημά σου, ἐπορευόμην.

45. Καὶ νῦν ἐν τῇ βασιλείᾳ σου μετὰ δόξης προσελάβου με.

46. Τί γάρ μοί ἐστιν ἄλλο ἐν τῷ οὐρανῷ, εἰ μὴ διὰ τῆς χάριτός σου δοξασθήσομαι ὑπὸ σοῦ;

47. Καὶ ἔτι ὢν ἐν τῇ γῇ τοῦτο ἠθέλησα παρὰ σοῦ.

48. Οὐδὲν θέλημα τῆς καρδίας μου, ἢ τῆς σαρκός μου ἐποιούμην.

49. Ἀλλ' ἐν παντὶ καὶ ἐν πᾶσιν ὁ Θεός μου ὑπάρχει.

50, 51. Οἱ ἀποσχοινίζοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται.

52. Ἐμοὶ δὲ τὸ ἀχώριστον εἶναι τοῦ Θεοῦ ἐπιθυμητέον ἐστί.

53. Πᾶσαν τὴν μέριμνάν σου ἐπίρριψον ἐπ' αὐτόν.[1]
54. Τοῦ διηγεῖσθαί με τὰς εὐεργεσίας σου.
55. Ἀπαύστως ἀνυμνοῦντά σε ἐν τῇ ἄνω Ἱερουσαλήμ.

«Συνέσεως τῷ Ἀσάφ.» ΨΑΛΜ. ΟΓ'.

1. Ἵνα τί, ὁ Θεός, ἀπώσω εἰς τέλος;
2. Ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;
3. Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς·
4. Ἐλυτρώσω ῥάβδον κληρονομίας σου·
5. Ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ.
6. Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος.
7. Ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου;
8. Καὶ ἐκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου.
9. Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα, καὶ οὐκ ἔγνωσαν,
10. Ὡς εἰς τὴν ἔξοδον ὑπεράνω.
11. Ὡς ἐν δρυμῷ ξύλων, ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς·
12. Ἐπὶ τὸ αὐτὸ πελέκει καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν.
13. Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου.
14. Εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου.
15. Εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν αἱ συγγένειαι αὐτῶν ἐπὶ τὸ αὐτό·
16. Δεῦτε καὶ καταπαύσωμεν πάσας τὰς ἑορτὰς τοῦ Θεοῦ ἀπὸ τῆς γῆς.
17. Τὰ σημεῖα αὐτῶν οὐκ εἴδομεν·
18. Οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι.
19. Ἕως πότε, ὁ Θεός, ὀνειδιεῖ ὁ ἐχθρός;
20. Παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος;
21. Ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου;
22. Καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος;
23. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων,
24. Εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.
25. Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν·
26. Σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος.
27. Σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος·
28. Ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψι.
29. Σὺ διέρρηξας πηγὰς καὶ χειμάρρους·
30. Σὺ ἐξήρανας ποταμοὺς Ἠθὰμ [Αἰθάμ].
31. Σή ἐστιν ἡ ἡμέρα καὶ σή ἐστιν ἡ νύξ·
32. Σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον.
33. Σὺ ἐποίησας πάντα τὰ ὅρια τῆς γῆς·
34. Θέρος καὶ ἔαρ σὺ ἔπλασας αὐτά,

1. Πρβλ. Ψαλμ. 54, 23.

35. Μνήσθηι ταύτης.
36. Ἐχθρὸς ὠνείδισε τὸν Κύριον·
37. Καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου.
38. Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι.
39. Τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος.
40. Ἐπίβλεψον εἰς τὴν διαθήκην σου·
41. Ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν.
42. Μὴ ἀποστραφήτω τεταπεινωμένος καὶ κατῃσχυμμένος·
43. Πτωχὸς καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου.
44. Ἀνάστα, ὁ Θεός, δίκασον τὴν δίκην σου [μου]·
45. Μνήσθητι τοῦ ὀνειδισμοῦ σου, τοῦ ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν.
46. Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν οἰκετῶν σου·
47. Ἡ ὑπερηφανία τῶν μισούντων σε ἀνέβη διαπαντὸς [ἀνέβη πρὸς σὲ διαπαντός].

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Συνέσεως τῷ Ἀσάφ». Τοῦτο οὖν λέγει περὶ τῶν εἰς σύνεσιν ἐρχομένων ἐκ τοῦ λαοῦ τῶν Ἰουδαίων, καὶ ἐπιστρεφόντων ἐπὶ τὸν Κύριον. «Ἀσάφ» γὰρ ἑρμηνεύεται «συναγωγή.»

1. Τὸ ἔθνος τῶν Ἰουδαίων.
2. Ἠπείλησας θυμωθεὶς ἐπιβόσκεσθαι αὐτοὺς ἐπὶ τὰ ὄρη, καὶ τὰ δένδρα εἰδωλολατροῦντας.
3. Μνήσθητι, ὅτι ἀπ' ἀρχῆς διὰ τὸ ἔλεός σου ἐκτήσω αὐτοὺς ἐξ Αἰγύπτου ἐπὶ τὸ σῶσαι.
4. Τοὺς ἁγίους σου.
5. Ἐν τῷ χορῷ τῶν ἁγίων.
6. Κατὰ τῶν δαιμόνων.
7. Ὁ διάβολος κατὰ τοῦ πιστοῦ λαοῦ.
8. Οἱ Ἰουδαῖοι σταυρώσαντές σε.
9. Ἔγνωσαν τὰς φωνὰς τῶν προφητῶν, ὅτι ἀληθεῖς εἰσι, καὶ παρελογίσαντο αὐτάς.
10. Πλέον νῦν ἥμαρτον, ὧν ἥμαρτον εἰς τὴν ἔξοδον Αἰγύπτου.
11. Ὡς ξύλα ἄκαρπα εἰς καῦσιν ὄντα, οὕτως ἐγένοντο οἱ ἄρχοντες αὐτῶν.
12. Ἐν ἁμαρτίαις καὶ ἀνομίαις ὄντες κατέπεσον.
13. Διὰ τῆς ἁμαρτίας ἐμόλυναν τὸν ναὸν τοῦ Θεοῦ.
14. Δι' ὧν ἔπραττον σαρκικῶν ἐπιθυμιῶν βλασφημεῖσθαι τὸν Θεόν.
15, 16. Οἱ συγγενεῖς αὐτῶν οἱ δαίμονες ἐβουλεύσαντο· Ἐκκλῖναι ποιήσωμεν πάντας ἀπὸ τοῦ Θεοῦ.

17. Οὐχ ὁρῶμεν ἑαυτοὺς ἀποβλήτους ὄντας ἀπὸ τῶν ἀνθρώπων.

18. Οὐκ ἔστι τις ἐπὶ τῆς γῆς ὁ εὐαρεστῶν αὐτῷ, καὶ ἡμᾶς οὐκ ἔτι πολεμήσει.

19. Ἕως πότε καυχᾶται ὁ διάβολος;

20. Ὁ αὐτός.

21, 22. Ἵνα τί ἀποκρύπτεις, δι' οὗ τὰ πάντα ἐποίησας, τὸν Υἱόν σου τὸν μονογενῆ ἐν ἑαυτῷ, καὶ οὐ φανεροῖς αὐτὸν ἕως τέλους;

23. Ὁ γὰρ Θεὸς Λόγος ὁ Υἱός σου βασιλεὺς ἡμῶν πρὸ αἰῶνος.

24. Ἐσταυρώθη.

25. Σὺ ἐστήριξας ἐν τῇ πίστει σου τὸν λαόν σου.

26, 27. Τοῦ διαβόλου.

28. Ἔδωκας τὸν διάβολον εἰς ἀνάλωσιν τοῖς ἁγίοις σου. «Αἰθίοπες» γὰρ ἑρμηνεύονται «ταπεινοί», ὅπερ εἰσὶ τῇ καρδίᾳ οἱ ἅγιοι.

29. Τοὺς ἀποστόλους καὶ τοὺς μαθητὰς αὐτῶν.

30. Τὸν λαὸν τῶν Ἰουδαίων. «Αἰθὰμ» γὰρ ἑρμηνεύεται «ὑψηλὸς παροργισμός», ὅπερ ἦσαν Ἰουδαῖοι.

31. Σή ἐστι καὶ ἡ πρώτη παρουσία, ἐν ᾗ ἐφώτισας τὰ πάντα, σή ἐστι καὶ ἡ συντέλεια τῶν αἰώνων.

32. Σὺ ἐποίησας υἱοὺς φωτός, καὶ ὡς τὸν ἥλιον λάμπειν τοὺς ἁγίους.

33. Τὰς ἐντολάς σου.

34. Τοῖς ἁγίοις [Τοὺς ἁγίους] σου, ἐν οἷς αὔξει τὸ φῶς σου, καὶ βλαστάνει τὰ ἄνθη τῶν χαρισμάτων σου, σὺ ἐποίησας.

35. Μνήσθητι οὖν τῆς τοιαύτης διαθήκης.

36. Ὁ διάβολος.

37. Ὁ λαὸς τῶν Ἰουδαίων.

38. Μὴ παραδῷς τοῖς δαίμοσι τοὺς προσπίπτοντάς σοι.

39. Τῶν ἁγίων σου.

40. Εἰς τοὺς αὐτοὺς ἁγίους σου.

41. Οἱ δαίμονες τῶν κολλωμένων αὐτῶν.

42. Μὴ ἀποβάλλῃ τὸν προσφεύγοντά σοι.

43. Οἱ πτωχοὶ τῇ καρδίᾳ.

44, 45. Ἀνάστηθι, καὶ μνήσθητι ὧν ἐποίησεν ὁ Σατανᾶς ἐν τῷ αἰῶνι τούτῳ.

46. Τῶν ἁγίων σου.

47. Ἡ ὑπερηφάνια τῶν δαιμόνων καὶ τῶν αἱρετικῶν ἐγνωσμένη σοί ἐστιν.

«Εἰς τὸ τέλος· μὴ διαφθείρῃς. Ψαλμὸς ᾠδῆς τῷ Ἀσάφ.»

ΨΑΛΜ. ΟΔ'.

1. Ἐξομολογησόμεθά σοι, ὁ Θεός.

2. Ἐξομολογησόμεθά σοι, καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου.

3. Διηγήσομαι τὰ θαυμάσιά σου·
4. Ὅταν λάβω καιρόν, ἐγὼ εὐθύτητας κρινῶ.
5. Ἐτάκη ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ·

Διάψαλμα.

6. Ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς·
7. Εἶπα τοῖς παρανομοῦσι· Μὴ παρανομεῖτε·
8. Καὶ τοῖς ἁμαρτάνουσι· Μὴ ὑψοῦτε κέρας.
9. Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν·
10. Καὶ μὴ λαλεῖτε κατὰ τοῦ Θεοῦ ἀδικίαν.
11. Ὅτι οὔτε ἐξ ἐξόδων, οὔτε ἀπὸ δυσμῶν,
12. Οὔτε ἀπὸ ἐρήμων ὀρέων, ὅτι ὁ Θεὸς κριτής ἐστι.
13. Τοῦτον ταπεινοῖ, καὶ τοῦτον ὑψοῖ.
14. Ὅτι ποτήριον ἐν χειρὶ Κυρίου, οἴνου ἀκράτου πλῆρες κεράσματος.
15. Καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο, πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη·
16. Πίωνται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς.
17. Ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα·
18. Ψαλῶ τῷ Θεῷ Ἰακώβ.
19. Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συνθλάσω·
20. Καὶ ὑψωθήσεται τὸ κέρας τοῦ δικαίου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, μὴ διαφθείρῃς· ᾠδῆς τῷ Ἀσὰφ ψαλμός.» Τοῦτο οὖν παραινεῖ ὁ ψαλμός· Μηδεὶς διαφθείρῃ ἕως τέλους τῶν ἐντολῶν τοῦ Θεοῦ. Ψαλμὸς δὲ «τῷ Ἀσάφ», ὅπερ ἑρμηνεύεται συναγωγή, καὶ «συλλέγων·» Ταῦτα δὲ εἰς τὸν Κύριον ἑρμηνεύονται, τὸ «συλλέγων», καὶ εἰς τὸν κόσμον, τῷ «συναγωγή.»

1. Ὁμολογήσομεν ἑαυτοὺς δεδουλῶσθαί σοι, ὁ Θεός.
2. Δεηθῶμεν ἐπικεκλῆσθαι τὸ ὄνομά σου ἐφ' ἡμᾶς.
3. Κηρύξω τὰ θαυματουργήματά σου.
4. Ἐν τῇ παρουσίᾳ μου λέγει ὁ Κύριος.
5. Ὑπὸ τῆς ἁμαρτίας.
6. Τοὺς ἀποστόλους.
7. Τῷ λαῷ τῶν Ἰουδαίων.
8. Τοῖς αὐτοῖς λέγει Ἰουδαίοις.
9. Μὴ λέγετε, ὅτι «Τέκνα Ἀβραάμ ἐσμεν.[1]»
10. Καὶ μὴ λέγετε τῷ Υἱῷ, ὅτι «Ἄνθρωπος εἶ σύ, καὶ οὐχὶ Θεός·[2]»

---

1. Ἰω. 8, 33. 8, 37. 2. Πρβλ. Ἰω. 10, 33.

11, 12. Οὔτε τῶν ἀπὸ ἀνατολῶν ἀνθρώπων καὶ μέχρι δυσμῶν, ἢ τῶν ἐναντίων δυνάμεών τις κριτής ἐστιν ἢ μόνος ὁ Θεός.

13. Τὸν μὲν εἰς γῆρας ἄγει, τὸν δὲ προκόπτειν τῇ ἡλικίᾳ [οὐ] ποιεῖ.

14. Ὅτι ὁ θάνατος πάντων ἐν τῇ ἐξουσίᾳ αὐτοῦ ἐστι καὶ τοῦ βρέφους καὶ τοῦ νέου καὶ τοῦ τελείου καὶ τοῦ εἰς γῆρας ὄντος.

15. Καὶ ἤγαγεν αὐτὸν ἐκ τοῦ πρεσβύτου εἰς τὸ βρέφος· ὅμως αὐτὸς ὁ θάνατος ἀκμὴν πέρας οὐκ ἔλαβεν.

16. Ἕως οὗ ἔλθῃ εἰς πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς.

17. Εἰς τὸν μέλλοντα αἰῶνα λέγει.

18. Ὕμνον ἀναπέμψω τῷ Θεῷ Ἰακώβ.

19. Τῶν ἐναντίων δυνάμεων τὰς βασιλείας.

20. Ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

«Εἰς τὸ τέλος, ἐν ὕμνοις· ψαλμὸς τῷ Ἀσάφ. Ὠδὴ πρὸς τὸν Ἀσσύριον.»

ΨΑΛΜ. ΟΕ΄.

1. Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός·
2. Ἐν τῷ Ἰσραήλ, μέγα τὸ ὄνομα αὐτοῦ.
3. Καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ·
4. Καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών.
5. Ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων,
6. Ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον.
7. Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων·
8. Ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ.
9. Ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδέν,
10. Πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν.
11. Ἀπὸ ἐπιτιμήσεώς σου, ὁ Θεὸς Ἰακώβ,
12. Ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοῖς ἵπποις.
13. Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι;
14. Ἀπὸ τότε ἡ ὀργή σου.
15. Ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν·
16. Γῆ ἐφοβήθη, καὶ ἡσύχασεν, ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν Θεόν·
17. Τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς.
18. Ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι·
19. Καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσουσί σοι.
20. Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ὑμῶν.
21. Πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι δῶρα,
22. Τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων.
23. Φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ἐν ὕμνοις· ψαλμὸς τῷ Ἀσάφ· Ὠδὴ πρὸς τὸν Ἀσσύριον.» «Ἀσάφ» ἑρμηνεύεται «συλλέγων.» «Ἀσσύριος» δὲ ἑρμηνεύεται «κατευθύνων.» Τοῦτο λέγει ἐπὶ τέλει τῶν αἰώνων, εἰς ὕμνον ὁ ψαλμὸς εἴρηται, τουτέστι τῷ Κυρίῳ ᾠδῆς [Ἀσὰφ ᾠδή]· τὸ δὲ «πρὸς τὸν Ἀσσύριον» πρὸς τὸν διάβολον λέγει.

1. Ἑωράθη ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός.

2. Ἐν τοῖς ἀνδράσι τοῖς ὁρῶσιν αὐτόν, ὅτι ἔστι Θεός, μέγα τὸ ὄνομα αὐτοῦ.

3. Ἐν τῇ Ἱερουσαλὴμ γὰρ ἦν ὁ τόπος αὐτοῦ. «Σαλὴμ» γὰρ «εἰρήνη» ἑρμηνεύεται.

4. Ἐκεῖ γὰρ κατῴκει ἐν τῇ Σιών.

5, 6. Σταυρωθεὶς γὰρ ἐν τῇ Σιὼν καὶ Ἱερουσαλήμ, ἔτριψε τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τοῦ διαβόλου.

7. Τὰς Γραφὰς ἡμῖν σὺ θαυμαστῶς διανοίγεις τῶν προφητῶν.

8. Οἱ Ἰουδαῖοι ἔλεγον· «Πόθεν οὗτος οἶδε γράμματα μὴ μεμαθηκώς; [1]»

9. Οἱ τηροῦντες τὸν τάφον τοῦ Ἰησοῦ.

10. Πάντες οἱ ἄνδρες [ἄρχοντες] τῶν Ἰουδαίων ἔδωκαν ἀργύρια τοῖς στρατιώταις.

11. Ἀπὸ τῆς κελεύσεως.

12. Οἱ στρατιῶται «ἐγένοντο ὡσεὶ νεκροί.[2]»

13. Οὐδὲν γάρ ἐστι τὸ δυνάμενον φέρειν τὴν ἄστεκτον δόξαν σου.

14. Ἀφ' οὗ ἤρξατο ἁμαρτάνειν τὸ γένος τῶν ἀνθρώπων.

15. Ἐκ τοῦ οὐρανοῦ ἀκουστὸν ἐγένετο, ὅτι ἐστὶ κρίσις.

16. Τὰ ἔθνη πάντα ἐπαίσαντο ἀπὸ τῆς καρδίας τοῦ κόσμου, ἐν τῷ τὸν Θεὸν ἐλθεῖν ἐπὶ τῆς γῆς.

17. Τοὺς καταπραϋνομένους [καταπαυομένους] ἀπὸ τῆς ἁμαρτίας.

18. Ὅταν οἱ λογισμοί μου κατηγοροῦσιν, ἢ καὶ ἀπολογοῦνται.

19. Τῶν ἐνδεικνυμένων «τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτοῖς τῆς συνειδήσεως.[3]»

20. Ἃ ἐπηγγείλασθε ἐν τῷ βαπτίσματι πληρώσατε Κυρίῳ τῷ Θεῷ ἡμῶν.

21. Οἱ ἅγιοι αὐτοῦ ἀγάγωσιν αὐτῷ τὰ ἔργα τῆς δικαιοσύνης,

22. Τῷ ἰσχυρῷ καὶ δυνατῷ τῷ ἀφαιροῦντι τὰς ψυχὰς τῶν ἐν ἐξουσίᾳ ὄντων.

23. Δυνατοῖς ὑπὲρ τοὺς βασιλέας τῆς γῆς.

---

1. Ἰω. 7, 15. 2. Ματθ. 28, 4. 3. Ῥωμ. 2, 15.

«Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθούμ· ψαλμὸς τῷ Ἀσάφ·»
ΨΑΛΜ. ΟΣʹ·

1. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα,
2. Φωνῇ μου πρὸς τὸν Θεόν, καὶ προσέσχε μοι.
3. Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα,
4. Ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην.
5. Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου·
6. Ἐμνήσθην τοῦ Θεοῦ καὶ εὐφράνθην·
7. Ἠδολέσχησα καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου.
8. Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου·
9. Ἐταράχθην καὶ οὐκ ἐλάλησα.
10. Διελογισάμην ἡμέρας ἀρχαίας·
11. Καὶ ἔτη αἰώνια ἐμνήσθην, καὶ ἐμελέτησα.
12. Νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν καὶ ἔσκαλλε τὸ πνεῦμά μου.
13. Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος;
14. Καὶ οὐ προθήσει τοῦ εὐδοκῆσαι ἔτι;
15. Ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει, συνετέλεσε ῥῆμα ἀπὸ γενεᾶς εἰς γενεάν;
16. Μὴ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ Θεός,
17. Ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ;
18. Καὶ εἶπα· Νῦν ἠρξάμην·
19. Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.
20. Ἐμνήσθην τῶν ἔργων Κυρίου·
21. Ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου.
22. Καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου·
23. Καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεσχήσω.
24. Ὁ Θεός, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου·
25. Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν;
26. Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια.
27. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου.
28. Ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου,
29. Τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ.
30. Εἴδοσάν σε ὕδατα, ὁ Θεός·
31. Εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν.
32. Ἐταράχθησαν ἄβυσσοι, πλῆθος ἠχοῦς ὑδάτων·
33. Φωνὴν ἔδωκαν αἱ νεφέλαι.
34. Καὶ γὰρ τὰ βέλη σου διαπορεύονται·
35. Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ.
36. Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ·
37. Ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ.
38. Ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου·

39. Καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς·
40. Καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται.
41. Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου, ἐν χειρὶ Μωϋσῆ καὶ Ἀαρών.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθούμ· ψαλμὸς τῷ Ἀσάφ.» Τοῦτο οὖν λέγει· Ἐπὶ συντελείᾳ τοῦ αἰῶνος «ὑπὲρ κριτοῦ τοῦ ἐρχομένου·» τοῦτο γὰρ ἑρμηνεύεται τὸ «Ἰδιθούμ.» Εἶτα· «Ψαλμὸς τῷ Ἀσάφ», τουτέστι «ψαλμὸς τῷ συλλέγοντι.» «Ἀσάφ» γὰρ ἑρμηνεύεται «συλλέγων», ὅπερ ἐστὶν ὁ Κύριος, ὁ πάντας συνάγων.

1. Ἐκ πόνου καὶ συνοχῆς τῆς καρδίας μου ἐβόησαν πρὸς σέ, Κύριε ὁ Θεός.
2. Καὶ ἡ φωνή μου ἠκούσθη παρὰ τῷ Θεῷ καὶ προσέσχε τοῦ πληρῶσαι τὴν δέησίν μου.
3. Ἐν τῷ καιρῷ τῆς ἁμαρτίας μου τὸν Θεὸν ἐπεζήτησα.
4. Τῇ καρδίᾳ μου ἐν ἡσυχίᾳ ἐδεήθην αὐτοῦ, καὶ οὐκ ἠπατήθην ὑπὸ τῶν λογισμῶν τῶν ὑπερεχομένων μοι.
5. Ἀπεῖπεν ἑαυτῆς ἡ ψυχή μου διὰ τὰ ὑπεισερχόμενα αὐτῇ.
6. Ὅμως εὐφράνθην μνησθεὶς τοῦ Κυρίου.
7. Ἐνεθυμήθην τὰ κατ' ἐμαυτὸν καὶ εἰς ὀλίγον ἦλθον.
8. Προησφαλισάμην τῇ διανοίᾳ μου [ἐμαυτῷ] ἑαυτῷ.
9. Ἐταρασσόμην ὑπὸ τῶν ἐνθυμήσεών μου καὶ ἡσύχασα.
10. Καὶ διελογιζόμην τὰς προτέρας μου ἡμέρας, ἐν αἷς ἥμαρτον.
11. Καὶ ἐμνήσθην τῆς αἰωνίου ζωῆς καὶ τῆς αἰωνίου κολάσεως.
12. Ἐν ἡσυχίᾳ ὧν συνέβαλλον ταῦτα ἐν τῇ καρδίᾳ μου, καὶ ἐν ἀγῶνι πολλῷ ἐγενόμην λέγων·
13. Ἆρα μὴ τελείως ἀπορρίψει με ὁ Θεός;
14. Καὶ οὐκ ἐπιμενεῖ τοῦ θελῆσαί με;
15. Ἢ τελείως τὸ ἔλεος αὐτοῦ ἀποκόψει ἀπ' ἐμοῦ;
16. Μὴ ἐπὶ ἐμοῦ ἄρα παύσεται ὁ Θεὸς τοῦ μὴ οἰκτειρῆσαι;
17. Ἢ διὰ τὴν ὀργὴν αὐτοῦ τὴν πρὸς ἐμὲ συνέξει πρὸς οἰκτιρμοὺς αὐτοῦ τοῦ μὴ δοῦναι;
18. Καὶ εἶπα· Κύριε, ὡς νῦν ἀρξαμένου μου κολλᾶσθαί σοι, ἔλεός μου γενοῦ.
19. Καὶ τὸ οὕτως μεταβληθῆναί με ἀπὸ τῆς ἁμαρτίας εἰς τὸν φόβον σου τῆς χάριτός σού ἐστιν.
20. Καὶ λοιπὸν ἐν νῷ ἔλαβον τί ἐστι τὸ εὐάρεστον τῷ Κυρίῳ.
21. Ὅτι ἐξ ἀρχῆς μνησθήσομαι τῶν δικαιωμάτων σου.
22. Καὶ ἐπιμενῶ πᾶσιν αὐτοῖς.
23. Καὶ ἐν τοῖς ἔργοις τῆς δικαιοσύνης σου τερφθήσομαι.
24. Ὁ Θεός, ἐν τῷ Υἱῷ σου ἡ πίστις σου.

25. Περὶ οὗ Παῦλος ἔφη· «Τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ[1], τοῦ δόντος ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων.[2]»

26. Σὺ εἶ ὁ Θεὸς ὁ ἰασάμενος ἐν τῇ παρουσίᾳ σου πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου.

27. Ἐφανέρωσας τοῖς ἀνθρώποις τὸν Χριστόν σου.

28. Ἐν αὐτῷ τῷ Υἱῷ σου.

29. Τοὺς τῶν Ἰουδαίων καὶ τῶν ἐθνῶν. «Ἰωσὴφ» γὰρ ἑρμηνεύεται «ὀνείδου» [ὀνείδους] «ἀφαίρεσις», ὅπερ εἰσὶ τὰ ἔθνη.

30. Ἐπέγνωσάν σε οἱ δαίμονες.

31. Ἔλεγον γὰρ οἱ δαίμονες· «Τί σοι» [Ἔα τί ἡμῖν καὶ σοί.[3]] «ὁ ἅγιος τοῦ Θεοῦ;[4]»

32. Ἔκραζον γὰρ αὐτὸ [τοῦτο αὐτό]. «Δεόμεθά σου, μὴ βασανίσῃς ἡμᾶς·[5]» τὸ πλῆθος τοῦ λεγεῶνος τὸ εἰς τὴν ἄβυσσον ἀπελθόν.

33. Οἱ προφῆται προανεφώνησαν περὶ αὐτοῦ.

34. Τὰ λόγιά σου ἠκούσθησαν.

35. Τὸ κήρυγμά σου ἐν τῷ κόσμῳ.

36. Οἱ ἀπόστολοι, λέγει.

37. Μετὰ φόβου ὑπήκουον τὰ ἔθνη.

38-40. Ὅτι περιεπάτησεν ἐπὶ τῆς θαλάσσης σταδίους, Κύριε, ἢ τριάκοντα [Κύριος εἴκοσι πέντε ἢ τριάκοντα][6], ὡς εἶπεν ὁ εὐαγγελιστής, ὅπερ εἰσὶ χίλια τρίτον παρ' ὀλίγων [τρία παρ' ὀλίγον].

41. Ἐν τῇ ἐξουσίᾳ τοῦ Υἱοῦ σου. «Μωϋσῆς» γὰρ καὶ «Ἀαρὼν» εἰς αὐτὸν ἑρμηνεύεται. «Μωϋσῆς» μὲν ἑρμηνεύεται «ἀναίρεσις ὕδατος», ὅπερ εἰς τὸν Κύριον ἀναφέρεται· ἀνελήφθη γὰρ ἐκ τοῦ κόσμου· «Ἀαρὼν» δὲ ἑρμηνεύεται «ὄρος δυνάμεως», ὅπερ καὶ αὐτὸ εἰς τὸν Κύριον εὑρήσεις, καθὼς ὁ Δανιὴλ εἴρηκεν· ὅτι «Ἐτμήθη λίθος ἄνευ χειρὸς[7]» [ἀπεσχίσθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν] «καὶ ἐπλήρωσε τὴν οἰκουμένην·[8]» τουτέστιν, ὁ Κύριος.

«Συνέσεως τῷ Ἀσάφ.» ΨΑΛΜ. ΟΖ'.

1. Προσέχετε, λαός μου, τῷ νόμῳ μου·
2. Κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου.
3. Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου·
4. Φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς.
5. Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτά.
6. Καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν.
7. Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν.
8. Ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ Κυρίου,
9. Καὶ τὰς δυναστείας αὐτοῦ,

---

1. Τίτ. 2, 13. 2. Α' Τιμ. 2, 6. 3. Ματθ. 8. 29. Μάρκ. 1, 24. 4. Λουκ. 4, 34. 5. Πρβλ. Μάρκ. 5, 7. Λουκ. 8, 28. 6. Πρβλ. Ἰω. 6, 19. 7. Δαν. 2, 34. 8. Πρβλ. Δαν. 2, 35.

10. Καὶ τὰ θαυμάσια αὐτοῦ, ἃ ἐποίησε.
11. Καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακώβ·
12. Καὶ νόμον ἔθετο ἐν Ἰσραήλ.
13. Ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡμῶν,
14. Τοῦ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν.
15. Ὅπως ἂν γνῷ γενεὰ ἑτέρα, υἱοὶ τεχθησόμενοι·
16. Καὶ ἀναστήσονται καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν.
17. Ἵνα θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα αὐτῶν·
18. Καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ Θεοῦ·
19. Καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσωσιν.
20. Ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν,
21. Γενεὰ σκολιὰ καὶ παραπικραίνουσα·
22. Γενεά, ἥτις οὐ κατεύθυνε τὴν καρδίαν ἑαυτῆς,
23. Καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς.
24. Υἱοὶ Ἐφραῒμ ἐντείνοντες καὶ βάλλοντες τόξον [τόξοις],
25. Ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου.
26. Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ Θεοῦ.
27. Καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἠβουλήθησαν πορεύεσθαι.
28. Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ,
29. Καὶ τῶν θαυμασίων αὐτοῦ, ὧν ἔδειξεν αὐτοῖς.
30. Ἐναντίον τῶν πατέρων αὐτῶν, ἃ ἐποίησε θαυμάσια.
31. Ἐν γῇ Αἰγύπτῳ ἐν πεδίῳ Τάνεως.
32. Διέρρηξε θάλασσαν καὶ διήγαγεν αὐτούς·
33. Παρέστησεν ὕδατα ὡσεὶ ἀσκόν.
34. Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας·
35. Καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός.
36. Διέρρηξε πέτραν ἐν ἐρήμῳ·
37. Καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ.
38. Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας·
39. Καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα.
40. Καὶ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ·
41. Παρεπίκραναν τὸν Ὕψιστον ἐν ἀνύδρῳ.
42. Καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν ταῖς καρδίαις αὐτῶν,
43. Τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν.
44. Καὶ κατελάλησαν τοῦ Θεοῦ·
45. Κἂν εἶπον· Μὴ δυνήσεται ὁ Θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ;
46. Ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐρρύησαν ὕδατα.
47. Καὶ χείμαρροι κατεκλύσθησαν.
48. Μὴ καὶ ἄρτον δύναται δοῦναι;
49. Ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ;
50. Διὰ τοῦτο ἤκουσε Κύριος, καὶ ἀνεβάλετο·
51. Καὶ πῦρ ἀνήφθη ἐν Ἰακώβ.

52. Καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ.
53. Ὅτι οὐκ ἐπίστευσαν ἐν τῷ Θεῷ.
54. Οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ.
55. Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν·
56. Καὶ θύρας οὐρανοῦ ἀνέῳξε.
57. Καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν·
58. Καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς.
59. Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος·
60. Ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν.
61. Ἀπῆρε νότον ἐξ οὐρανοῦ.
62. Καὶ ἐπήγαγεν ἐν τῇ δυνάμει αὐτοῦ λίβα.
63. Καὶ ἔβρεξεν ἐπ' αὐτοὺς ὡσεὶ χοῦν σάρκας·
64. Καὶ ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά.
65. Καὶ ἐπέπεσον ἐν μέσῳ τῆς παρεμβολῆς αὐτῶν,
66. Κύκλῳ τῶν σκηνωμάτων αὐτῶν.
67. Καὶ ἔφαγον καὶ ἐνεπλήσθησαν σφόδρα·
68. Καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς.
69. Οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν.
70. Ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν.
71. Καὶ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ' αὐτούς.
72. Καὶ ἀπέκτεινεν ἐν τοῖς πλείοσιν αὐτῶν·
73. Καὶ τοὺς ἐκλεκτοὺς τοῦ Ἰσραὴλ συνεπόδισεν.
74. Ἐν πᾶσι τούτοις ἥμαρτον ἔτι·
75. Καὶ οὐκ ἐπίστευσαν ἐν τοῖς θαυμασίοις αὐτοῦ.
76. Καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν·
77. Καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς.
78. Ὅταν ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν·
79. Καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν Θεόν.
80. Καὶ ἐμνήσθησαν, ὅτι ὁ Θεὸς βοηθὸς αὐτῶν ἐστι·
81. Καὶ ὁ Θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστι.
82. Καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν·
83. Καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ.
84. Ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ·
83. Οὐδὲ ἐπιστώθησαν ἐν τῇ Διαθήκῃ αὐτοῦ.
86. Αὐτὸς δέ ἐστιν οἰκτίρμων.
87. Καὶ ἱλάσεται ταῖς ἁμαρτίαις αὐτῶν·
88. Καὶ οὐ διαφθερεῖ.
89. Καὶ πληθυνεῖ, τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ·
90. Καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ.
91. Καὶ ἐμνήσθη, ὅτι σάρξ εἰσι,
92. Πνεῦμα πορευόμενον, καὶ οὐκ ἐπιστρέφον.
93. Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ;
94. Παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ;

95. Καὶ ἐπέστρεψαν, καὶ ἐπείρασαν τὸν Θεόν·
96. Καὶ τὸν Ἅγιον τοῦ Ἰσραὴλ παρώξυναν.
97. Καὶ οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ.
98. Ἡμέρας, ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος.
99. Ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ.
100. Καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως.
101. Καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν,
102. Καὶ τὰ ὀμβρήματα αὐτῶν, ὅπως μὴ πίωσιν.
103. Ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν καὶ κατέφαγεν αὐτούς.
104. Καὶ βάτραχον καὶ διέφθειρεν αὐτούς.
105. Καὶ ἔδωκε τῇ ἐρυσίβῃ τοὺς καρποὺς αὐτῶν.
106. Καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι.
107. Ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν·
108. Καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ.
109. Καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτήνη αὐτῶν·
101. Καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί.
111. Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ,
112. Θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν,
113. Ἀποστολὴν δι' ἀγγέλων πονηρῶν·
114. Ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ·
115. Καὶ οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν.
116. Καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισε.
117. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ.
118. Ἀπαρχὴν παντὸς πόνου αὐτῶν, ἐν τοῖς σκηνώμασι Χάμ.
119. Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ.
120. Καὶ ἀνήγαγεν αὐτοὺς ὡσεὶ ποίμνιον ἐν ἐρήμῳ.
121. Καὶ ὡδήγησεν αὐτοὺς ἐπ' ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν.
122. Καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψε θάλασσα.
123. Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὅρος ἁγιάσματος αὐτοῦ.
124. Ὄρος τοῦτο, ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ.
125. Καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη·
126. Καὶ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας.
127. Καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ Ἰσραήλ.
128. Καὶ ἐπείρασαν καὶ παρεπίκραναν τὸν Θεὸν τὸν ὕψιστον.
129. Καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλάξαντο.
130. Καὶ ἀπέστρεψαν καὶ ἠθέτησαν, καθὼς καὶ οἱ πατέρες αὐτῶν·
131. Μετεστράφησαν εἰς τόξον στρεβλόν.
132. Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν·
133. Καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν.
134. Ἤκουσεν ὁ Θεὸς καὶ ὑπερεῖδε.
135. Καὶ ἐξουδένωσε σφόδρα τὸν Ἰσραήλ.
136. Καὶ ἀπώσατο τὴν σκηνὴν Σιλώμ,

137. Σκήνωμα, ὃ κατεσκήνωσεν ἐν ἀνθρώποις.
138. Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν.
139. Καὶ τὴν καλλονὴν εἰς χεῖρας ἐχθρῶν.
140. Καὶ συνέκλεισεν ἐν ῥομφαίᾳ τὸν λαὸν αὐτοῦ.
141. Καὶ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδε.
142. Τοὺς νεανίσκους αὐτῶν κατέφαγε πῦρ·
143. Καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπενθήθησαν.
144. Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσον,
145. Καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυσθήσονται.
146. Καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος,
147. Ὡς δυνατὸς καὶ κεκραιπαληκὼς ἐξ οἴνου.
148. Καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω.
149. Ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς.
150. Καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσήφ·
151. Καὶ τὴν φυλὴν Ἐφραὶμ οὐκ ἐξελέξατο.
152. Καὶ ἐξελέξατο τὴν φυλὴν Ἰούδα.
153. Τὸ ὄρος τὸ Σιών, ὃ ἠγάπησε.
154. Καὶ ᾠκοδόμησεν ὡς μονοκέρωτος τὸ ἁγίασμα αὐτοῦ,
155. Ἐν τῇ γῇ ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.
156. Καὶ ἐξελέξατο Δαυὶδ τὸν δοῦλον αὐτοῦ,
157. Καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων.
158. Ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτόν,
159. Ποιμαίνειν Ἰακὼβ τὸν δοῦλον αὐτοῦ,
160. Καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ.
161. Καὶ ἐποίμανεν αὐτοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ·
162. Καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Συνέσεως τῷ Ἀσάφ», τουτέστι «τῷ λαῷ» τῷ εἰς σύνεσιν ὄντι. «Ἀσάφ» γὰρ ἑρμηνεύεται «συναγωγή.»

1. Ἐνατενίσατε τῷ νόμῳ μου τοῖς ὀφθαλμοῖς τῆς διανοίας ὑμῶν.
2. Ὑπακούσατε τοῖς ῥήμασι τοῦ στόματός μου.
3. Ἐν Εὐαγγελίοις.
4. Φθέγξομαι ἐν ἀρχῇ τοῦ Εὐαγγελίου παραβολάς.
5. Ὅσα ἠκούσαμεν παρὰ τῶν προφητῶν περὶ σοῦ καὶ αὐταῖς ὄψεσιν εἴδομεν αὐτά.
6. Οἱ προφῆται.
7. Κατὰ γενεὰν αὐτὰ διηγούμενοι.
8. Ἐπὶ τῶν Ἰουδαίων.
9. Ἐπί τε τοῦ Φαραώ.
10. Καὶ τῶν λοιπῶν ἐχθρῶν τοῦ Ἰσραήλ.

11. Τὸν σταυρὸν αὐτοῦ.

12. Τὸν Υἱὸν ὁ Πατὴρ ἐν τοῖς ὁρῶσιν αὐτὸν Θεὸν τῇ πίστει· τοῦτο γὰρ ἑρμηνεύεται «Ἰσραήλ».

13. Τοῖς προφήταις προεμαρτύρησε τὰ εἰς Χριστὸν παθήματα.

14. Τοῖς μέλλουσι καταντᾶν εἰς τὰ τέλη τῶν αἰώνων, τουτέστιν ἡμῖν.

15, 16. Κηρύξουσιν αὐτά.

17. Τὴν πίστιν αὐτῶν.

17. Τῶν παθημάτων αὐτοῦ.

19. Τὰς ἐν Εὐαγγελίοις.

20. Οἱ ἐν τῇ ἐρήμῳ.

21. Ὁ αὐτὸς λαὸς τῶν Ἰουδαίων.

22. Ἐν τῇ παρουσίᾳ αὐτοῦ οὐκ ἐπίστευσαν αὐτόν.

23. Οὐκ ἐνεπίστευσαν τῷ Θεῷ, περὶ ὧν αὐτοῖς ἐπηγγείλατο.

24. Υἱοὶ ηὐξημένοι ἀντεπολέμουν τῷ Κυρίῳ. «Ἐφραΐμ» γὰρ «ηὐξημένος» ἑρμηνεύεται, ὅπερ ἦν ὁ λαὸς τῶν Ἰουδαίων.

25. Καὶ ἐν τῷ καιρῷ τοῦ πολέμου, οὗ ἐποιεῖτο ὁ Κύριος δι' αὐτούς, καὶ ἡμᾶς πρὸς τὸν διάβολον, ἀπεστράφησαν τὸν Κύριον τῇ ἀπιστίᾳ.

26. Καὶ τοῖς εἰρημένοις περὶ τοῦ Κυρίου διὰ τῶν προφητῶν.

27. Καὶ τὰ τοῦ νόμου οὐκ ἠθέλησαν ποιῆσαι.

28, 29. Ἐπελάθοντο πῶς διῆλθεν εὐεργετῶν αὐτοὺς πάντας, καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου.

30. Ἔμπροσθεν τῶν ἀρχόντων τῶν Ἰουδαίων, ἃ ἐποίησε θαυμάσια.

31. Ἐν τῇ γῇ ἐσκοτισμένῃ ἐν τῷ ἔθνει τῷ μηδὲν τέλειον ποιοῦντι. «Τάνις» γὰρ ἑρμηνεύεται «ἐντελλόμενος ταπεινά», τουτέστιν οἱ Ἰουδαῖοι.

32. Διήνοιξε τὰς καρδίας αὐτῶν, τοῦ παύσασθαι τῆς προτέρας αὐτῶν ἀναστροφῆς.

33. Καὶ προσεκαλέσατο τὰ ἔθνη νενεκρωμένα ὑπὸ τῆς ἁμαρτίας.

34. Ἐν τῷ φωτὶ αὐτοῦ.

35. Καὶ ὅλην τὴν σκοτεινὴν τὴν προτέραν αὐτῶν ἀναστροφὴν μεταβαλών, ἐν τῷ φωτισμῷ τῆς χάριτος αὐτοῦ ὡδήγησεν αὐτούς.

36. Τὴν πλευρὰν αὐτοῦ ἐν τῷ κόσμῳ διήνοιξε.

37. Διὰ τοῦ αἵματος αὐτοῦ ἐπότισε τὰ δικαιώματα αὐτοῦ.

38. Ἐκ τῆς πλευρᾶς αὐτοῦ.

39. Καὶ ἐν αὐτῷ τῷ ὕδατι τῷ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἐφώτισε τὰ ἔθνη.

40. Οἱ ἀπειθοῦντες Ἰουδαῖοι.

41. Ἐλύπησαν τὸ Πνεῦμα τὸ ἅγιον ἐν τῇ ἀκαρπίᾳ τῆς ψυχῆς αὐτῶν.

42. Τὸν Υἱὸν τοῦ Θεοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ.

43. Ἐν τῷ ἐπιθυμεῖν αὐτοὺς τὰς σαρκικὰς ἐπιθυμίας.

44. Ὅτε ἤρχοντο ἐξ Αἰγύπτου.

45. Ἀδύνατος τοῦ ποιῆσαι τοῦτο ἔλεγον.

46, 47. Νόμισον ἐκ τῆς πέτρας ἐδυνήθη ἐξαγαγεῖν ὕδωρ, διέξοδον, πλῆθος ὑδάτων·

48. Μὴ δὲ ἄρτον ἔχει, πόθεν Θεὸς δοῦναι ἐν τῇ ἐρήμῳ;

49. Ἄρτους καὶ κρέα;

50. Διὰ τοῦτο ἀκούσας αὐτῶν τότε ὁ Κύριος, μετὰ ταῦτα ἐχόρτασεν αὐτοὺς ἐν παρουσίᾳ αὐτοῦ ἐν τῇ ἐρήμῳ, ὅτε τοὺς δώδεκα κοφίνους [«ἦραν τὸ περισσεῦον τῶν κλασμάτων [1], δώδεκα κοφίνους πλήρεις] [2]», καὶ τὰς ἑπτὰ σπυρίδας [3], ἵνα δείξῃ αὐτοῖς, ὅτι δύναται ἑτοιμάσαι τράπεζαν ἐν τῇ ἐρήμῳ.

51. Καὶ θυμωθείς, εἰς ἀφανισμὸν ἔδωκεν αὐτούς.

52. Καὶ κατέφαγον πλῆθος ἐξ αὐτῶν.

53, 54. Ὅτι οὔτε τὸ πρότερον οὔτε ἐν τῇ παρουσίᾳ αὐτοῦ ἐπίστευσαν τῷ Υἱῷ τοῦ Θεοῦ.

55. Τοῖς μετὰ ταῦτα προφήταις τοῖς [οἷς] περιέλαβον, μηκέτι αὐτοῖς λαληθῆναι τὸν λόγον τῆς ζωῆς.

56. Τοὺς ἀποστόλους, δι' ὧν ἀνέῳξεν, εἰσέρχονται εἰς οὐρανοὺς οἱ πιστοί.

57. Τὸν Υἱὸν αὐτοῦ ἐξαπέστειλεν αὐτοῖς.

58. Τὸν αὐτὸν Κύριον Ἰησοῦν τοῖς πιστεύουσιν αὐτῷ.

59. Τὸν ζωοποιοῦντα τοὺς ἀνθρώπους ἔφαγεν ἕκαστος τῶν πιστευόντων αὐτῷ, ὅτι ἔστι Θεός.

60. Ζωὴν ἀτελεύτητον.

61. Μετέστησε τὸν λαὸν τῶν Ἰουδαίων ἐκ τῶν ἐπαγγελιῶν αὐτοῦ.

62. Καὶ ἤγαγεν αὐτοῖς ἐκ τῆς Δύσεως Οὐεσπασιανόν.

63, 64. Τὸ πλῆθος τοῦ στρατευομένου.

65. Τὰ μέλη αὐτῶν κατῆλθον εἰς τὴν παρεμβολὴν τῶν Ἰουδαίων.

66. Ἐκύκλωσαν αὐτούς.

67. Τὰς πληγὰς τὰς ἐναχθείσας [ὑπ'] αὐτοῦ.

68. Καὶ τὸν λόγον, ὃν ἔλεγον σταυροῦντες τὸν Κύριον, ὅτι «Ἡμεῖς τοῦ Καίσαρός ἐσμεν [4]», ἤνεγκεν αὐτοῖς.

69. Ὃ ἐπεζήτησαν καὶ ἔλαχον.

70. Ἀφ' οὗ ἔλεγον τοῦτο ἐν τῷ στόματι αὐτῶν.

71. Ἦν αὐτὴ ἡ ὀργὴ ἐπ' αὐτοὺς περὶ Θεοῦ.

72. Καὶ τὸ πλῆθος αὐτῶν ἀπέκτεινε.

73. Καὶ τοὺς λοιποὺς αὐτῶν τοὺς νομιζομένους θεοσεβεῖς εἶναι εἰς δουλείαν ἔδωκεν.

---

1. Ματθ. 15, 37. 2. Πρβλ. Μάρκ. 6, 43. 3. Ματθ. 15, 37. Μάρκ. 8,8.
4. Πρβλ. Ἰω. 19, 15.

74. Καὶ πάλιν ἐπέμενον τῇ ἁμαρτίᾳ.

75. Καὶ οὐκ ἐπίστευσαν τοῖς γεγεννημένοις αὐτοῖς ὑπὸ τοῦ Θεοῦ.

76. Καὶ ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν ἀπώλοντο.

77. Καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς ἐξέλιπεν.

78. Ὅταν ἀπέκτεινεν αὐτοὺς δῆθεν ἐξεζήτουν αὐτόν.

79. Και ἤρχοντο καὶ ἐξωμολογοῦντο αὐτόν.

80, 81. Καὶ ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτῶν ὅσα ἐποίησε τοῖς δυσὶ βασιλεῦσι τῶν Ἀμορραίων καὶ τῶν Ἀμαλὴκ ἐν τῇ ὁδῷ.

82. Καὶ συνετίθεντο τοῖς προστάγμασιν αὐτοῦ τῷ στόματι αὐτῶν.

83. Ἠρνήσαντο αὐτόν.

84. Ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπεῖχεν ἀπ' αὐτῶν.

85. Οὐδὲ ἠνείχοντο ἐπιθέσθαι τῆς Διαθήκης αὐτοῦ.

86. Αὐτὸς δὲ μακρόθυμός ἐστιν.

87. Καὶ ἱλατεύει ταῖς ἁμαρτίαις αὐτῶν.

88. Καὶ οὐκ ἀπόλλει [ἀπολλύει] αὐτοὺς ἐκδεχόμενος τὴν μετάνοιαν αὐτῶν.

89. Καὶ ἐπὶ πολὺ ἐπιμενεῖ τῇ ἀγαθότητι αὐτοῦ.

90. Καὶ οὐκ ὀργίζει τελείως.

91. Μνημονεύει γάρ, ὅτι πλῆθός εἰσι.

92. Ὅτι ἐὰν ἀναχωρήσῃ αὐτῶν ἡ ψυχή, οὐκ ἔτι δύνανται μετανοῆσαι.

93. 94. Παρώξυναν ἐν τῇ καρδίᾳ αὐτῶν.

95. 96. Καὶ ἐποίουν ἑαυτοὺς τοὺς μετανοοῦντας.

97. Οὐκ ἐμέμνηντο τῆς ἰσχύος αὐτοῦ.

98. Ὅτι αὐτός ἐστιν ὁ λυτρούμενος αὐτοὺς ἐκ χειρὸς Φαραώ.

99. Ὅσα ἐποίησεν ἐν Αἰγύπτῳ.

100. Καὶ τὰ θαύματα αὐτοῦ ἐν ταῖς κολάσεσι.

101. «Καὶ καθὼς οὐκ ἠθέλησαν τὸν [Θεὸν] ἔχειν ἐν ἐπιγνώσει [1], εἴασεν αὐτοὺς τῇ ἁμαρτίᾳ αὐτῶν.»

102. Καὶ τὰς καρδίας αὐτῶν οὐκ ἠξίωσε τῆς χάριτος αὐτοῦ.

103. Τὰ ἔθνη τὰ αἰχμαλωτίσαντα αὐτούς.

104. Καὶ τὰς ἐναντίας δυνάμεις.

105. Καὶ τῇ ἐπιθυμίᾳ παρέδωκε τὰς καρδίας αὐτῶν.

106. Καὶ τὰ τέκνα αὐτῶν εἰς αἰχμαλωσίαν τοῖς ἔθνεσιν.

107. Ἐν ὀργῇ κατέβαλε τὸ ἔθνος αὐτῶν.

108. Καὶ τὴν σκληροκαρδίαν αὐτῶν τῇ ἁμαρτίᾳ.

109. Καὶ παρέδωκεν εἰς ἐξολόθρευσιν τοὺς ἀσβέστους [ἀσεβεῖς] αὐτῶν.

110. Καὶ τὸ πλῆθος αὐτῶν τῷ διαβόλῳ.

111. Εἴασεν αὐτοὺς κυριεύεσθαι ὑπὸ τῶν ἐναντίων δυνάμεων.

---

[1] Ῥωμ. 1, 28.

112. Τὰς ἐπιθυμίας τοῦ κόσμου.
113. Διὰ τῶν ἀκαθάρτων πνευμάτων.
114. Συνεχώρησεν αὐτοὺς καταδυναστεύεσθαι.
115. 'Επειδὴ οὐκ ἠθέλησαν.
116. Καὶ ἤλεγξε τὴν ἀσύνετον αὐτῶν καρδίαν οὖσαν ἐν τῇ ἁμαρτίᾳ.
117. Καὶ μετὰ ταῦτα συνέτριψε τὰς τοῦ διαβόλου παγίδας.
118. 'Απὸ τοῦ ἀρχηγοῦ αὐτῶν τοῦ διαβόλου καὶ πάσης αὐτοῦ τῆς δυνάμεως. «Χὰμ» γὰρ «τολμηρὸς» ἑρμηνεύεται.
119. Καὶ ἐρρύσατο ὡς ἀπ' ἐλέους τοὺς πιστεύοντας αὐτῷ.
120. Καὶ ἀνήγαγεν αὐτοὺς ἀπὸ τῆς φθορᾶς τῆς ἁμαρτίας τοῦ βαπτίσματος.
121. Καὶ ὡδήγησαν αὐτοὺς ἐν πίστει, καὶ οὐκ ἐφοβήθησαν τὴν ἁμαρτίαν.
122. Τὰς ἐναντίας δυνάμεις ἐθανάτωσε τὸ βάπτισμα.
123. Εἰς τὴν 'Εκκλησίαν.
124. 'Η 'Εκκλησία ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ.
125. Τοὺς δαίμονας ἐκ τῶν καρδιῶν αὐτῶν.
126. 'Εμέρισεν αὐτοῖς τὰ χαρίσματα τῆς χάριτος αὐτοῦ.
127. Καὶ ἡγεῖσθαι ἐποίησεν αὐτῶν τοὺς ἀποστόλους.
128. Οἱ μὴ πιστεύσαντες αὐτῷ 'Ιουδαῖοι.
129. Τὰς μαρτυρίας τὰς εἰρημένας περὶ αὐτοῦ διὰ τῶν προφητῶν.
130. Καὶ ἠρνήσαντο αὐτόν, καθὼς οἱ πατέρες αὐτῶν.
131. Εἰς διδασκαλίαν οὐκ ὀρθήν.
132, 133. 'Εν ταῖς καρδίαις αὐτῶν.
134. Κατέλιπεν αὐτούς.
155. 'Απεδοκίμασεν αὐτούς.
136. Καὶ ἀπώσατο τὸ ἔθνος τῶν 'Ιουδαίων, ὅθεν αὐτὸς κατηξίωσε γενέσθαι ἄνθρωπος. «Σιλὼμ » γὰρ ἑρμηνεύεται «οὐκ ἔστιν αὐτῶν.»
137. «Καὶ ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη.[1]»
138. Καὶ τοῖς ἔθνεσι παρέδωκε τὰς Γραφὰς τῶν προφητῶν.
139. Καὶ τὰς ἐντολάς, ἃς εἶχον αὐτοί, ἔδωκεν εἰς τὰς καρδίας τῶν ἐθνῶν.
140. Καὶ ἤλεγξε τοὺς 'Ιουδαίους πάντας ὄντας ὑπὸ ἁμαρτίας.
141. Τὸν λαὸν τῶν 'Ιουδαίων τὸν ἀπειθοῦντα.
142. 'Η ἁμαρτία.
143. Αἱ ψυχαὶ αὐτῶν οὐ μετεμελήθησαν.
144. Οἱ διδάσκαλοι αὐτῶν τῇ ἁμαρτίᾳ συναπέθανον.
145. Αἱ καρδίαι αὐτῶν αἱ ἀβοήθητοι οὐ μετενόησαν.
146. Καὶ ἐξανέστη ἐκ τῶν νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ.
147. 'Ως ἰσχυρὸς καὶ ἡματωμένος ἐκ τοῦ πάθους.

---

1. Βαρ. 3, 38.

148. Καὶ συνέτριψε τὸ κράτος τῶν ἀκαθάρτων πνευμάτων.

149. Ἀσθενεῖς αὐτοὺς ἐποίησεν ἀδιαλείπτως.

150, 151. Καὶ ἀπώσατο τοὺς μὴ μετανοοῦντας, ἀλλὰ προστιθοῦντας ἁμαρτίας ἐφ' ἁμαρτίαις. «Ἰωσὴφ» γὰρ ἑρμηνεύεται «προστιθῶν τῇ ἁμαρτίᾳ.» «Ἐφραῒμ» γὰρ ἑρμηνεύεται «καρποφόρος.»

152. Τοὺς ἐξομολογουμένους αὐτῷ. «Ἰούδας» γὰρ ἑρμηνεύεται «ἐξομολογούμενος.»

153. Τὴν Ἐκκλησίαν τῶν πιστῶν εἰς τὴν ἐντολὴν αὐτοῦ. «Σιὼν» γὰρ ἑρμηνεύεται «ἐντολή.»

154. Τὸ πλῆθος τῶν ἁγίων ἔχειν [ἔχον] κατὰ τοῦ μετώπου τὸν σταυρόν, ὥσπερ ὁ μονόκερως τὸ κέρας αὐτοῦ.

155. Τὴν Ἐκκλησίαν.

156. Τὸν χορὸν τῶν ἀποστόλων, τὸν πεποθημένον. «Δαυὶδ» γὰρ ἑρμηνεύεται «πεποθημένος».

157. Ἐκ τῶν φυλῶν τῶν Ἰουδαίων ἐξελέξατο αὐτὸν τὸν χορόν.

158. Μετὰ τοὺς προφήτας ἔλαβε τὸν χορὸν τῶν ἀποστόλων.

159. Ποιμαίνειν τὸν λαὸν τὸν ἄπλαστον, τουτέστι τὸν ἄκακον.

160. Καὶ τοὺς ὁρῶντας Θεὸν τῇ διανοίᾳ αὐτῶν· τοῦτο γὰρ ἑρμηνεύεται «Ἰσραήλ.»

161. Καὶ ἐποίμανεν αὐτοὺς ἐν τῷ χορῷ τῶν ἀποστόλων.

162. Καὶ ἐν ταῖς διδασκαλίαις τῶν ἀποστόλων ἐφώτισεν αὐτούς.

«Ψαλμὸς τῷ Ἀσάφ.» ΨΑΛΜ. ΟΗ'.

1. Ὁ Θεός, ἦλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου.

2. Ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου.

3. Ἔθεντο Ἱερουσαλὴμ ὡς [εἰς] ὀπωροφυλάκιον·

4. Ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ·

5. Τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς.

6. Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ κύκλῳ Ἱερουσαλήμ.

7. Καὶ οὐκ ἦν ὁ θάπτων.

8. Ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν.

9. Μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν.

10. Ἕως πότε, Κύριε, ὀργισθήσῃ εἰς τέλος;

11. Ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου;

12. Ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη, τὰ μὴ γινώσκοντά σε.

13. Καὶ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο.

14. Ὅτι κατέφαγον τὸν Ἰακώβ, καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν.

15. Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων·

16. Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε·

17. Ὅτι ἐπτωχεύσαμεν σφόδρα.

18. Βοήθησον ἡμῖν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν·

19. Ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου, Κύριε, ῥῦσαι ἡμᾶς·
20. Καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.
21. Μήποτε εἴπωσι τὰ ἔθνη· Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;
22. Καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν,
23. Ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου.
24. Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων.
25. Κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου,
26. Περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.
27. Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν,
28. Τὸν ὀνειδισμὸν αὐτῶν, ὃν ὠνείδισάν σε, Κύριε.
29. Ἡμεῖς δὲ λαός σου καὶ πρόβατα νομῆς σου.
30. Ἀνθομολογησόμεθά σοι, ὁ Θεός, εἰς τὸν αἰῶνα·
31. Εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Ἀσάφ», ὅπερ ἑρμηνεύεται ψαλμὸς τῷ συλλέγοντι, τουτέστι «τῷ Υἱῷ τοῦ Θεοῦ.»

1. Αἱ ἐναντίαι δυνάμεις εἰς τοὺς δούλους σου.
2. Τὰς ψυχὰς καὶ τὰ σώματα τῶν δούλων σου.
3. Τὴν καρδίαν ἡμῶν τὴν ὁρῶσαν ἔθεντο εἰς ἐρήμωσιν.
4. Ἔθεντο εἰς ἀνάλωσιν αἱ ἐναντίαι δυνάμεις τοὺς Ἰουδαίους τοὺς νεκρωθέντας διὰ τῆς ἁμαρτίας.
5. Τοὺς υἱοὺς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τοὺς αὐτοὺς Ἰουδαίους τοῖς ἀκαθάρτοις πνεύμασιν.
6. Τὰς ψυχὰς αὐτῶν εἰς ἀπώλειαν.
7. Ἐν ὅλῳ τῷ κόσμῳ οὐκ ἔστιν ὁ θανατῶν τὴν ἁμαρτίαν.
8. Ταῖς ἐναντίαις δυνάμεσι.
9. Τοῖς αὐτοῖς ὁμοίως.
10. Διὰ τί τελείως ὀργισθῇς;
11. Κατὰ τῶν δαιμόνων.
12. Ἐπὶ τὰς αὐτὰς τοῦ ἐχθροῦ στρατιάς.
13. Αἱ τοῦ διαβόλου δυνάμεις.
14. Τὸν λαὸν τῶν Ἰουδαίων καὶ τὰς καρδίας αὐτῶν.
15. Τῶν ἐπὶ τοσούτων χρόνων συναχθεισῶν.
16. Πρὸ τοῦ πληρῶσαι ἡμᾶς τὸν βίον ἡμῶν.
17, 18. Ὅτι γυμνοὶ γεγόναμεν πάντη ἀπὸ τῆς σῆς βοηθείας, νῦν δώρησαι ἡμῖν ταύτην, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν.
19. Ὅτι φιλάνθρωπος ὑπάρχεις.
20. Ὁ ἐλεήμων καὶ οἰκτίρμων ὀνομάζει.
21. Τὰ πνεύματα τὰ ἀκάθαρτα.

22. Καὶ ἐπιγνῶσιν αἱ αὐταὶ δυνάμεις τοῦ ἐχθροῦ, ὅτι ὁρώντων ἡμῶν ποιεῖς τὴν ἐκδίκησιν.
23. Ὑπὲρ τῶν ἀπολομένων ψυχῶν τῶν δούλων σου.
24. Καταξιωθῇ εἰσελθεῖν πρὸς σὲ ἡ ἐξομολόγησις τῶν δεδεμένων ὑπὸ τῆς ἁμαρτίας.
25. Κατὰ τὴν ἰσχὺν τοῦ Υἱοῦ σου.
26. Περιποίησαι διὰ τοῦ αἵματος αὐτοῦ εἰς σωτηρίαν τοὺς ὄντας υἱοὺς τῶν παραπτωμάτων.
27. Ἀδιαλείπτως τὴν κόλασιν εὐτρέπισον ταῖς τοῦ διαβόλου δυνάμεσιν.
28. Ὅτι κατεκαυχῶντο ὡς ἀνίκητοι ὄντες.
29. Ἡμεῖς δὲ κλῆρός σου καὶ πρόβατά σου τοῦ ἀληθινοῦ ποιμένος, καὶ τῶν σῶν αὐλῶν.
30. Ἀλλήλοις διηγησόμεθα, καὶ κατὰ πᾶσαν γενεάν.
31. Τὴν δόξαν τῆς φιλανθρωπίας σου.

«Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων, μαρτύριον τῷ Ἀσάφ, ψαλμὸς ὑπὲρ τοῦ Ἀσσυρίου.» ΨΑΛΜ. ΟΘ΄.

1. Ὁ ποιμαίνων τὸν Ἰσραήλ, πρόσχες·
2. Ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ.
3. Ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, ἐμφάνηθι.
4. Ἐναντίον Ἐφραΐμ καὶ Βενιαμὶν καὶ Μανασσῆ.
5. Ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.
6. Ὁ Θεός, ἐπίστρεψον ἡμᾶς,
7. Καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.
8. Κύριε ὁ Θεὸς τῶν δυνάμεων.
9. Ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τῶν δούλων σου;
10. Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων·
11. Καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ.
12. Ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν·
13. Καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς.
14. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς·
15. Καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

«Διάψαλμα.»

16. Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας.
17. Ἐξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν.
18. Ὡδοποίησας ἔμπροσθεν αὐτῆς.
19. Καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς καὶ ἐπλήρωσε τὴν γῆν.
20. Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς·
21. Καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ Θεοῦ.
22. Ἐξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης,

23. Καὶ ἕως ποταμῶν τὰς παραφυάδας αὐτῆς.
24. Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς·
25. Καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν;
26. Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ·
27. Καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν.
28. Ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον δή·
29. Καὶ ἐπίβλεψον ἐξ οὐρανοῦ, καὶ ἴδε,
30. Καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην.
31. Καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου.
32. Καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ.
33. Ἐμπεπυρισμένη πυρί, καὶ ἀνεσκαμμένη·
34. Ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται.
35. Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δεξιᾶς σου,
36. Καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ.
37. Καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ·
38. Ζωώσεις ἡμᾶς καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα.
39. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς
40. Καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων, μαρτύριον τῷ Ἀσάφ, ψαλμὸς ὑπὲρ τοῦ Ἀσσυρίου·» τουτέστιν, ὑπὲρ τῷ τέλει ἀλλοιουμένων ἀπὸ τῆς πονηρᾶς ἀναστροφῆς ἐπὶ τὴν ὀρθὴν καὶ ἄμεμπτον πολιτείαν. Εἶτα «μαρτύριον τῷ Ἀσάφ», ὅπερ ἐστὶν ἑρμηνευόμενον καὶ δηλούμενον «μαρτύριον τῷ συλλέγοντι», τουτέστι «τοῦ Υἱοῦ [τῷ Υἱῷ] τοῦ Θεοῦ.» Εἶτα «ψαλμὸς τοῦ Ἀσσυρίου», ὅπερ καὶ τοῦτο ἑρμηνεύεται ὑπὲρ τοῦ «κατευθύνοντος», ὡσανεὶ τοῦ κατευθύνοντος τὴν καρδίαν σου.

1. Ὁ ποιμαίνων τοὺς ὁρῶντάς σε τὸν Κύριον, καὶ Θεὸν τῇ διανοίᾳ· τοῦτο γὰρ ἑρμηνεύεται «Ἰσραήλ».

2. Τὸν ἐπιστρέφοντα, καὶ ῥυσθέντα τῶν ἁμαρτιῶν αὐτοῦ. «Ἰωσὴφ» γὰρ ἑρμηνεύεται «ὀνείδου ἀφαίρεσις.»

3. Ὁ Θεὸς Λόγος ὡράσθητι [ὁράθητι].

4. Ἐνώπιον τῶν καρποφορούντων καὶ τῶν υἱῶν τῆς δεξιᾶς σου καὶ τῶν ἐπιλανθανόντων προτέρων πονηρῶν πράξεων. «Ἐφραΐμ» ἑρμηνεύεται «καρποφορῶν.» «Βενιαμὶν» ἑρμηνεύεται «ἐπιλησμονή.»

5. Θείᾳ ἀγάπῃ κινούμενος διὰ τὸ γένος τῶν ἀνθρώπων ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.

6. Ἐκ τῆς ἁμαρτίας.

7. Καὶ φανέρωσον τὸν Υἱόν σου ἐπὶ τῆς γῆς καὶ σωθησόμεθα.

8, 9. Οἱ προφῆται λέγουσιν.

10. Ἐν θλίψει ἐστὶν ἡμῖν ἡ ζωή.

11. Ἐν ὀδύνῃ ἀδιαλείπτως.

12. Ἀντιλέγουσι γὰρ πάντες οἱ ἄνθρωποι τῷ κηρύγματι ἡμῶν.

13. Καταγέλωτα ἔχουσιν ἡμᾶς.

14. Ἐκ τῆς ἁμαρτίας.

15. Ὁράθητι ἐπὶ τῆς γῆς καὶ σωθησόμεθα.

16. Τὸν λαὸν τῶν Ἰουδαίων τῆς ἁμαρτίας παύσασθαι παρῄνεις διὰ τοῦ νόμου.

17. Τὰς τῶν ἐθνῶν διδασκαλίας παύσασθαι αὐτοὺς πεποίηκας, καὶ ἐν τῷ νόμῳ σου κατεφύτευσας.

18. Τὰς ἐντολάς σου προσέθηκεν αὐτῇ.

19. Τοὺς λόγους τῶν προφητῶν.

20. Ἐθανάτωσε τὰς ἐναντίας δυνάμεις ἡ βοήθεια αὐτῆς, τουτέστιν ὁ Θεὸς αὐτῆς.

21. Καὶ αἱ τοῦ Θεοῦ διδασκαλίαι ἐφύλαξαν τοὺς ἁγίους τοῦ Θεοῦ.

22. Τοὺς ἀποστόλους ἀπέστειλεν εἰς τὸν κόσμον.

23. Καὶ ἕως ποταμῶν τὰς διδασκαλίας τῶν ἀποστόλων.

24. Ἵνα τί ἀφείλου τὴν βοήθειαν τῆς συναγωγῆς.

25. Καὶ κατακυριεύουσιν αὐτῆς αἱ ἐναντίαι δυνάμεις;

26. Ὁ θάνατος διὰ τῆς ἁμαρτίας.

27. Καὶ ὁ διάβολος κατηνάλωσεν αὐτήν.

28. Ὁ Θεὸς τῶν δυνάμεων, ἐλθὲ πρὸς ἡμᾶς.

29. Καὶ εὐσπλαγχνίσθητι ἐξ οὐρανοῦ καὶ πρόσχες.

30. Καὶ ἐπίσκεψαι τὴν Συναγωγὴν τῶν Ἰουδαίων.

31. Καὶ κατάρτισαι αὐτὴν τὴν Συναγωγὴν ἐν πίστει, ἣν ἐφύτευσεν ὁ Υἱός σου καὶ ἡ χείρ σου.

32. Καὶ ἐπὶ Υἱὸν ἀνθρώπου πιστεύειν, ὃν διεβεβαιώσω εἶναί σου Υἱὸν ἀΐδιον.

33. Ὑπὸ τῆς ἁμαρτίας ἐφθάρη καὶ ἠφανίσθη.

34. Ἀπὸ τῆς παρουσίας τοῦ Υἱοῦ σου συντριβήσονται αἱ ἐναντίαι δυνάμεις.

35. Γενηθήτω ἡμῖν βοήθειά σου διὰ ἀνδρός, τίς [ὅστις] ὑπάρχει ἡ δεξιά σου.

36. Καὶ ἐπὶ Υἱὸν ἄνθρωπον, ὃν δι' αὐτοῦ ἐμαρτύρουν [δι' ἑαυτοῦ ἐμαρτύρεις] εἶναί σου Υἱὸν ἄναρχον.

37. Καὶ ἐὰν ἐν αὐτῷ βοηθήσῃς ἡμῖν, οὐκ ἔτι ἀποστῶμεν ἀπὸ σοῦ.

38. Καὶ διὰ τοῦ ζωώσεις ἡμᾶς καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα.

39. Ἀνακάλεσαι ἡμᾶς καὶ φανέρωσον τὸν Υἱόν σου, καὶ σωθησόμεθα.

40. Ὑπόδειξον ἡμῖν τὸν χαρακτῆρα τῆς ὑποστάσεώς[1] σου τὸν ἴσον σου ἐν πᾶσι καὶ σωθησόμεθα.

---

1. Πρβλ. Ἑβρ. 1, 3.

«Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν, ψαλμὸς τῷ Ἀσάφ.»

ΨΑΛΜ. Π΄.

1. Ἀγαλλιᾶσθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν·
2. Ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ.
3. Λάβετε ψαλμὸν καὶ δότε τύμπανον,
4. Ψαλτήριον τερπνὸν μετὰ κιθάρας.
5. Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι,
6. Ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ὑμῶν.
7. Ὅτι πρόσταγμα τῷ Ἰσραὴλ ἐστι·
8. Καὶ κρῖμα τῷ Θεῷ Ἰακώβ.
9. Μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτόν·
10. Ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου.
11. Γλῶσσαν ἣν οὐκ ἔγνω, ἤκουσεν.
12. Ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ·
13. Αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν·
14. Ἐν θλίψει ἐπεκαλέσω με καὶ ἐρρυσάμην σε·
15. Ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος·
16. Ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας.

Διάψαλμα

17. Ἄκουσον, λαός μου, καὶ διαμαρτύρομαί σοι, Ἰσραήλ.
18. Ἐὰν ἀκούσῃς μου, οὐκ ἔσται ἐν σοὶ Θεὸς πρόσφατος·
19. Οὐδὲ προσκυνήσεις Θεῷ ἀλλοτρίῳ.
20. Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου·
21. Ὁ ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου·
22. Πλάτυνον τὸ στόμα σου καὶ πληρώσω αὐτό.
23. Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου·
24. Καὶ Ἰσραὴλ οὐ προσέσχε μοι.
25. Καὶ ἐξαπέστειλα αὐτὸς [αὐτοὺς] κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν·
26. Πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.
27. Εἰ ὁ λαός μου ἤκουσέ μου.
28. Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη.
29. Ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα·
30. Καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον ἂν τὴν χεῖρά μου.
31. Οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτῷ·
32. Καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα.
33. Καὶ ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ·
34. Καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν, ψαλμὸς τῷ Ἀσάφ.» Ἐπὶ τέλει τῶν αἰώνων ὑπὲρ τῶν δεχομένων ἐν ἑαυτοῖς τὸν οἶνον τῆς εὐφροσύνης τὸν Κύριον ἡμῶν Ἰησοῦν. Εἶτα· «Τῷ Ἀσὰφ ψαλμὸς τῷ συλλέγοντι», τουτέστιν τῷ Υἱῷ τοῦ Θεοῦ ψαλμός. Τοῦτο γὰρ ἑρμηνεύεται Ἀσὰφ συλλέγων.

1. Χαίρετε ἐν τῷ Κυρίῳ πάντοτε.

2. Ὠδαῖς πνευματικαῖς αὐτὸν δοξολογεῖτε.

3. Δέξασθε τὴν χάριν τοῦ Θεοῦ καὶ νεκρώσατε τὰ μέλη ὑμῶν τῇ ἁμαρτίᾳ.

4. Τὰς καρδίας ὑμῶν ἡδείας ποιήσατε τῷ Θεῷ νεκρώσαντες ἑαυτοὺς τῇ ἁμαρτίᾳ.

5. Κηρύξατε ἐν τῇ χάριτι τοῦ κηρύγματος.

6. Ἐν τῷ καιρῷ τοῦ πάθους τοῦ Θεοῦ ἡμῶν.

7, 8. Ὅτι οὕτως ἐνετείλατο τοῖς ἀποστόλοις αὐτοῦ τοῖς αὐτὸν θεασαμένοις. «Ἰσραὴλ» γὰρ ἑρμηνεύεται ἀνὴρ ὁρῶν Θεόν.

9. Τὸ πάθος αὐτοῦ μνημόσυνον ἔθετο ἐν τῷ λαῷ τῷ καθαριζομένῳ ἀπὸ τῶν ἁμαρτιῶν. «Ἰωσὴφ» γὰρ ἑρμηνεύεται «ὀνείδου ἀφαίρεσις», οἵπερ εἰσὶν οἱ φωτιζόμενοι.

10. Ἐν τῷ τὸν λαὸν λυτροῦσθαι τῶν ἁμαρτιῶν αὐτῶν.

11. Τὸ κήρυγμα τοῦ Κυρίου, ὅπερ οὐκ ᾔδεισαν, ἤκουσαν τὰ ἔθνη.

12. Ἀπέστησε καὶ ἀπεστράφη μετὰ ταῦτα τὸ σκληροτραχεῖν τῶν Ἰουδαίων.

13. Οἱ ἀπόστολοι ἐν τῷ κόσμῳ τῷ πεπληγμένῳ τὸ κήρυγμα διηκόνουν.

14. Πρὸς τὸν λαὸν λέγει· Ἐν ἁμαρτίαις ὧν ἐπεκαλέσω με καὶ ἐρρυσάμην σε.

15. Ἐπήκουσά σου ἐν τῷ σκότει τῆς ἁμαρτίας.

16. Ἐπὶ τοῦ βαπτίσματος.

17, 18. Ἐπὶ τοῦ βαπτίσματος διαμαρτύρεται αὐτῷ· ἀνὴρ ὁ τὸν Θεὸν ὁρῶν, ἐὰν ἀκούσῃς μου, οὐκ ἔστι ἐν σοί, ὡς πρὸς τούτου μὲν μὴ ὤν, μετὰ ταῦτα λέγων.

10. Οὐδὲ κτίσμα προσθήκην τινὰ προσκυνήσεις πλὴν τῆς Τριάδος.

20, 21. Ἐγὼ γάρ εἰμι ὁ Δεσπότης καὶ Δημιουργός σου, ὁ διὰ τοῦ πάθους μου ἀναγαγών σε ἐκ τῆς δουλείας τῆς ἁμαρτίας.

22. Ἄνοιξον τὸ στόμα σου, καὶ λαβὲ Πνεῦμα ἅγιον.

23. Καὶ οἱ ἀπειθοῦντες Ἰουδαῖοι οὐκ ἐπίστευσάν μου.

24. Οἱ αὐτοὶ Ἰουδαῖοι ἠρνήσαντό με.

25. Καὶ εἴασα αὐτοὺς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν.

26. Ἐν ταῖς ἀνομίαις αὐτῶν.

27. Οἱ αὐτοὶ Ἰουδαῖοι.

28. Ἐν τοῖς δικαιώμασί σου.

29. Τὰς τοῦ διαβόλου δυνάμεις.
30. Ἐπὶ τὰ πνεύματα τὰ ἀκάθαρτα.
31. Οἱ Ἰουδαῖοι, ἃ συνέθεντο αὐτῷ ἐν ὄρει Σινᾶ πληροῦν, οὐκ ἐποίησαν.
32. Καὶ ἡ κατάρα αὐτῶν ἀτελεύτητός ἐστι.
33. Τοὺς πιστοὺς τὸν οὐράνιον ἄρτον.
34. Καὶ ἐκ τῆς χάριτος αὐτοῦ τὰ λόγια αὐτοῦ ἐχόρτασεν αὐτούς.

«Ψαλμὸς τῷ Ἀσάφ.» ΨΑΛΜ. ΠΑ΄.

1. Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν.
2. Ἐν μέσῳ δὲ Θεοῦ [θεοὺς] διακρινεῖ.
3. Ἕως πότε κρίνετε ἀδικίαν·
4. Καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε;

«Διάψαλμα.»

5. Κρίνατε ὀρφανῷ καὶ πτωχῷ·
6. Ταπεινὸν καὶ πένητα δικαιώσατε.
7. Ἐξέλεσθε πένητα καὶ πτωχόν·
8. Ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐτόν.
9. Οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν·
10. Ἐν σκότει διαπορεύονται·
11. Σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς.
12. Ἐγὼ εἶπα· Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες·
13. Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε
14. Καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.
15. Ἀνάστα, ὁ Θεός, κρῖνον τὴν γῆν.
16. Ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Ἀσάφ», ὅπερ ἑρμηνεύεται «ψαλμὸς εἰς τὸν λέγοντα καὶ εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων·» τὰ γὰρ ἀμφότερα ἑρμηνεύεται «τῷ Ἀσάφ», καὶ «συλλέγων», καὶ «συναγωγή»· τὸ οὖν πρῶτον εἰς τὸν Θεόν, τὸ δὲ δεύτερον εἰς τοὺς Ἰουδαίους.

1. Ὁ Θεὸς Λόγος παρεγένετο ἐν μέσῳ τῶν Ἰουδαίων.
2. Ἐν δὲ τῷ φανερῷ ἐλέγχει αὐτούς.
3. Ἕως πότε οὐδὲν ἀληθὲς ποιεῖτε·
4. Ἀνθρωπαρεσκεῖτε;
5. Τὴν δικαίαν κρίσιν κρίνατε, καὶ βοηθήσατε ὀρφανῷ καὶ πτωχῷ.
6. Καὶ τοῖς ταπεινοῖς καὶ πένησι συνέρχεσθε.

7. Ἀδικούμενον.

8. Ποιήσατε ἐκδίκησιν τῷ καταπονουμένῳ.

9. Οὐδὲ ἐπέγνωσαν οὐδὲ συνῆκαν ὥσπερ αὐτοῖς προσέταξα·

10. Ἀλλὰ ἐν τῇ ἁμαρτίᾳ πορεύονται.

11. Μετατεθήτωσαν πάντα τὰ ἔθνη εἰς τὰς ἐντολὰς τῶν Ἰουδαίων.

12. Ἐγὼ εἶπα εἶναι ὑμᾶς θεοὺς τῆς χάριτός μου καὶ υἱοὺς τοῦ Πατρός μου.

13. Ὑμεῖς δὲ ὡς γῆ καὶ σποδὸς ἐν ταῖς γηΐναις ἐπιθυμίαις ἐναπομένετε.

14. Καὶ ὡς ὁ διάβολος πίπτετε ἀπὸ τῶν οὐρανίων ἐντολῶν εἰς γηΐναν [τὰ γήϊνα].

15. Τῇ τρίτῃ ἡμέρᾳ [ἀνάστα ὁ Θεὸς] καὶ σῶσον τὸν κόσμον.

16. Ὅτι σὺ περιποιήσεις εἰς σωτηρίαν τῷ ἰδίῳ σου αἵματι πάντα τὰ ἔθνη.

«Ὠδὴ ψαλμοῦ τῷ Ἀσάφ.» ΨΑΛΜ. ΠΒʹ.

1. Ὁ Θεός, τίς ὁμοιωθήσεταί σοι;

2. Μὴ σιγήσῃς, μηδὲ καταπραΰνῃς, ὁ Θεός.

3. Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν·

4. Καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν.

5. Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην·

6. Καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου.

7. Εἶπον· Δεῦτε, καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους.

8. Καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ἰσραὴλ ἔτι.

9. Ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτό,

10. Κατὰ σοῦ διαθήκην διέθεντο.

11. Τὰ σκηνώματα τῶν Ἰδουμαίων καὶ οἱ Ἰσμαηλῖται,

12. Μωὰβ καὶ οἱ Ἀγαρηνοί,

13. Γεβὰλ καὶ Ἀμμὼν καὶ Ἀμαλήκ,

14. Ἀλλόφυλοι μετὰ τῶν κατοικούντων Τύρον·

15. Καὶ γὰρ καὶ Ἀσσοὺρ συμπαρεγένετο μετ' αὐτῶν·

16. Ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς Λώτ.

17. Ποίησον αὐτοῖς ὡς τῇ Μαδιὰμ καὶ τῷ Σισάρᾳ,

18. Ὡς τῷ Ἰαβεὶμ [Ἰαβὴν] ἐν τῷ χειμάρρῳ Κισσῶν.

19. Ἐξωλοθρεύθησαν ἐν Ἀενδώρ·

20. Ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ.

21. Θοῦ τοὺς ἄρχοντας αὐτῶν ὡς τὸν Ὠρήβ, καὶ Ζήβ, καὶ Ζεβεέ, καὶ Σαλμανᾶν·

22. Πάντας τοὺς ἄρχοντας αὐτῶν.

23. Οἵτινες εἶπον· Κληρονομήσωμεν ἑαυτοῖς τὸ ἁγιαστήριον τοῦ Θεοῦ.

24. Ὁ Θεός μου, θοῦ αὐτοὺς ὡς τροχόν·

25. Ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου.
26. Ὡσεὶ πῦρ, ὃ διαφλέξει δρυμόν·
27. Ὡσεὶ φλόξ, κατακαύσει ὄρη.
28. Οὕτω καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου·
29. Καὶ ἐν τῇ ὀργῇ σου συνταράξεις αὐτούς.
30. Πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας·
31. Καὶ ζητήσουσι τὸ ὄνομά σου, Κύριε.
32. Αἰσχυνθήτωσαν καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·
33. Καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθωσαν.
34. Καὶ γνώτωσαν, ὅτι ὄνομά σοι Κύριος·
35. Σύ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· ὁμοίως τοῦ πρώτου ψαλμοῦ τὴν ἑρμηνείαν ἔχει εἰς τὸν Κύριον καὶ εἰς τοὺς Ἰουδαίους.

1. Οὐκ ἔστιν οὕτως δυνατὸς καὶ δίκαιος.
2. Μὴ μακροθυμήσῃς ἐπὶ τοῖς γινομένοις.
3. Οἱ δαίμονες ὑψώθησαν.
4. Καὶ οἱ Ἰουδαῖοι κατεπήρθησάν σου.
5. Ἐπὶ τὸν λαόν σου ἐδολιεύσαντο.
6. Κατὰ τῶν προφητῶν.
7. Οἱ δαίμονες κατὰ τῶν ἁγίων εἶπαν· Δεῦτε, καὶ ἄρωμεν αὐτῶν τὴν μνήμην ἀπὸ τῆς γῆς.
8. Τῶν ὁρώντων Θεὸν τῇ διανοίᾳ.

9, 10. Καὶ οἱ δαίμονες ἅμα τοῖς Ἰουδαίοις συνεβουλεύσαντο συμβουλίαν κατὰ σοῦ.

11. Οἱ ἐκλείποντες δαίμονες καὶ οἱ εἰσακούοντες αὐτοὺς Ἰουδαῖοι.

12, 13. Καὶ οἱ προσηλυτεύοντες τῇ ἁμαρτίᾳ. «Γεβὰλ» ἑρμηνεύεται «λαὸς ἐκλείπων», ἅπερ ἀμφότερα εἰς τοὺς Ἰουδαίους ἑρμηνεύονται.

14. Οἱ Ἰουδαῖοι μετὰ τῶν κατοικούντων δαιμόνων τὴν εἰδωλολατρείαν· ἀλποτήματι ὅπερ ἐστὶ τὸ ἔθνος τῶν Ἰουδαίων. «Τύρος» δὲ «συνοχὴ» ἑρμηνεύεται, ὅπερ ἐστὶν ἡ ἁμαρτία.

15. «Ἀσοὺρ» ἑρμηνεύεται «ἔνεδρον», ὅπερ εἰς τὸν Ἰουδαῖον εἴρηται.

16. Βοηθοὶ γεγόνασι τοῖς υἱοῖς τοῦ διαβόλου. «Λὼτ» γὰρ «ἀποκεκλεισμένος» ἑρμηνεύεται, ὅπερ ἐστὶν ὁ διάβολος.

17, 18. Ποίησον αὐτοῖς ὡς τῇ ἀδικίᾳ καὶ τῷ διαβόλῳ. «Σισάρα» γὰρ ἑρμηνεύεται «αἴρων ἀποστασίους.» «Ἰαβὶμ» ἑρμηνεύεται «αἰσχύνη ξηραινομένη» ἐν τῇ σκληρότητι αὐτῶν.

19. Ἐξωλοθρεύθη ἡ διάνοια τῆς γενεᾶς αὐτῶν. «Ἀενδὼρ» γὰρ ἑρμηνεύεται «ὀφθαλμὸς γενεᾶς.»

20. Ἀπώλεια γεγόνασιν ἐν τῷ κόσμῳ.

21. «Ὡς κόρακα ξηρόν», τοῦτο γὰρ ἑρμηνεύεται «Ὠρὴβ» καὶ ὡς λύκον καὶ ὡς θυσιασμὸν [θυσίασμα] καὶ ὡς «σκιὰν σάλον.» Αὕτη γὰρ ἑρμηνεία τῶν ὀνομάτων.

22. Ἐν ῥομφαίᾳ ἀνάλωσον ὡς ἐκείνους.

23. Αἰχμαλωτίσωμεν τὸν λαὸν αὐτοῦ, καὶ τὸν ναὸν αὐτοῦ διαρπάσωμεν.

24. Κυλιουμένους ὑπὸ τῶν ἑλκόντων αὐτοὺς εἰς ἁμαρτίαν.

25. Ὧδε κἀκεῖ περιφερομένους ὑπὸ τῶν καταδυναστευομένων.

26. Ὡς ξύλα ἄκαρπα ἀνάλωσον αὐτούς.

27. Ὡς ἡ θειότης σου κατακαίει τὴν ἐναντίαν δύναμιν.

28. Ἐν τῷ θυμῷ σου.

29. Ταῖς ἀνομίαις αὐτῶν συναπολέσεις αὐτούς.

30. Τὰς καρδίας αὐτῶν.

31. Καὶ μετὰ ταῦτα ἐπιγνώσονται τὴν βοήθειάν σου καὶ τὰς εὐεργεσίας σου.

32. Διαπαντὸς οἱ μὴ πειθόμενοί σου.

33. Ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

34, 35. Ἐν τῇ δόξῃ τῆς παρουσίας σου ἐπιγνῶσιν, ὅτι ὃν ἐξουθένουν Υἱὸν ἀνθρώπου, οὗτος Κύριος πάντων ἐστί, καὶ αὐτῷ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι σὺ εἶ Κύριος ὕψιστος εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

«Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν τοῖς υἱοῖς Κορὲ ψαλμός.» ΨΑΛΜ. ΠΓ΄.

1. Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων!

2. Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου.

3. Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα.

4. Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν·

5. Καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς.

6. Τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων, βασιλεύς μου καὶ ὁ Θεός μου.

7. Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου·

8. Εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε.

Διάψαλμα.

9. Μακάριος ἀνήρ, ᾧ ἐστιν ἀντίληψιν αὐτῷ παρὰ σοί.

10. Ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο,

11. Εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον, ὃν ἔθετο.

12. Καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν.

13. Πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν·

14. Ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών.

15. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου·

Διάψαλμα.

16. Ἐνώτισαι, ὁ Θεὸς Ἰακώβ.
17. Ὑπερασπιστὰ ἡμῶν, ἴδε, ὁ Θεός.
18. Καὶ ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ Χριστοῦ σου.
19. Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας.
20. Ἐξελεξάμην παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν.
21. Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος ὁ Θεός,
22. Χάριν καὶ δόξαν δώσει.
23. Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ.
24. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν τοῖς υἱοῖς Κορὲ ψαλμός», ὅπερ ἑρμηνεύεται· εἰς τὸ τέλος τῶν αἰώνων ὑπὲρ τῶν ἐχόντων ἐν ταῖς καρδίαις τὸν οἶνον τῆς εὐφροσύνης τὸν Κύριον ἡμῶν Ἰησοῦν. Εἶτα «τοῖς υἱοῖς Κορὲ ψαλμός.» Κορὲ γὰρ ἑρμηνεύεται «φαλακρός·» ὁ δὲ φαλακρὸς παρὰ τῷ νόμῳ «καθαρός ἐστιν.»

1. Αἱ αἰώνιαί σου ἀναπαύσεις.
2. «Ἐπιποθῶ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι.[1]»
3. Ὅλως τῇ ψυχῇ καὶ τῷ σώματι πρόσκειμαι ἐπὶ τὸν Θεόν.
4. Πᾶσα ψυχὴ ἁγίων ἔχει ἀνάπαυσιν παρὰ τῷ Θεῷ.
5. Καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἔχει πάλιν ὅπου κατοικήσει τοὺς ἁγίους αὐτοῦ.
6. Αἱ καρδίαι τῶν ἁγίων σου, ὁ βασιλεύων καὶ ὁ δεσπόζων μου.
7. Εἰς ἄνω Ἱερουσαλήμ.
8. Ἀκαταπαύστως.
9. Εἰς ὃν ἐπεσκήνωσεν ἡ χάρις σου.
10. Τὰ ἐπουράνια φρονεῖ καὶ πολιτεύεται.
11. Ταπεινῶν καὶ πενθῶν ἐν τῇ καρδίᾳ αὐτοῦ τῇ ἀνακειμένῃ σοι.
12. Ἐν τῇ βασιλείᾳ αὐτῶν λέγει ὁ Κύριος· «Δεῦτε , οἱ εὐλογημένοι τοῦ Πατρός μου, ἀπολάβετε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν.[2]»
13. Πορεύσονται ἐκ τῆς χάριτος τῆς οὔσης ἐν αὐτοῖς ἐνταῦθα εἰς τὴν μέλλουσαν ζωήν.
14. Ὁραθήσεται ὁ Υἱὸς τοῦ Θεοῦ τῶν κατὰ χάριν θεῶν ἐν τῇ παρουσίᾳ αὐτοῦ.

---

1. Φιλιπ. 1, 23. 2. Ματθ. 25, 34.

15. Πλήρωσον τὰ αἰτήματά μου.
16. Ἄκουσον, ὁ Θεὸς Ἰακώβ.
17. Πρόσχες, ὁ Θεός.
18. Ἀντιλαβοῦ τῶν ἁγίων σου.
19. Ὅτι μεῖζον τὸ ἀΐδιον φῶς τῆς βασιλείας σου ὑπὲρ τὰς ἓξ χιλιάδας τῶν ἐνιαυτῶν τοῦ νῦν αἰῶνος.
20. Συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν ἐν τοῖς πλουσίοις τοῦ νῦν αἰῶνος τοῖς μὴ ποιοῦσι τὰ θελήματα τοῦ Θεοῦ.
21. Ὅτι τῇ ἐλεημοσύνῃ καὶ πίστει εὐαρεστεῖται ὁ Θεός.
22. Ἐν τῷ νῦν αἰῶνι τοῖς ποιοῦσι ταῦτα δώσει χάριν καὶ ἐν τῷ μέλλοντι δοξάσει αὐτούς.
23. Οὐ γὰρ στερήσει τὰ μέλλοντα ἀγαθὰ τοὺς μηδὲν πονηρὸν ποιοῦντας.
24. Ὁ πιστεύων εἰς σέ.

«Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορέ.» ΨΑΛΜ. ΠΔ'.

1. Εὐδόκησας, Κύριε, τὴν γῆν σου·
2. Ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ.
3. Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου·
4. Ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν.
5. Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου·
6. Ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου.
7. Ἐπίστρεψον ἡμᾶς, ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν·
8. Καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν.
9. Μὴ εἰς τοὺς αἰῶνας ὀργισθῇς ἡμῖν;
10. Ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν;
11. Ὁ Θεός, σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς·
12. Καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί.
13. Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου·
14. Καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν.
15. Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός.
16. Ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ,
17. Καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν.
18. Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ,
19. Τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν.
20. Ἔλεος καὶ ἀλήθεια συνήντησαν·
21. Δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν.
22. Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε·
23. Καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε.
24. Καὶ γὰρ ὁ Κύριος δώσει χρηστότητα·

25. Καὶ ἡ γῆ ὑμῶν [ἡμῶν] δώσει τὸν καρπὸν αὐτῆς.
26. Δικαιοσύνη ἐνώπιον αὐτοῦ προπορεύσεται·
27. Καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ ψαλμός», ὅπερ ἑρμηνεύεται «τοῖς υἱοῖς τῆς ἁμαρτίας.» Κορὲ γὰρ ἀντιλογίᾳ σχεήσατο [ἐσχίσατο] πρὸς τὸν Θεόν. Οὐκοῦν τοῖς υἱοῖς τῆς ἀντιλογίας, τουτέστι τῆς ἁμαρτίας, τῷ λαῷ τῶν Ἰουδαίων καὶ τῶν ἐθνῶν ὁ ψαλμὸς εἴρηται περὶ τῶν εἰς τὰ τέλη τῶν αἰώνων παρασχεθέντων αὐτοῖς παρὰ τοῦ Θεοῦ.

1. Ἐπιθυμίᾳ ἐπεθύμησας σῶσον τὸν κόσμον.
2. Ἐρρύσω τοὺς Ἰουδαίους τοὺς πιστεύοντάς σοι ἐκ τῆς δουλείας τῆς ἁμαρτίας.
3. Συνεχώρησας πάντας τὸν κόσμον [πάσας ἀνομίας τῷ κόσμῳ].
4. Λήθην πεποίηκας πασῶν τῶν ἁμαρτιῶν τοῦ κόσμου [τοῦ αὐτοῦ] σου.
5. Μετεβλήθης ὅλως εἰς ἔλεος.
6. Ἵλεως γενοῦ παντὶ τῷ γένει τῶν ἀνθρώπων.
7. Ἐπισυνάγαγε ἡμᾶς πρὸς ἑαυτόν.
8. Καὶ παῦσον τὴν κατάραν τὴν ἀπὸ τοῦ Ἀδὰμ καὶ Κάϊν καὶ τῶν λοιπῶν.
9. Μὴ ἐπιμείνῃ ἡ ἀπόφασις ἐκείνη διὰ παντός;
10. Διερχομένην ἀπὸ γενεᾶς εἰς γενεάν;
11. Ὁ Θεός, σὺ ἐπιστρέψας ἡμᾶς ἐκ τοῦ θανάτου τῆς ἁμαρτίας, ζωοποίησον διὰ τῆς χάριτός σου.
12. Οἱ πιστεύοντες ἐν σοί.
13. Τὸν Υἱόν σου.
14. Τὸ Πνεῦμά σου τὸ ἅγιον.
15. Ἐπιστήσω τὸν νοῦν μου λοιπὸν τοῖς λεγομένοις ὑπ' αὐτοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ.
16. Ὅτι τὴν ἑαυτοῦ εἰρήνην δωρήσεται ἡμῖν.
17. Καὶ ἐπὶ τοὺς ἀποστόλους αὐτοῦ, καὶ εἰς πάντας τοὺς πιστεύοντας εἰς αὐτόν.
18. Ὅμως πλησίον ἐστὶν ἡ σωτηρία τῶν φοβουμένων αὐτόν, καὶ πιστευόντων αὐτῷ.
19. Τοῦ τὴν χάριν τοῦ Θεοῦ ἐλθεῖν εἰς τὰς καρδίας ἡμῶν.
20. Τῶν ἐθνῶν καὶ τῶν Ἰουδαίων λαὸς ἐπίστευσαν ἅμα.
21. Ὁμοίως οἱ τῶν Ἰουδαίων καὶ ἐθνῶν [λαοὶ] ἡνώθησαν ἐν πίστει καὶ ἀγάπῃ ἀλλήλοις.
22. Τὰ ἔργα τῆς δικαιοσύνης ἐκ τῶν καρδιῶν τῶν ἀνθρώπων.
23. Ὁ Υἱὸς τοῦ Θεοῦ παραγέγονε.

24. Τὸ Πνεῦμα αὐτοῦ τὸ ἅγιον καὶ ἀγαθὸν δωρήσεται ἡμῖν.
25. Τὸ γένος τῶν ἀνθρώπων τὰ ἔργα τῆς δικαιοσύνης.
26. Ἰωάννης ὁ Βαπτιστὴς καὶ τὸ πλῆθος τῶν προφητῶν.
27. Καὶ ἐντελεῖται ἐν πίστει τὰ δικαιώματα αὐτοῦ.

«Προσευχὴ τῷ Δαυίδ.» ΨΑΛΜ. ΠΕ΄.

1. Κλῖνον, Κύριε, τὸ οὖς σου, καὶ ἐπάκουσόν μου.
2. Ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ.
3. Φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι·
4. Σῶσον τὸν δοῦλόν σου, ὁ Θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σὲ [σοί].
5. Ἐλέησόν με, Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν.
6. Εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου·
7. Ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.
8. Ὅτι σύ, Κύριε, χρηστὸς καὶ ἐπιεικής,
9. Καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε.
10. Ἐνώτισαι, Κύριε τὴν προσευχήν μου·
11. Καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου.
12. Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σέ, ὅτι ἐπήκουσάς μου.
13. Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε·
14. Καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου.
15. Πάντα τὰ ἔθνη, ὅσα ἐποίησας, ἥξουσι,
16. Καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε,
17. Καὶ δοξάσουσι τὸ ὄνομά σου.
18. Ὅτι μέγας εἶ σύ, καὶ ποιῶν θαυμάσια·
19. Σὺ εἶ Θεὸς [ὁ Θεὸς] μόνος.
20. Ὁδήγησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου·
21. Καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου.
22. Εὐφρανθήτω ἡ καρδία μου, τοῦ φοβεῖσθαι τὸ ὄνομά σου.
23. Ἐξομολογήσομαί σοι, Κύριε ὁ Θεός μου, ἐν ὅλῃ καρδίᾳ μου·
24. Καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα.
25. Ὅτι τὸ ἔλεός σου μέγα ἐπ᾽ ἐμέ.
26. Καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου.
27. Ὁ Θεός, παράνομοι ἐπανέστησαν ἐπ᾽ ἐμέ·
28. Καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου,
29. Καὶ οὐ προέθεντό σε ἐνώπιόν αὐτῶν.
30. Καὶ σύ, Κύριε ὁ Θεός μου, οἰκτίρμων καὶ ἐλεήμων.
31. Μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός·
32. Ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν με.
33. Δὸς τὸ κράτος σου τῷ παιδί σου·
34. Καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου.
35. Ποίησον μετ᾽ ἐμοῦ σημεῖον εἰς ἀγαθόν·

36. Καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν.
37. Ὅτι σύ, Κύριε, ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Προσευχὴ τῷ Δαυίδ», τουτέστι «τῷ ἱκανῷ τῇ χειρί·» τοῦτο γὰρ ἑρμηνεύεται Δαυίδ, ὅπερ ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ.

1. Εὐμενές μοι ποίησον τὸ οὖς σου, καὶ ἐπάκουσον τῆς προσευχῆς μου.
2. Τῇ καρδίᾳ.
3. Ἀσφάλισαι τὴν ψυχήν μου, ὅτι σὲ ἐγὼ σέβομαι.
4. Σῶσόν με τὸν δοῦλόν σου, ὁ Θεός, ὅτι ἐλπίζω, ὅτι σῴζεις με.
5. Ἀδιαλείπτως προσεύχομαι ἐν καρδίᾳ πεφωτισμένῃ.
6. Διὰ τῆς χάριτός σου.
7. Τῷ θελήματι αὐτὴν ἀνεθέμην.
8. Ἀγαθὸς καὶ πραΰς.
9. Καὶ ἀμέτρητος σὺ ἐν τῷ ἐλεεῖν τοὺς καταφεύγοντας ἐπὶ σέ.
10. Ἄκουσον.
11. Καὶ ἔργον ἀποτέλεσον τὴν προσευχήν μου.
12. Ἐν τῷ καιρῷ τοῦ ἀπολέσθαι με ὑπὸ τῆς ἁμαρτίας ἐδεήθην σου, ἐπειδὴ καὶ ἄλλοτε ἐπήκουσάς μου.
13. Φιλάνθρωπος.
14. Οὕτως λυτρούμενος καὶ σῴζων.
15. Εἰς τὸ βάπτισμά σου τὸ φοβερόν.
16. Κάμψει πᾶν γόνυ.
17. Καὶ πᾶσα γλῶσσα ἐξομολογεῖταί σοι «ὅτι Κύριος Ἰησοῦς εἰς δόξαν Θεοῦ Πατρός.[1]» Ἀμήν.
18, 19. Ἀνεκδιήγησις [ἀνεκδιήγητος].
20, 21. Ἄγαγέ με, Κύριε, ἐν τῇ πίστει σου εἰς πᾶν ἔργον ἀγαθόν.
22. Τῆς χάριτος τοῦ ἁγίου Πνεύματός σου πληρωθήτω ἡ καρδία μου, ἵνα φοβῶμαι τὸ ὄνομά σου.
23. Ἀνυμνήσω σε ἀμετεωρίστως.
24. Διαπαντός.
25. Ὅτι πλῆθος ἁμαρτιῶν μου συνεχώρησας.
26. Τοῦ διαβόλου.
27. Αἱ ἐναντίαι δυνάμεις.
28. Ἡ στρατιὰ τοῦ διαβόλου.
29. Καὶ οὐκ ἐλογίσαντο, ὅτι ἐφορᾷς αὐτός, ἃ ποιοῦσιν.
30. Καὶ οἶδα, Κύριε ὁ Θεός μου, ὅτι οἰκτίρμων εἶ καὶ ἐλεήμων.

---

1. Φιλιπ. 2, 11.

31. Ἀνεξίκακος καὶ ἀδιαλείπτως ἐλεεῖς καὶ ἐν ἀληθείᾳ.
32. Πρόσχες, Κύριε, καὶ ἐλέησόν με.
33. Δὸς τὴν χάριν σου τῷ δούλῳ σου.
34. Καὶ σῶσον τὸν λαὸν τῆς συναγωγῆς των Ἰουδαίων.
35. Νεκρὸν ὄντα με ζωοποίησον.
36. Αἱ ἐναντίαι δυνάμεις.
37. Ὅτι σύ, Κύριε, ἐβοήθησάς μοι, καὶ ἀνέπαυσάς με ἐκ τοῦ κόπου καὶ φορτίου τῶν ἁμαρτιῶν μου.

«Τοῖς υἱοῖς Κορὲ ψαλμὸς ᾠδῆς.» ΨΑΛΜ. ΠϚʹ.

1. Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις·
2. Ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.
3. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ.
4. Μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος τοῖς γινώσκουσί με.

Διάψαλμα.

5. Καὶ ἰδοὺ ἀλλόφυλοι καὶ Τύρος καὶ λαὸς τῶν Αἰθιόπων, οὗτοι ἐγενήθησαν ἐκεῖ.
6. Μήτηρ Σιών, ἐρεῖ ἄνθρωπος·
7. Καὶ ἄνθρωπος ἐγενήθη ἐν αὐτῇ·
8. Καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος.
9. Κύριος διηγήσεται ἐν γραφῇ λαῶν, καὶ ἀρχόντων τούτων, τῶν γεγενημένων ἐν αὐτῇ.
10. Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Τοῖς υἱοῖς Κορὲ ψαλμὸς ᾠδῆς», τουτέστι τοῖς καθαροῖς τῇ καρδίᾳ ψαλμὸς ᾄδεται.

1. Αἱ μαρτυρίαι τῆς παρουσίας καὶ τῶν παθημάτων αὐτοῦ ἐν τοῖς προφήταις.
2. Τοὺς ἀποστόλους ἀγαπᾷ Κύριος ὑπὲρ τὸ πλῆθος τῶν Ἰουδαίων.
3. Μεγάλα καὶ θαυμαστὰ εἴρηται περὶ σοῦ τῆς ἄνω Ἱερουσαλήμ.
4. Τῆς Ἐκκλησίας τῶν Ἰουδαίων τῶν πιστευόντων εἰς ἐμέ. «Ῥαὰβ» ἑρμηνεύεται «πλατυνθεῖσα.» «Βαβυλὼν» δὲ ἑρμηνεύεται «σύγχυσις», ὅπερ εἰσὶ τὰ ἔθνη.
5. Καὶ ἰδοὺ «οἱ πιστεύοντες·» τοῦτο γὰρ ἑρμηνεύεται «ἀλλόφυλοι.» Εἶτα «Τύρος», τουτέστιν «ἡ συνοχή», καὶ λαὸς [λαὸς τῶν Αἰθιόπων] ὁ ταπεινὸς ὁ μεμελανωμένος ὑπὸ τῆς ἁμαρτίας, οὗτοι πάντες ἐν τῇ κολυμβήθρᾳ ἀνενεώθησαν.

6. Μητέρα καλοῦσι τὴν Ἐκκλησίαν, ὅπου ἡ ὁμολογία ἑκάστου τῶν πιστῶν.

7, 8. Καὶ ὁ Ὕψιστος ἄνθρωπος παραγέγονεν ἐν αὐτῇ καὶ αὐτὸς ἐθεμελίωσεν αὐτήν.

9. Ὁ Κύριος αὐτὰ ταῦτα διηγήσεται ἐν τῇ Γραφῇ τῶν Ἰουδαίων καὶ τῶν ἀποστόλων καὶ εὐαγγελιστῶν τῶν ὄντων ἐν τῇ Ἐκκλησίᾳ τῶν πιστῶν.

10. Ὡς αἱ τῶν ἁγίων ἀγγέλων στρατιαὶ τῶν ἀεὶ χαιρόντων, οὕτως ἐστὶν ἡ κατοικία ἐν σοί.

«Ὠδὴ ψαλμοῦ τοῖς υἱοῖς Κορέ, εἰς τὸ τέλος ὑπὲρ Μαελέθ, τοῦ ἀποκριθῆναι λόγον συνέσεως Αἰθὰμ τῷ Ἰσραηλίτῃ.»

ΨΑΛΜ. ΠΖʹ.

1. Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου,
2. Ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.
3. Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου·
4. Κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.
5. Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου·
6. Καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε.
7. Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον·
8. Ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος.
9. Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι·
10. Καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.
11. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ,
12. Ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.
13. Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου·
14. Καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ.
15. Ἐμάκρυνας τους γνωστούς μου ἀπ' ἐμοῦ·
16. Ἔθεντό με βδέλυγμα ἑαυτοῖς.
17. Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην·
18. Οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.
19. Ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν·
20. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.
21. Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια;

Διάψαλμα.

22. Ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι;
23. Μὴ διηγήσεταί τις ἐν τῷ σκότει τὰ θαυμάσιά σου;
24. Καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;
25. Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου;
26. Καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;

27. Κἀγὼ πρὸς σέ, Κύριε, ἐκέκραξα·
28. Καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.
29. Ἵνα τί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου;
30. Ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;
31. Πτωχός εἰμι ἐγώ, καὶ ἐν κόποις ἐκ νεότητός μου·
32. Ὑψωθεὶς δέ, ἐταπεινώθην καὶ ἐξηπορήθην.
33. Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου·
34. Οἱ φοβερισμοί σου ἐξετάραξάν με.
35. Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ ὅλην τὴν ἡμέραν·
36. Περιέσχον με ἅμα.
37. Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον.
38. Καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει «Ὠδὴ ψαλμοῦ τοῖς υἱοῖς Κορέ, εἰς τὸ τέλος ὑπὲρ Μαελέθ, τοῦ ἀποκριθῆναι λόγον συνέσεως Αἰθὰμ τῷ Ἰσραηλίτῃ.» Αὕτη οὖν ἑρμηνεία τοῦ ἐπιγράμματος. «Κορὲ ἀντιλογικὸς» γεγένηται πρὸς τὸν Θεόν. «Μαελὲθ» δὲ ἑρμηνεύεται «ἀπαρχή.» «Αἰθὰμ» δὲ ἑρμηνεύεται «ὑψηλός.» «Ἰσραηλίτης» δὲ ἑρμηνεύεται «ἀνὴρ ὁρῶν τὸν Θεόν.» Ἡ ᾠδὴ οὖν τοῦ ψαλμοῦ τοῖς ἀντιλογικοῖς ἔτι, τουτέστι τῷ λαῷ τῶν Ἰουδαίων ὑπὲρ τῆς ἀπαρχῆς, ὡσανεὶ τοῦ Χριστοῦ ἀποκρίνοντος εἰς σύνεσιν αὐτῷ τῷ ὑψηλῷ τῷ Υἱῷ τοῦ Θεοῦ τῷ ὁρῶντι τὸν Πατέρα. «Οὐδεὶς ἑώρακε τὸν Πατέρα εἰ μὴ ὁ τοῦ Πατρὸς ὢν[1]», καθὼς εἴρηκεν ἐν Εὐαγγελίῳ. Ἐκ προσώπου οὖν τῶν ἐπιστρεφόντων εἰς τὸν Κύριόν ἐστιν ὁ ψαλμός.

1. Κύριε ὁ Θεὸς τῆς ζωῆς μου.

2. Ἀπαύστως.

3. Μὴ κωλύσουσιν αἱ ἁμαρτίαι μου τοῦ προσεγγίσαι σοι τὴν δέησίν μου.

4. Ἡδέως μου δέξαι τὴν ἱκεσίαν.

5. Ὅτι ἐπλήσθη ἁμαρτιῶν ἡ ψυχή μου.

6. Καὶ διὰ τοῦτο ἡ ζωή μου ὁ Χριστὸς τῷ ᾅδῃ ἤγγισεν, ἵνα ῥύσηταί με.

7. Καὶ προσελογίσθη ὁ Κύριος μετὰ τῶν ἀσθενούντων ἀποθνησκόντων.

8. Καὶ ἐγένετο ὁ Κύριος ὡς ἄνθρωπος ἀβοήθητος ἐν νεκροῖς ἐλεύθερος, τουτέστι μὴ χρεωστῶν θάνατον.

9. Ὡς οἱ ἁμαρτωλοὶ οἱ ἀποθανόντες, ὧν οὐκ ἔστι μνημόνευσις.

10. Ἀπώσθησαν γὰρ ζῶντες ἐκ τῆς βοηθείας σου.

11. Οἱ δαίμονες ἐν τῇ ἁμαρτίᾳ.

---

1. Πρβλ. Ἰω. 1, 18. 6, 46.

12. Ἐν ταῖς ἐπιθυμίαις τοῦ κόσμου καὶ τοῦ θανάτου.
13. Ὠργίσθης μοι.
14. Τὰς ἀπειλάς σου.
15. Τοὺς προφήτας.
16. Μεμισημένον.
17. Ἐκρατούμην ἀπὸ τῆς ἁμαρτίας καὶ οὐκ ἠδυνάμην ἀποστῆναι.
18. Οἱ ὀφθαλμοὶ τῆς διανοίας μου ἠσθένησαν ἀπὸ τοῦ ἀβοήθητόν με εἶναι.
19. Δέομαί σου,
20. Τὴν καρδίαν μου ἀνέτεινα πρὸς σέ.
21. Μὴ μετὰ τὸ ἀποθανεῖν με ποιήσεις ἐπ' ἐμέ τὰ θαυμάσιά σου;
22. Ἢ ἰατροὶ δύνανται ἀναστῆσαί με, ἵνα ἐξομολογήσωμαί σοι;
23. Μὴ ἐν τῷ τάφῳ δωρήσει μοι συγχώρησιν τῶν ἁμαρτημάτων μου;
24. Καὶ μάθω τὰ δικαιώματά σου ποιεῖν μετὰ τὸ ἀναλῦσαί με εἰς γῆν, ἐξ ἧς ἐλήφθην;
25. Μὴ ἐν τῇ ἁμαρτίᾳ ὄντες δύνανται τὰ θαυμάσιά σου γνῶναι;
26. Καὶ ἡ δικαιοσύνη σου μὴ δύναται γνωσθῆναι ἐν καρδίᾳ ἐγκαταλελειμμένη;
27. Οὐκ ἄλλην βοήθειαν ἐθέμην εἰ μή σε.
28. Ἐν τῷ τὸ φῶς σου ἀνατέλλειν ἐν τῇ καρδίᾳ μου, ἡ προσευχή μου περιμενεῖ σε.
29. Ἀπορρίπτεις με;
30. Οὐκ εἰσακούεις μου;
31. Ἀβοήθητός εἰμι καὶ ἐν ἁμαρτίαις ἐξ ἀρχῆς.
32. Μεγαλαυχήσας δὲ ἐταπεινώθην καὶ ἀπερρίφην.
33. Αἱ καρτερίαι ἐν τῷ νόμῳ σου.
34. Αἱ ἀπειλαί σου.
35. Συνέσχον με.
36. Ἀδιαλείπτως.
37. Ἕκαστον τῶν ἁγίων σου.
38. Τοὺς προφήτας καὶ ἀποστόλους ἀπὸ πάσης ἁμαρτίας.

«Συνέσεως Αἰθὰμ τῷ Ἰσραηλίτῃ.» ΨΑΛΜ. ΠΗ'.

1. Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι·
2. Εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου.
3. Ὅτι εἶπας· Εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται.
4. Ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου.
5. Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου·
6. Ὤμοσα Δαυὶδ τῷ δούλῳ μου.

7. Ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου·
8. Καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου.

Διάψαλμα.

9. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε·
10. Καὶ γὰρ τὴν ἀλήθειάν σου ἐν Ἐκκλησίᾳ ἁγίων.
11. Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ;
12. Ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ;
13. Ὁ Θεός, ὁ ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων,
14. Μέγας καὶ φοβερός ἐστιν ἐπὶ πάντας τοὺς περὶ κύκλῳ αὐτοῦ.
15. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τίς ὅμοιός σοι;
16. Δυνατὸς εἶ, Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου.
17. Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης·
18. Τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις.
19. Σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον·
20. Ἐν τῷ βραχίονι τῆς δυνάμεώς σου διεσκόρπισας τοὺς ἐχθρούς σου.
21. Σοί εἰσιν οἱ οὐρανοὶ καὶ σή ἐστιν ἡ γῆ·
22. Τὴν οἰκουμένην καὶ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας.
23. Τὸν βορρᾶν καὶ τὴν θάλασσαν σὺ ἔκτισας·
24. Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται·
25. Σὸς ὁ βραχίων μετὰ δυναστείας.
26. Κραταιωθήτω ἡ χείρ σου, ὑψωθήτω ἡ δεξιά σου.
27. Δικαιοσύνη καὶ κρῖμα ἑτοιμασία τοῦ θρόνου σου.
28. Ἔλεος καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου σου·
29. Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν.
30. Κύριε, ἐν τῷ φωτί τοῦ προσώπου σου πορεύσονται·
31. Καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν·
32. Καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθήσονται.
33. Ὅτι καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ.
34. Καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν.
35. Ὅτι τοῦ Κυρίου ἡ ἀντίληψις.
36. Καὶ τοῦ ἁγίου Ἰσραὴλ βασιλέως ἡμῶν.
37. Τότε ἐλάλησας ἐν ὁράσει τοῖς υἱοῖς σου,
38. Καὶ εἶπας· Ἐθέμην βοήθειαν ἐπὶ δυνατόν·
39. Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου.
40. Εὗρον Δαυὶδ τὸν δοῦλόν σου·
41. Ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν.
42. Ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ·
43. Καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν.
44. Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ·
45. Καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν.
46. Καὶ συγκόψω ἀπὸ προσώπου αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ·

47. Καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι.
48. Καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ·
49. Καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ.
50. Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ·
51. Καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ.
52. Αὐτὸς ἐπικαλέσεταί με· Πατήρ μου εἶ σύ,
53. Θεός μου, καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου.
54. Κἀγὼ πρωτότοκον θήσομαι αὐτόν,
55. Ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.
56. Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου·
57. Καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ.
58. Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ·
59. Καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ.
60. Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου,
61. Καὶ τοῖς κρίμασί μου μὴ πορευθῶσιν·
62. Ἐὰν τὰ δικαιώματά μου βεβηλώσωσι·
63. Καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν·
64. Ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν,
65. Καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν.
66. Τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν·
67. Οὐδ' οὐ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου.
68. Οὐδ' οὐ μὴ βεβηλώσω τὴν διαθήκην μου·
69. Καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω.
70. Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαυὶδ ψεύσομαι;
71. Τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ [μένει]·
72. Καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου.
73. Καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα.

Διάψαλμα.

74. Καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός.
75. Σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας,
76. Ἀνεβάλου τὸν Χριστόν σου,
77. Κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου·
78. Ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ.
79. Καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ·
80. Ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν.
81. Διήρπαζον αὐτὸν πάντες οἱ διοδεύοντες ὁδόν·
82. Ἐγενήθη ὄνειδος τοῖς γείτοσιν αὐτοῦ.
83. Ὕψωσας τὴν δεξιὰν τῶν θλιβόντων αὐτόν·
84. Εὔφρανας πάντας τοὺς ἐχθροὺς αὐτοῦ.
85. Ἀπέστρεψας τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ·
86. Καὶ οὐκ ἀντελάβου αὐτοῦ ἐν τῷ πολέμῳ.
87. Κατέλυσας ἀπὸ καθαρισμοῦ αὐτοῦ·

88. Τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέρραξας.
89. Ἐσμίκρυνας τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ·
90. Κατέχεας αὐτοῦ [αὐτῷ] αἰσχύνην.

Διάψαλμα.

91. Ἕως πότε, Κύριε, ἀποστρέφῃ εἰς τέλος;
92. Ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου;
93. Μνήσθητι τίς μου ἡ ὑπόστασις·
94. Μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων;
95. Τίς ἐστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον;
96. Ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου.
97. Ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε,
98. Ἃ ὤμοσας τῷ Δαυὶδ ἐν τῇ ἀληθείᾳ σου;
99. Μνήσθητι, Κύριε, τοῦ ὀνειδισμοῦ τῶν δούλων σου,
100. Οὗ ὑπέσχου [ὑπέσχον] ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν.
101. Οὗ ὠνείδισαν οἱ ἐχθροί σου, Κύριε,
102. Οὗ ὠνείδισαν τὰ ἀντάλλαγμα τοῦ Χριστοῦ σου.
103. Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα. Γένοιτο, γένοιτο.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Συνέσεως Αἰθὰμ τῷ Ἰσραηλίτῃ·» τουτέστι, τῆς χάριτος τοῦ ὑψηλοῦ τοῦ σπείραντος Θεοῦ ψαλμός, περιέχει. Σύνεσις γὰρ ἀγαθὴ ἡ χάρις αὐτοῦ ὑπάρχει. «Αἰθὰμ» δὲ ἑρμηνεύεται «ὑψηλός.» «Ἰσραηλίτου» δὲ ἑρμηνεύεται «σπείραντος Θεοῦ.»

1. Ἃ ἐποίσας καθ' ἑκάστην γενεὰν τοῖς υἱοῖς τῶν ἀνθρώπων.
2. Τὰ προστάγματά σου κηρύξω.
3. Ὅτι ἐπηγγείλω ἀδιαλείπτως τὸν ἠλεημένον λαὸν περιποιῆσαι εἰς οἰκοδομήν.
4. Ἐν τοῖς ἁγίοις ἡ πίστις.
5. Ἐπηγγειλάμην τοῖς ἁγίοις τὴν βασιλείαν μου.
6. Τοῖς κατὰ τὸν Δαυὶδ πραεῖς [πραέσι] τῇ καρδίᾳ.
7. Προαγάγω ἐν τῷ κόσμῳ.
8. Τὴν βασιλείαν σου.
9. Διηγήσονται οἱ ἀπόστολοι καὶ οἱ ἅγιοι τὰ θαυμάσιά σου.
10. Καὶ γὰρ τὴν πίστιν σου ἐν τῷ πλήθει τῶν ἁγίων.
11, 12. Τίς τῶν προφητῶν ἢ τῶν ἁγίων ἰσοδύναται εἶναι τοῦ Κυρίου [τῷ Κυρίῳ]; Ἐκεῖνοι γὰρ κατὰ χάριν αὐτοῦ τοῦ Ἰησοῦ εἰσι υἱοὶ τοῦ Θεοῦ, αὐτὸς δὲ κατὰ φύσιν.
13. Ἐν ταῖς καρδίαις αὐτῶν.
14. Ἀκατάληπτος καὶ παντοδύναμός ἐστιν ἐπὶ πάντας τοὺς ἁγίους αὐτοῦ.

15. Φιλάνθρωπος καὶ ἐλεήμων.
16. Οἱ ἅγιοί σου.
17. Πάσης ὁμοῦ τῆς οἰκουμένης ἐξουσίαν ἔχεις ὡς δημιουργὸς αὐτῆς.
18. Τοὺς πειρασμοὺς αὐτῆς ἀνισχύρους ποιεῖς.
19. Τὸν διάβολον.
20. Ἐν τῇ ἰσχύϊ τοῦ Υἱοῦ σου ἀπώλεσας τὰς ἐναντίας δυνάμεις.
21. Σοὶ εἰσιν οἱ ἐν τῷ οὐρανῷ ἅγιοί σου καὶ τὰ ἔθνη τὰ πιστεύοντα εἰς σέ· ὁμοίως καὶ κατὰ τὸ δημιουργητικὸν αὐτοῦ εἰσιν οἱ οὐρανοὶ καὶ ἡ γῆ.
22. Πάντας ὁμοῦ τοὺς ἀνθρώπους ἐθεμελίωσας ἐν τῇ πίστει σου.
23. Τοὺς ἐναντιουμένους σοι Ἰουδαίους καὶ τὸν κόσμον σὺ πάλιν ἀνεκαίνισας.
24. Οἱ ἐκλεκτοί σου καὶ οἱ ἁμαρτωλοὶ ἐν τῷ ὀνόματί σου χαρήσονται.
25. Σὸς ὁ Υἱὸς ὁ δυνατός.
26. Βασιλευέτω ὁ Υἱός σου, καὶ δοξασθήτω ὁ Μονογενής σου.
27. Αἰσηρότης [αὐστηρότης] καὶ ἀπροσωποληψία ἐν τῷ βήματί σου.
28. Ἐν δὲ τῷ νῦν αἰῶνι πίστις καὶ ἐλεημοσύνη δεκταὶ παρὰ σοί.
29. Ὁ ἐκ τῆς καρδίας αὐτοῦ πενθεῖ.
30. Ἐν τῇ χάριτι τοῦ Υἱοῦ σου.
31. Ἀδιαλείπτως ἐν τῷ ἀιδίῳ φωτὶ τῷ μέλλοντι χαρήσονται.
32. Καὶ ἐν τῷ Υἱῷ σου δοξασθήσονται.
33. Ὅτι ἐν σοὶ καυχῶνται καὶ δυναμοῦνται.
34. Καὶ ἐν τῷ θελήματί σου καὶ τοῦ Υἱοῦ σου ἀνορθωθήσεται ἡ ἐξουσία ἡμῶν, ἣν ἡμῖν ἐξ ἀρχῆς δέδωκας.
35, 36. Ὅτι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἡ ἀντίληψις ἡμῖν.
37. Τότε τοῖς Ἰουδαίοις ἐν αἰνίγμασι διὰ τῶν προφητῶν ἐλάλησας.
38. Καὶ εἶπας· Τῷ Υἱῷ μου βοηθήσω ὑμῖν.
39. Τὸν χρόνον τῶν ἁγίων ἀποστόλων ἐξελεξάμην καὶ ἐδόξασα.
40. Εὗρον λαὸν τὸν πεποθημένον.
41. Ἐν τῷ Πνεύματί μου τῷ ἁγίῳ τὸν αὐτὸν πιστὸν λαὸν ἠγάπησα.
42. Ὁ γὰρ Υἱός μου ὑπερασπίζει αὐτόν.
43. Καὶ αὐτὸς ὁ Υἱός μου ἐνισχύει αὐτόν.
44. Οὐ κατακυριεύσει ὁ διάβολος αὐτοῦ.
45. Ὁ αὐτὸς ἀντικείμενος οὐκ ἂν δυνηθῇ αὐτοῦ.
46. Τὰς ἐναντίας δυνάμεις.
47. Τοὺς δαίμονας ὑποτάξω αὐτοῖς.
48. Καὶ τὸ Πνεῦμά μου τὸ ἅγιον καὶ ὁ Υἱός μου ἀχώριστοι ἔσονται τοῦ πιστοῦ λαοῦ.
49. Ἡ βασιλεία τοῦ λαοῦ.

50. Ἐν τῷ κόσμῳ τὴν δυναστείαν αὐτοῦ.
51. Καὶ ἐν τοῖς ἔθνεσι τὰς ἐντολὰς αὐτοῦ.
52. Τό, «Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.[1]»
53. «Μὴ εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.[2]»
54. Ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.
55. Δεδοξασμένον ὑπὲρ τοὺς βασιλέας.
56. Ἀδιάλειπτον.
57. Καὶ τὰ παθήματα πιστὰ αὐτῷ.
58. Τὰ ἔργα τῆς δικαιοσύνης αὐτοῦ.
59. Καὶ τὴν βασιλείαν αὐτοῦ ἀτελεύτητον.
60. Ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν ἐξακολουθήσουσι.
61. Καὶ ἐκκλίνῃ ἡ καρδία αὐτῶν εἰς ματαιότητα.
62. Ἐν ἀσελγείαις τραπήσονται.
63. Καὶ παντελῶς ἀποστήσουσιν ἀπ' ἐμοῦ.
64. Ὃν γὰρ ἀγαπῶ, ἐλέγχω καὶ παιδεύω.
64. Μαστίζω δὲ ἐν ἀρρωστίᾳ καὶ θλίψει, πάντα υἱὸν εἰς μετάνοιαν ἀπεκδεχόμενος.
66. Παιδεύων δὲ αὐτοὺς οὐ μὴ θανατώσω.
67. Οὐδὲ μὴ ἀπορρίψω αὐτοὺς ἐπιστρέφοντας ἐν τοῖς προστάγμασί μου.
68. Οὐδὲ μὴ τελείως εἰς ἀφανισμὸν ἔσονται.
69. Καὶ ἅπερ ἐπαγγείλομαι [ἐπαγγέλλομαι] οὐ μὴ προεκλείπω [παραλείπω].
70. Ἅπαξ ὥρισα ἐν τῷ υἱῷ μου τῷ Δαυίδ, οὐ ψεύσομαι.
71. Οἱ ἅγιοι
72. Ἡ βασιλεία αὐτῶν ἐκλάμψει.
73. Τεθεμελιωμένη ὁμοίως ἡ βασιλεία αὐτοῦ.
74. Λέγεται τοῦτο ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· ἐπὶ μὲν τοῦ Πατρός, ἐπειδὴ ἀπὸ τῶν οὐρανῶν εἶπεν· «Οὗτός ἐστιν ὁ Υἱός μου ἀγαπητός·[3]» περὶ δὲ τοῦ Υἱοῦ, ἐπειδὴ πέπονθεν ἀπὶ τῆς γῆς· περὶ δὲ τοῦ ἁγίου Πνεύματος, ἐπειδὴ ἐμαρτύρησε περὶ τοῦ Υἱοῦ, καθὼς ὁ Κύριος εἶπεν· «Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος τὸ Πνεῦμα τῆς ἀληθείας, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ.[4]»
75. Σὺ δέ, ὁ λαὸς τῶν Ἰουδαίων, ἀπώσω, καὶ ἐξουδένωσας τὸν Υἱὸν τοῦ Θεοῦ τὸν βασιλέα σου.
76. Τὸν Χριστὸν ἕτερον παρ' αὐτὸν ἀπεκδεχόμενος.
77. Τοῦ λαοῦ τῶν Ἰουδαίων.
78. Ἀφείλου τὴν χάριν σου ἀπὸ τοῦ ἁγιάσματος αὐτῶν.
79. Ἔλαβες τὴν βοήθειάν σου ἀπ' αὐτῶν.
80. Τὸ θράσος αὐτῶν μετέβαλες εἰς δειλίαν.

---

1. Ματθ. 6, 9. 2. Ματθ. 9, 13. 3. Ματθ. 17, 5. 4. Ἰω. 15, 26.

81. ᾿Ηχμαλώτευσαν αὐτοὺς τὰ ἔθνη.
82. Εἰς δουλείαν γεγόνασι τοῖς ἔθνεσι.
83. Κατακυριεύεσθαι αὐτοὺς συνεχώρησας ὑπὸ τῶν ἀνθρώπων.
84. Εἴασας αὐτοὺς σαλευθῆναι ὑπ᾿ αὐτῶν.
85. ᾿Ανίσχυροι γεγόνασιν.
86. Πρόνοιαν αὐτῶν οὐκ ἔτι ἐποιήσω.
87. Τὴν περιτομὴν ἑαυτῶν κατέλεγεν.
88. Τὴν δόξαν αὐτῶν καὶ τὴν ὑπερηφανίαν εἰς σποδὸν κατήγαγες.
89. Τῆς αἰωνίου ζωῆς ἐστερήθησαν.
90. Καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι.
91. Ὁ προφήτης δέεται ὑπὲρ αὐτῶν· «Διὰ τί τελείως ἀποστρέφῃ αὐτούς;»
92. ᾿Επ᾿ αὐτοὺς ἐν τῇ παρουσίᾳ σου
93. Ὅτι γῆ καὶ σποδός εἰμι.
94. Μὴ γὰρ ἐπὶ τὸ ἀπολέσαι πεποίηκας τοὺς ἀνθρώπους;

95, 96. Τίς δύναται τῶν ἀνθρώπων ζῆσαι, καὶ μὴ ἰδεῖν θάνατον; Καὶ ἐὰν ἴδῃ θάνατον, τίς δύναται ῥύσασθαι τὴν ἑαυτοῦ ψυχήν, εἰ μὴ σὺ μόνος ὁ δι᾿ ἡμᾶς γενόμενος ἄνθρωπος; Οὐ μόνον γὰρ ἑαυτὸν ἀνέστησεν, ἀλλὰ «καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἤγειρεν.[1]»

97, 98. Ποῦ εἰσιν, ἃ ἐπηγγείλω τῷ Υἱῷ σου ποιεῖν ἐπὶ πάντας ἐλέη;

99, 100. Μνήσθητι, Κύριε, ὅτι ὀνειδιζόμεθα ὑπὸ τῶν ἐναντίων δυνάμεων λεγόντων· Ποῦ εἰσιν ἃ ἐπηγγείλατο ὁ Θεὸς δείκνυσθαι ἔθνει τοῦ Δαυίδ;

101. Οἱ ᾿Ιουδαῖοι.

102. Ὅτε ὠνείδισαν τὸν Υἱόν σου τὸν δεδωκότα ἑαυτὸν ἀντάλλαγμα ὑπὲρ τοῦ λαοῦ σου τοῦ χρισθέντος.

103. ᾿Αμήν, ἀμήν.

«Προσευχὴ Μωϋσῆ ἀνθρώπου τοῦ Θεοῦ.» ΨΑΛΜ. ΠΘ΄.

1. Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ.
2. Πρὸ τοῦ ὄρη γενηθῆναι καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην.
3. Καὶ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ.
4. Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν.
5. Καὶ εἶπας· ᾿Επιστρέψατε, υἱοὶ τῶν ἀνθρώπων.
6. Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, Κύριε, ὡς ἡμέρα.
7. Ἡ ἐχθές, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί,
8. Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται.
9. Τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι·

1. Ματθ. 27, 52.

10. Τὸ πρωῒ ἀνθήσαι καὶ παρέλθοι·
11. Τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη.
12. Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου·
13. Καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν.
14. Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον [ἐνώπιον] σου·
15. Ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου.
16. Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον·
17. Καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν.
18. Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων·
19. Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη·
20. Ἐὰν δὲ ἐν δυναστείαις ὀγδοήκοντα ἔτη·
21. Καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος.
22. Ὅτι ἐπῆλθε πραότης ἐφ' ἡμᾶς καὶ παιδευθησόμεθα.
23. Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου;
24. Καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου ἐξαριθμήσασθαι;
25. Τὴν δεξιάν σου οὕτω γνώρισόν μοι·
26. Καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ.
27. Ἐπίστρεψον, Κύριε ἕως πότε;
28. Καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου.
29. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε·
30. Καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν,
31. Ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν.
32. Εὐφρανθείημεν [εὐφράνθημεν]·
33. Ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς·
34. Ἐτῶν, ὧν εἴδομεν κακά.
35. Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου·
36. Καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.
37. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς·
38. Καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς·
39. Καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφή περιέχει· «Προσευχὴ τῷ Μωϋσεῖ ἀνθρώπου τοῦ Θεοῦ.» Αὕτη οὖν ἑρμηνεία ὑπάρχει. «Μωϋσῆς» «ἀνάληψις» ἑρμηνεύεται. Πᾶς οὖν ἄνθρωπος τοῦ Θεοῦ προσεύχεται τὸν προκείμενον ψαλμὸν τῇ ἀναλήψει, τουτέστι τῷ Υἱῷ τοῦ Θεοῦ. Οὐ γὰρ εἶπε, «προσευχὴ Μωϋσέως», ἀλλὰ «τῷ Μωϋσεῖ» ὡσανεὶ τῇ ἀναλήψει [τουτέστι] τῷ Υἱῷ τοῦ Θεοῦ, καθὼς προείπαμεν, ὅτι ἕκαστος τῶν τοῦ Θεοῦ ἀνθρώπων οὕτως προσεύχεται, καθὼς ὁ ψαλμὸς περιέχει.

1. Ἀπὸ Ἄβελ, καὶ καθ' ἑκάστην γενεάν.

2, 3. Ὡς γὰρ ἀίδιος Θεὸς πάντων προϋπάρχων, ὡς πάντων Δημιουργός, οὔτε ἀρχὴν ἡμερῶν ἔχετο, οὔτε ζωῆς τέλος.

4. Μὴ οὕτως ἐάσῃς ἡμᾶς ἐν ἁμαρτίαις ὄντας ἀποστρέψαι εἰς γῆν, ἐξ ἧς ἐλήφθημεν.

5. Καὶ εἶπας· «Οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν.[1]»

6. Ἡ ἡμέρα τῆς κρίσεως.

7. Ὡς ἡ παρελθοῦσα ἡμέρα, οὕτως διέρχεται καὶ ἡ ἡμέρα τῆς κρίσεως· καὶ ὥσπερ ἐν νυκτὶ φυλακή ἐστιν, οὕτως καὶ μετὰ τὴν ἡμέραν τῆς κρίσεως ἀσφάλεια ἔσεται καὶ τῆς αἰωνίου ζωῆς καὶ τῆς αἰωνίου κολάσεως.

8. Αἱ κολάσεις αὐτῶν, ἐν αἷς ἀναρίθμητοι ἔσονται.

9. Ἡ νηπιότης ὡς χλόη παρέλθοι.

10. Καὶ πάλιν εὐθέως ἡ νηπιότης ἀνθήσει εἰς νεότητα καὶ αὐτὴ ὁμοίως παρελεύσεται.

11. Ὅταν δὲ γηράσῃ, συγκαμφθήσεται καὶ τελευτήσει.

12. Ὅτι ἡμαρτηκότων ἡμῶν διὰ τῆς παρακοῆς ὠργίσθης καὶ ἀπέστρεψας ἡμᾶς.

13. Ὅτι ἐλήφθη με καὶ θυμωθέντος σου ἀφανισμὸς ἐγενόμεθα.

14. Ἀναγεγραμμέναι εἰσὶν ἡμῶν αἱ ἀνομίαι ἐνώπιόν σου.

15. Ἡ ζωὴ ἡμῶν γένηται πεφωτισμένη διὰ τῆς παρουσίας σου.

16. Ὅτι λοιπὸν πεπλήρωται ὁ αἰὼν οὗτος.

17. Ὁ γὰρ πρότερος αἰὼν ἐνακοσίων ἐτῶν ἦν ἡ ζωὴ τῶν ἀνθρώπων, νῦν δὲ ἠλαττώθησαν εἰς ρκ΄ ἔτη.

18. Τὰ ἔτη ἡμῶν οἰκτρὰ καὶ ἀνίσχυρα γεγόνασιν.

19-21. Εἰς ἑβδομήκοντα γὰρ καὶ ὀγδοήκοντα ἔτη ἐφθάσαμεν· ἐὰν δὲ πλείονα ζήσῃ ἄνθρωπος, κόπος ἐστὶ καὶ πόνος διὰ τὴν ἁμαρτίαν τὴν οὖσαν ἐν τῷ κόσμῳ.

22. Ὅτι Υἱὸς τοῦ Θεοῦ ἦλθε καὶ παιδευόμεθα καταφρονεῖν τῆς ζωῆς ταύτης.

23. Τίς οἶδε τὰ αἰωνίου κολάσεως;

24. Ὁ ἔχων τὸν φόβον σου δύναται ἐπιγνῶναι τὴν κρίσιν σου.

25. Τὸ δυνατόν σου διὰ τοῦ φόβου σου ποίησόν με εἰδέναι.

26. Καὶ τοὺς ταπεινοὺς τῇ καρδίᾳ τοὺς πεπληρωμένους τῇ χάριτί σου ποίησόν με εἰδέναι.

27. Ἐλθὲ πρὸς ἡμᾶς, Κύριε.

28. Περὶ τῶν προτέρων χρόνων τῆς ἁμαρτίας.

29. Ἀνατείλαντός σου, ἐπληρώθημεν τῆς χάριτός σου.

30. Ἐν Πνεύματι ἁγίῳ.

31. Ἐν παντὶ ἔργῳ ἀγαθῷ.

32. Ἐν τῷ νῦν αἰῶνι.

33, 34. Ἐν τῷ καιρῷ τῆς ἁμαρτίας.

35. Τοὺς πιστεύοντας εἰς σέ.

---

1. Ἰεζ. 33, 11.

36. Τὰ ἔργα αὐτῶν τὰ ἀγαθά.
37. Ἡ χάρις αὐτοῦ.
38. Καὶ τὰς δεήσεις τῶν καρδιῶν ἡμῶν τὰς ἀγαθὰς πλήρωσον ἐν ἡμῖν.
39. Καὶ τὴν θέλησιν τῆς δεήσεως ἡμῶν κατεύθυνον εἰς πᾶν ἔργον ἀγαθόν.

«Αἶνος ᾠδῆς τῷ Δαυίδ, ἀνεπίγραφος παρ' Ἑβραίοις.»
ΨΑΛΜ. ϟ΄.

1. Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου,
2. Ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.
3. Ἐρεῖ τῷ Κυρίῳ· Ἀντιλήπτωρ μου εἶ,
4. Καὶ καταφυγή μου, ὁ Θεός μου· καὶ ἐλπιῶ ἐπ' αὐτόν·
5. Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν,
6. Καὶ ἀπὸ λόγου ταραχώδους.
7. Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι·
8. Καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς.
9. Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ·
10. Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ.
11. Ἀπὸ βέλους πετομένου ἡμέρας·
12. Ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου,
13. Ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.
14. Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς,
15. Καὶ μυριὰς ἐκ δεξιῶν σου·
16. Πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ.
17. Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις·
18. Καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει.
19. Ὅτι σύ, Κύριε, ἡ ἐλπίς μου·
20. Τὸν Ὕψιστον ἔθου καταφυγήν σου.
21. Οὐ προσελεύσεται πρὸς σὲ κακά·
22. Καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου.
23. Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ,
24. Τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.
25. Ἐπὶ χειρῶν ἀροῦσί σε·
26. Μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.
27. Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ·
28. Καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.
29. Ὅτι ἐπ' ἐμὲ ἤλπισε καὶ ῥύσομαι αὐτόν,
30. Σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου.
31. Κεκράξεται πρὸς μέ, καὶ ἐγὼ ἐπακούσομαι αὐτοῦ·
32. Μετ' αὐτοῦ εἰμι ἐν θλίψει·
33. Ἐξελοῦμαι αὐτόν, καὶ δοξάσω αὐτόν.

34. Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν·
35. Καὶ δείξω αὐτῷ τὸ Σωτήριόν μου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Αἶνος ᾠδῆς τῷ Δαυίδ, ἀνεπίγραφος παρ' Ἑβραίοις», τουτέστι τῷ «ἱκανῷ τῇ χειρί», τῷ Υἱῷ τοῦ Θεοῦ. Τὸ δέ, «ἀνεπίγραφος παρ' Ἑβραίοις», τοῦτο λέγει, ὡς νομίζω· Οὗτος ὁ ψαλμὸς οὐκ ἀναγέγραπται ἐν ταῖς καρδίαις τῶν Ἑβραίων. Προστάσσει γὰρ αὐτοῖς ὁ ψαλμὸς ἐπιμένειν τῷ Θεῷ καὶ τῇ αὐτοῦ βοηθείᾳ. Οἱ δὲ Ἑβραῖοι οὐκ ἠθέλησαν ἐμμεῖναι. Οὐκοῦν δικαίως ἐπιγέπραπται ὁ ψαλμὸς ἀνεπίγραφος παρ' Ἑβραίοις, ὡσανεὶ οὐκ ἐνέμειναν ἐν τῇ βοηθείᾳ τοῦ Ὑψίστου, ὡς μεμφόμενος αὐτοὺς καὶ ἐν ἑτέρῳ λέγει· «Αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ βοηθείᾳ μου κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος.[1]»

1. Ὁ πᾶσαν τὴν μέριμναν τῆς ἐλπίδος αὐτοῦ ἔχων ἐπὶ τὸν Θεόν.
2. Τετείχισται ὑπὸ τῆς χάριτος αὐτοῦ.
3. Λέγει γὰρ προσευχόμενος τῷ Κυρίῳ· οὐκ ἐᾷς με, Κύριε, κυριευθῆναι ὑπό τινος.
4. Ἀπὸ πάσης χειμασίας λιμήν μου ὑπάρχεις, ὁ Θεός μου· πιστεύω γὰρ εἰς σέ.
5. Ἀπὸ πάσης φιλαργυρίας.
6. Καὶ ἀπὸ πάσης διδασκαλίας διαβόλων.
7. Ἐν τοῖς χαρίσμασιν ἀναπαύσει σε.
8. Καὶ ἐν ταῖς δυσὶν αὐτοῦ Διαθήκαις πιστεύσας σωθήσῃ.
9. Ἄτρωτόν σε φυλάξει ἡ χάρις αὐτοῦ.
10. Ἀπὸ πάσης ἀπειλῆς τοῦ διαβόλου.
11. Ἀπὸ λογισμοῦ δαιμονιώδους.
12. Ἀπὸ πάσης ἡδονῆς τοῦ διαβόλου.
13. Ἀπὸ πάσης ἁμαρτίας ἐπιμενούσης, καὶ δαιμονίου ἐκχέοντος εἰς ἐπιθυμίας πονηράς.
14. Σημειωσαμένου σου τὸ σημεῖον τοῦ σταυροῦ.
15. Πᾶσαι αἱ ἐναντίαι δυνάμεις συντριβήσονται.
16. Καὶ οὐδεὶς αὐτῶν πλησιάσει σοι.
17. Ὅμως νῆφε τοῖς τῆς διανοίας ὀφθαλμοῖς.
18. Καὶ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ὄψῃ τὴν αἰώνιον κόλασιν τοῦ διαβόλου, καὶ τῶν ἀγγέλων αὐτοῦ, καὶ τῶν αὐτοῖς πειθομένων.

19-21. «Οὐ προσελεύσεται πρὸς σὲ κακά», καὶ λέγε· «Σύ, Κύριε, ἡ ἐλπίς μου·» ὁ δὲ Κύριος· «Ἐμὲ θοῦ βοηθόν σου, οὐ πλησιάσει κακόν τι.»

---

1. Ἱερ. 38, 32. Ἑβρ. 8, 9.

22. Καὶ δυναστεία τοῦ διαβόλου οὐ κυριεύσει σου.
23, 24. Ὅτι προστάξει τοῖς ἀγγέλοις αὐτοῦ λυτροῦσθαί σε ἀπὸ πάσης πλάνης.
25. Καὶ ὁδηγοῦσί σε εἰς πᾶν ἔργον ἀγαθόν.
26. Μήποτε κατὰ Θεὸν ἐπιτελοῦντός σου ἔργον ἐνθυμηθῇς, τίς ἐπιθυμία τοῦ διαβόλου, καὶ ἐκκλίνῃς ἀπ' αὐτῆς.
27. Ἐπὶ τὴν ἰοβόλον καὶ τυραννικὴν ἐνέργειαν τοῦ διαβόλου κατισχύσεις.
28. Καὶ τὸ κράτος αὐτῶν συντρίψεις.
29. Ὅτι ἐμὲ βοηθὸν ἔθετο ἐν τῇ καρδίᾳ αὐτοῦ.
30. Φυλάξω αὐτόν, ὅτι πεπίστευκεν εἰς ἐμέ.
31. Τὸ θέλημα αὐτοῦ ποιήσω.
32. Βοηθὸς αὐτοῦ ἔσομαι ἐν τῇ ἡμέρᾳ τῆς ἀπολογίας.
33. Ἐκ τῆς αἰωνίου κολάσεως λυτρωσάμενος αὐτόν, μεταστήσω αὐτὸν ἐν τῇ βασιλείᾳ μου.
34. Εἰς τὰς αἰωνίους ἀναπαύσεις εἰσαγάγω αὐτόν.
35. Τὴν ἀνταπόδοσίν μου.

«Ψαλμὸς ᾠδῆς, εἰς τὴν ἡμέραν τοῦ Σαββάτου.»
ΨΑΛΜ. ϟΑ′.

1. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ,
2. Καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.
3. Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου,
4. Καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα,
5. Ἐν δεκαχόρδῳ ψαλτηρίῳ, μετ' ᾠδῆς ἐν κιθάρᾳ.
6. Ὅτι εὔφρανάς με, Κύριε, ἐν τῷ ποιήματί σου·
7. Καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι.
8. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε·
9. Σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου.
10. Ἀνὴρ ἄφρων οὐ γνώσεται·
11. Καὶ ἀσύνετος οὐ συνήσει ταῦτα.
12. Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς ὡσεὶ χόρτον,
13. Καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.
14. Ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
15. Σὺ δὲ Ὕψιστος εἰς τὸν αἰῶνα, Κύριε.
16. Ὅτι ἰδοὺ οἱ ἐχθροί σου, Κύριε, ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἀπολοῦνται.
17. Καὶ διασκορπισθήσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.
18. Καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου·
19. Καὶ τὸ γῆράς μου ἐν ἐλαίῳ πίονι.
20. Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου·

21. Καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ᾿ ἐμὲ πονηρευομένοις ἀκούσεται τὸ οὖς μου.
22. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει·
23. Ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.
24. Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου,
25. Ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.
26. Ἔτι πληθυνθήσονται ἐν γήρᾳ πίονι.
27. Καὶ εὐπαθοῦντες ἔσονται τοῦ ἀναγγεῖλαι·
28. Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν·
29. Καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

᾿Αθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς ᾠδῆς, εἰς τὴν ἡμέραν τοῦ Σαββάτου», ὅπερ ἑρμηνεύεται «εἰς τὴν συντέλειαν.» Τοῦτο γὰρ δηλοῖ τὸ «Σάββατον», ὅπερ ἑρμηνευόμενον λέγεται «κατάπαυσις.»

1. Τὰ κρυπτὰ τῆς καρδίας διηγεῖται τῷ Κυρίῳ.
2. Ἐν μελέτῃ ἐπαίνουσά [ἐπαίνεσίν] σοι προσφέρειν.
3. Τοῦ διηγεῖσθαι φανερῶς τὸ πῶς ἠλεήθης.
4. Καὶ κατὰ πάσης ἁμαρτίας προσφέρειν τὴν ἀλήθειαν τῶν προσταγμάτων σου.
5. Ἐν ταῖς δέκα ἐντολαῖς νεκρώσας τὸ σῶμα ἐν τῇ διανοίᾳ ἐν ψαλμοῖς ᾄδειν τῷ Κυρίῳ.
6. Τὴν καρδίαν μου διὰ τῶν ἐντολῶν σου.
7. Ἐν τοῖς προστάγμασι τοῦ Πνεύματός σου.
8. Ἐδοξάσθησαν τὰ κρίματά σου.
9. Ἀνεξιχνίαστοί εἰσιν αἱ βουλαί σου.
10. «Ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ.[1]»
11. Ἐν πλούτῳ γὰρ καὶ ὑπεροχῇ ὄντες συγχωροῦνται [συγχεοῦνται] ὑπὸ τῆς τοῦ βίου μερίμνης.
12. Ἑωράθησαν μόνον δεδοξασμένοι ἐν τῷ κόσμῳ.
13. Εἰς τὴν μέλλουσαν κρίσιν.
14. Εἰς τὸ πῦρ τὸ αἰώνιον.
15. Δεδοξασμένος εἶ ἀπαύστως.
16. Οἱ δαίμονες.
17. Οἱ πειθόμενοι αὐτοῖς εἰς ἀπώλειαν ἔσονται.
18. Ἐν τοῖς οὐρανοῖς ἔσται ἡ ὕπαρξίς μου.
19. Καὶ τὰ τέλη μου ἐν ἀναπαύσει πολλῇ.
20. Καὶ εἶδεν ὁ ὀφθαλμός μου πῶς παραδίδονται εἰς κόλασιν αἰώνιον οἱ ἀσεβεῖς ἄνδρες.

---

1. Α΄ Κορ. 2, 14.

21. Καὶ κατὰ τῶν ἐναντίων δυνάμεων ἐκφερομένην τὴν ἀπόφασιν ὑπὸ τοῦ Κυρίου ἀκούσω.
22. Καθαρὸς εὑρεθήσεται τῇ καρδίᾳ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.
23. Εἰς ἀφθάρτους αἰῶνας διαμενεῖ.
24. Ἐν τῇ ἄνω Ἱερουσαλήμ.
25. Διαπαντὸς ἐκλάμψουσιν εἰς τὰς αἰωνίους ἀναπαύσεις.
26. Εἰς ἀτελευτήτους αἰῶνας διαμενοῦσιν.
27. Εὐθηνοῦντες ἐν ἀγαθοῖς ἔσονται, τοῦ ψάλλειν τῷ Θεῷ.
28, 29. Ἀληθὴς Κύριος ὁ Θεὸς ἡμῶν καὶ οὐδὲν ψεῦδος παρὰ τῷ Θεῷ.

«Αἶνος ᾠδῆς τῷ Δαυίδ, εἰς τὴν ἡμέραν τοῦ προσαββάτου, ὅτε κατῴκιστο ἡ γῆ.» ΨΑΛΜ. ϞΒ΄.

1. Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.
2. Ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.
3. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.
4. Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε·
5. Ἀπὸ τοῦ αἰῶνος σὺ εἶ.
6. Ἐπῆραν οἱ ποταμοί, Κύριε·
7. Ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν.
8. Ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν·
9. Ἀπὸ φωνῶν ὑδάτων πολλῶν
10. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης·
11. Θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος.
12. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα·
13. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Αἶνος ᾠδῆς τῷ Δαυίδ, [εἰς τὴν ἡμέραν τοῦ προσαββάτου, ὅτε κατῴκιστο] ἀνεπίγραφος παρ' Ἑβραίοις.» Τοῦτο δὲ λέγει· αἶνος «τῇ χειρί», τουτέστι «τῷ Υἱῷ ψαλμός», καὶ τό· «εἰς τὴν ἡμέραν τοῦ προσαββάτου, ὅτε κατῴκιστο»], ὅτι βασιλεύει διὰ τῆς πίστεως ἐπὶ πάντα τὰ ἔθνη. Ἐπειδὴ δὲ οἱ Ἑβραῖοι οὐκ ἐδέξαντο τὴν βασιλείαν τοῦ Θεοῦ, διὰ τοῦτο ἐπιγέγραπται «ἀνεπίγραφος παρ' Ἑβραίοις, ὡσανεὶ οὐ γέγραπται ταῖς καρδίαις αὐτῶν, περὶ οὗ διαγορεύει ὁ ψαλμός.

1. Ἐβασίλευσεν ἐπὶ τοὺς οὐρανούς, καὶ τὸν πιστὸν λαὸν περιεποιήσαντο διὰ τοῦ αἵματος αὐτοῦ.
2. Ἐξῆλθεν εἰς πόλεμον κατὰ τοῦ διαβόλου.

3. Ἐστερέωσε τὴν Ἐκκλησίαν ἐν τῇ πίστει αὐτοῦ, «Καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.[1]»
4. Ἀεὶ ὑπῆρχεν ἡ βασιλεία σου.
5. Ὁ ὀφθεὶς ἐπὶ τῆς γῆς.
6. Οἱ εὐαγγελισταὶ τὸ κήρυγμα αὐτῶν.
7. Ἀνύψωσαν μεγάλῃ τῇ φωνῇ μετὰ παρρησίας τὸ κήρυγμα αὐτῶν.
8. Ἀποχωρίσουσιν οἱ εὐαγγελισταὶ τὰς ἑαυτῶν διδασκαλίας.
9. Ἀπὸ τῆς διδαχῆς τῆς ἐν τῷ κόσμῳ, τουτέστι τῆς σοφίας τῆς ἐν τῷ κόσμῳ.
10. Δεδοξασμένοι οἱ ἅγιοι ἐν τῷ κόσμῳ.
11. Δεδοξασμένος ἐν τοῖς ἁγίοις ὁ Κύριος.
12. Τὰ παθήματά σου ἐπιστεύθησαν ἐν τῷ κόσμῳ.
13. Τῷ λαῷ σου πρέπει ἡ χάρις σου εἰς τοὺς ἀτελευτήτους αἰῶνας.

«Ψαλμὸς τῷ Δαυὶδ τετράδι Σαββάτου.»
ΨΑΛΜ. ϞΓ'.

1. Θεὸς ἐκδικήσεων Κύριος, Θεὸς ἐκδικήσεων ἐπαρρησιάσατο.
2. Ὑψώθητι, ὁ κρίνων τὴν γῆν·
3. Ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις.
4. Ἕως πότε ἁμαρτωλοί, Κύριε;
5. Ἕως πότε ἁμαρτωλοὶ καυχήσονται;
6. Φθέγξονται καὶ λαλήσουσιν ἀδικίαν;
7. Λαλήσουσι πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.
8. Τὸν λαόν σου, Κύριε ἐταπείνωσαν·
9. Καὶ τὴν κληρονομίαν σου ἐκάκωσαν.
10. Χήραν καὶ ὀρφανὸν ἀπέκτειναν·
11. Καὶ προσήλυτον ἐφόνευσαν.
12. Καὶ εἶπον· Οὐκ ὄψεται Κύριος·
13. Οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ.
14. Σύνετε δή, ἄφρονες, ἐν τῷ λαῷ·
15. Καὶ μωροὶ ποτέ, φρονήσατε.
16. Ὁ φυτεύσας τὸ οὖς οὐχὶ ἀκούει;
17. Ἢ ὁ πλάσας τὸν ὀφθαλμὸν οὐχὶ κατανοεῖ;
18. Ὁ παιδεύων ἔθνη οὐχὶ ἐλέγξει;
19. Ὁ διδάσκων ἄνθρωπον γνῶσιν;
20. Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι.
21. Μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃς, Κύριε·

1. Ματθ. 16, 18.

22. Καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν.
23. Τοῦ πραῦναι αὐτὸν ἀφ' ἡμερῶν πονηρῶν.
24. Ἕως οὗ ὀρυγῇ τῷ ἁμαρτωλῷ βόθρος.
25. Ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ·
26. Καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει.
27. Ἕως οὗ δικαιοσύνη ἐπιστρέψῃ εἰς κρίσιν.
28. Καὶ ἐχόμενοι αὐτῆς πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.
29. Τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένοις [πονηρευομένους];
30. Ἢ τίς συμπαραστήσεταί μοι ἐπὶ τοῖς ἐργαζομένοις τὴν ἀνομίαν;
31. Εἰ μὴ ὅτι Κύριος ἐβοήθησέ μοι·
32. Παρὰ βραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου.
33. Εἰ ἔλεγον· Σεσάλευται ὁ πούς μου·
34. Τὸ ἔλεός σου, Κύριε, ἐβοήθει μοι.
35. Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου.
36. Μὴ συμπροσέστω σοι θρόνος ἀνομίας,
37. Ὁ πλάσσων κόπον ἐπὶ πρόσταγμα;
38. Θηρεύουσιν ἐπὶ ψυχὴν δικαίου·
39. Καὶ αἷμα ἀθῷον καταδικάσονται.
40. Καὶ ἐγένετό μοι Κύριος εἰς καταφυγήν·
41. Καὶ ὁ Θεός μου εἰς βοηθὸν ἐλπίδος μου.
42. Καὶ ἀποδώσει αὐτοῖς Κύριος τὴν [κατὰ τὴν] ἀνομίαν αὐτῶν.
43. Καὶ κατὰ τὴν πονηρίαν αὐτῶν.
44. Ἀφανιεῖ αὐτοὺς Κύριος ὁ Θεὸς [ἡμῶν].

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Δαυὶδ τετράδι Σαββάτου·» ὡς πολλάκις εἰρήκαμεν· «Ψαλμὸς [τῷ Δαυίδ», τουτέστι] «τῷ ἱκανῷ τῇ χειρί», τουτέστι τῷ Υἱῷ τοῦ Θεοῦ. Εἶτα «τετράδι Σαββάτου», ὅπερ δηλοῖ, ὅτι περὶ νηστειῶν καὶ ἐγκρατείας δηλοῖ ὁ ψαλμός· οὕτως γὰρ ἔθος ἔχειν τὴν τετράδα. «Τοῦ» δὲ «Σαββάτου» σημαίνει, ὅτι καὶ περὶ τῆς μελλούσης κρίσεως ὁ ψαλμὸς εἴρηται. Κατάπαυσις γὰρ τὸ Σάββατον εἴρηται.

1. Ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ὅτε «ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη[1]», ἔλεγεν τοῖς τῶν Ἰουδαίων ἀρχιερεῦσιν· «Ἐγὼ παρρησίᾳ ἐλάλησα ἐν τῷ ἱερῷ.[2]»
2. Δοξάσθητι, ὁ Υἱὸς τοῦ Θεοῦ.
3. Ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.
4. Ἐντρυφῶσι τῷ κόσμῳ;

1. Βαρ. 3, 38. 2. Ἰω. 18, 20.

5. Ἐπὶ τῇ ἀλαζονείᾳ καὶ ἁρπαγῇ αὐτῶν.
6. Κατὰ σοῦ, Κύριε.
7. Καυχήσονται ἐν ταῖς ἀλαζονείαις αὐτῶν.
8. Τοὺς πιστεύοντας εἰς σὲ ἀπέκτειναν.
9. Τοὺς ἁγίους σου ἐν φυλακαῖς κατέκλεισαν.
10. Τοὺς πτωχοὺς τοῦ λαοῦ σου.
11. Καὶ τῶν πενήτων κατεδυνάστευσαν.
12. Οὐ ποιεῖται πρόνοιαν τῶν ἀνθρώπων.
13. Οὐδὲ νοεῖ τὰ γεγενημένα.
14. Νοήσατε, οἱ λέγοντες εἶναι Θεόν.
15. Καὶ οἱ ἀσύνετοι, ἀνανήψατε.
16. Ὁ ἰασάμενος τὸν δοῦλον τοῦ ἀρχιερέως, ὅτε Πέτρος ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον μόνον ἀψάμενος[1], καὶ αὐτὸς ὁ ἰασάμενος ἆρα οὐκ ἀκούει;
17. Ὁ τοῦ ἐκ γεννητῆς τυφλοῦ τῷ ἰδίῳ πτύσματι τοὺς ὀφθαλμοὺς πλάσας;[2]
18, 19. Ὁ ἐνοικῶν εἰς τὰς καρδίας τῶν πιστευόντων εἰς αὐτὸν καὶ διδάσκων αὐτοὺς τὸ θέλημα αὐτοῦ οὐκ ἔχει ἐλέγξαι ὑμᾶς ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως;
20. Ὅτι ἀνωφελεῖς εἰσιν αἱ σοφίαι τῶν ἀνθρώπων.
21. Διὰ τῆς χάριτός σου, ὃν ἂν παιδεύσῃς ἐπιγνῶναι τὰ προστάγματά σου,
22. Διδάξεις αὐτὸν ἐπιτελεῖν αὐτά.
23. Τοῦ τὴν εἰρήνην σου δοῦναι ἐν τῇ καρδίᾳ αὐτοῦ.
24. Ἕως οὗ τὸ αἰώνιον πῦρ δέξηται τὸν διάβολον.
25. Ὅτι οὐκ ἀπορρίψῃ Κύριος τὸν λαὸν αὐτοῦ.
26. Καὶ τοὺς ἁγίους αὐτοῦ οὐ παρίδῃ.
27. Ἕως οὗ ὁ Υἱὸς τοῦ Θεοῦ ἔλθῃ κρῖναι τὴν οἰκουμένην.
28. Καὶ πλησίον αὐτοῦ πάντες οἱ ἅγιοι αὐτοῦ.
29. Τίς ἂν ἕτερος ἦλθε πολεμῆσαι κατὰ τῶν ἐναντίων δυνάμεων;
30. Ἢ τίς συναντιλάβεταί μοι ἐπὶ τὰ πνεύματα ἀκάθαρτα;
31. Εἰ μὴ ὁ Θεὸς τοῦ Θεοῦ ἐβοήθησέ μοι.
32. Παρ' ὀλίγον ἐναπέμεινα τῷ θανάτῳ τῆς ἁμαρτίας.
33. Εἰ ἔβλεπον ἑαυτὸν πειραζόμενον, καὶ ἐβόων πρὸς σέ.
34. Εἰ μὴ ὁ Υἱὸς τοῦ Θεοῦ ἐβοήθησέ μοι.
35. Κατὰ τὸ πλῆθος τῶν ἐναντίων δυνάμεων τῶν ἐπανισταμένων ἐν τῇ καρδίᾳ μου ὑπερεπερίσσευσεν ἡ χάρις σου, καὶ ἐκβαλὼν τὰς ἐκείνων ἐνθυμήσεις εἰς εὐφροσύνην καὶ χαρὰν μετέβαλε τὴν ψυχήν μου.
36. Μὴ ἐνοικείτω ἐν τῇ καρδίᾳ μου δυναστεία τοῦ διαβόλου.
37. Ὁ κατὰ τὸ πρόσταγμα τοῦ Θεοῦ ἀσκεῖσθαι βουλόμενος.

1. Πρβλ. Λουκ. 22, 50-51. 2. Πρβλ. Ἰω. 9, 6-7.

38. Θηρεύσουσι γὰρ οἱ δαίμονες, εἰ δυνατόν, καὶ ψυχὰς δικαίας.

39. Καὶ τὰς τῶν ἁγίων ψυχὰς συκοφαντοῦσιν, ὡς ὑποκειμένας ἁμαρτίᾳ.

40. Αὐτῷ γὰρ προσδραμὼν ἐρρύσθην ἐν τῷ ἐχθρῷ μου.

41. Ἐλυτρώσατό με ἐξ αὐτῶν.

42. Ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

43, 44. Καὶ κατὰ τὴν κακίαν αὐτῶν παραδώσει εἰς κόλασιν αἰώνιον.

«Αἶνος ᾠδῆς τῷ Δαυίδ, ἀνεπίγραφος παρ' Ἑβραίοις.»
ΨΑΛΜ. ϟΔ΄.

1. Δεῦτε, ἀγαλλιασώμεθα τῷ Κυρίῳ·

2. Ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν.

3. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει·

4. Καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ.

5. Ὅτι Θεὸς μέγας Κύριος·

6. Καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν [ἐπὶ πάντας τοὺς λαούς].

7. Ὅτι ἐν τῇ χειρὶ [ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ· ὅτι ἐν τῇ χειρί, κλ.] αὐτοῦ τὰ πέρατα τῆς γῆς·

8. Καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν.

9. Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα καὶ αὐτὸς ἐποίησεν αὐτήν·

10. Καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.

11. Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ·

12. Καὶ κλαύσωμεν ἐναντίον Κυρίου, τοῦ ποιήσαντος ἡμᾶς.

13. Ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν·

14. Καὶ ἡμεῖς λαὸς νομῆς αὐτοῦ.

15. Καὶ πρόβατα χειρὸς αὐτοῦ.

16. Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε,

17. Μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ.

18. Κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ·

19. Οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν.

20. Ἐδοκίμασάν με καὶ εἶδον τὰ ἔργα μου.

21. Τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ·

22. Καὶ εἶπα· Ἀεὶ πλανῶνται τῇ καρδίᾳ.

23. Αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου·

24. Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου· Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Αἶνος ᾠδῆς τῷ Δαυίδ, ἀνεπίγραφος παρ' Ἑβραίοις», ὡς πολλάκις εἰρήκαμεν, αἶνος ᾠδῆς «τῷ

ἱκανῷ τῇ χειρί», τουτέστι «τῷ Υἱῷ τοῦ Θεοῦ.» Εἶτα «ἀνεπίγραφος παρ' Ἑβραίοις» ὡς πολλάκις εἰρήκαμεν· οὐ γὰρ ἔχουσι τὴν διδασκαλίαν τοῦ ψαλμοῦ ἐν ταῖς καρδίαις αὐτῶν. Τοῦ γὰρ ψαλμοῦ καλοῦντος αὐτοὺς πρὸς τὸν Κύριον, καὶ πάλιν λέγοντος· «Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν.» Λαλοῦντος δὲ αὐτοῖς τοῦ Κυρίου ἐν τῇ παρουσίᾳ αὐτοῦ, οὐχ ὑπήκουσαν αὐτοῦ· διὸ ἐπιγέγραπται ἀνεπίγραφος παρ' Ἑβραίοις. Τῆς γὰρ παραγγελίας τοῦ ψαλμοῦ οὐχ ὑπήκουσαν ὡς μὴ ἔχοντες αὐτὸν ἐν αὐτοῖς. Οὐκοῦν «ἀνεπίγραφος παρ' Ἑβραίοις ὁ ψαλμός», ὡσανεὶ ἀπρόσδεκτος· οὐ γὰρ ὑπήκουσαν αὐτοῦ.

1. Δεῦτε, πληρωθῶμεν πάσης χαρᾶς ἐν Κυρίῳ.

2. Δεηθῶμεν μετὰ δακρύων τοῦ Θεοῦ ἡμῶν Ἰησοῦ· τὸ γὰρ «Σωτήρ», «Ἰησοῦς» ἑρμηνεύεται.

3. Καὶ πρὸ τῆς παρουσίας αὐτοῦ δεηθῶμεν αὐτοῦ.

4. Καὶ ψάλλοντες ἱκετεύσωμεν αὐτόν.

5. Ἰησοῦς Χριστός· καθὼς ὁ Ἀπόστολος αὐτὸν λέγει μέγαν Θεὸν ἐν τῷ εἰπεῖν· «Τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν.[1]»

6. Ἐπὶ πάντα δὲ τὰ ἔθνη βασιλεύσει διὰ τῆς πίστεως αὐτοῦ.

7. Ὁ λαὸς ὁ πιστός.

8. Οἱ λόγοι τῶν προφητῶν.

9. Ὅτι αὐτοῦ ἐστι πᾶν τὸ πλῆθος τῶν ἀνθρώπων καὶ αὐτὸ καὶ τὸ πρῶτον ἐδημιούργησεν αὐτοὺς καὶ πάλιν ἐν τῷ βαπτίσματι ἀνεκαίνισεν.

10. Καὶ τὴν καρδίαν πάντων ἔκτισε τὸ Πνεῦμα τὸ ἅγιον αὐτοῦ ἐν τῷ λουτρῷ τῆς ἀφθαρσίας.

11. Πρῶτον αὐτῷ κλίνωμεν γόνυ, ὡς ὑπεύθυνοι ὄντες, καὶ τότε συγχώρησιν αἰτήσωμεν, ὧν ὀφείλομεν αὐτῶν.

12. Ἐξομολογησόμεθα ἐνώπιον Κυρίου τοῦ ἀνακαινίσαντος ἡμᾶς.

13. Ὃς ἐφορᾷ πάντας.

14. Καὶ ἡμεῖς λαὸς τῆς αὐλῆς αὐτοῦ.

15. Καὶ πρόβατα τῆς δεξιᾶς αὐτοῦ.

16. Ἀφ' οὗ ὀφθῇ ἐπὶ τῆς γῆς καὶ ἀκούετε τῆς φωνῆς αὐτοῦ καὶ τῶν κηρυσσόντων αὐτόν.

17. Μὴ γίνεσθε λιθοκάρδιοι.

18. Ὡς οἱ πρὸ ἡμῶν οἱ παραπικράναντες αὐτὸν ἐν τῇ ἐρήμῳ.

19. Μηδὲ ὑμεῖς οὕτως αὐτὸν μέλλετε πειράζειν ἐν τῇ παρουσίᾳ αὐτοῦ, ὡς οἱ πατέρες ὑμῶν ἐπείρασάν με.

20. Ἔχουσι πεῖραν πάντων ὧν ἐπήγαγεν αὐτοῖς.

---

1. Τίτ. 2, 13-14.

21. Τεσσαράκοντα ἔτη παρέμεινα ἐν γενεᾷ ἐκείνῃ ὀργιζόμενος ἐπὶ τοῖς ἔργοις αὐτῶν καὶ μακροθυμῶ.
22. Καὶ εἶπα· Οὐκ ἔστι πίστις ἐν αὐτοῖς.
23. Αὐτοὶ δὲ οὐκ ἠθέλησαν εἰδέναι τὰς ἐντολάς μου.
24. Ὡς ὥρισα περὶ αὐτῶν· Εἰ εἰσελεύσονται εἰς τὰς αἰωνίους μου ἀναπαύσεις.

«Αἶνος ᾠδῆς τῷ Δαυίδ, ὅτε ὁ οἶκος ᾠκοδόμητο μετὰ τὴν αἰχμαλωσίαν· ἀνεπίγραφος παρ' Ἑβραίοις.» ΨΑΛΜ. ϞΕ΄.»

1. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν·
2. Ἄσατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ.
3. Ἄσατε τῷ Κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ·
4. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ Σωτήριον αὐτοῦ.
5. Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ·
6. Ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ.
7. Ὅτι μέγας Κύριος καὶ αἰνετὸς σφόδρα.
8. Φοβεροὺς [φοβερός], ἐστιν ὑπὲρ πάντας τοὺς θεούς.
9. Ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια·
10. Ὁ δὲ Κύριος τοὺς οὐρανοὺς ἐποίησεν.
11. Ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτοῦ [αὐτῶν]·
12. Ἁγιωσύνη καὶ μελαγοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ.
13. Ἐνέγκατε τῷ Κυρίῳ, αἱ πατριαὶ τῶν ἐθνῶν,
14. Ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν·
15. Ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ.
16. Ἄρατε θυσίας καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ.
17. Προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.
18. Σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ.
19. Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι Κύριος ἐβασίλευσε.
20. Καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.
21. Κρινεῖ λαοὺς ἐν εὐθύτητι.
22. Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ·
23. Σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς·
24. Χαρήσεται τὰ πεδία καὶ πάντα τὰ ἐν αὐτοῖς.
25. Τότε ἀγαλλιάσονται τὰ ξύλα τοῦ δρυμοῦ,
26. Ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται·
27. Ὅτι ἔρχεται κρῖναι τὴν γῆν.
28. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ·
29. Καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ὠδὴ τῷ Δαυίδ, ὁπότε ὁ οἶκος ᾠκοδομήθη μετὰ τὴν αἰχμαλωσίαν· ἀνεπίγραφος παρ' Ἑβραίοις·»

σαφῶς εἰρήκαμεν, ὅτι τὸ «ᾠδὴ τῷ Δαυὶδ τῷ ἱκανῷ τῇ χειρί» ἐστι, τουτέστι τῷ μονογενεῖ Υἱῷ τοῦ Θεοῦ. Εἶτα, «ὁπότε ὁ οἶκος ᾠκοδομήθη», ὡσανεὶ οἱ πιστοὶ ᾠκοδομήθησαν ὑπὸ τοῦ Κυρίου, καθὼς ὁ Ἀπόστολος λέγει· «Χριστὲ δὲ ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκος ἡμεῖς ἐσμεν [Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ· οὗ οἶκός ἐσμεν ὑμεῖς[1]]. Εἶτα, «μετὰ τὴν αἰχμαλωσίαν», φημὶ μετὰ τὴν τοῦ ἐχθροῦ αἰχμαλωσίαν, ἣν ἐξῃχμαλώτευσε τὸ γένος τῶν ἀνθρώπων, τότε «ᾠκοδομήθη ὁ οἶκος, οἱ πιστοί», ὡς προειρήκαμεν· εἶτα λοιπὸν «ἀνεπίγραφος παρ' Ἑβραίοις.» Τὰ γὰρ ἐν αὐτῷ ἐγκείμενα οὐκ ἠθέλησαν νοῆσαι, ὡς μὴ ἔχοντες αὐτὸν ἐγγράφως. Διὸ καλῶς ἐπιγέγραπται «ἀνεπίγραφος παρ' Ἑβραίοις.»

1. Δοξάσατε τὸ πάθος αὐτοῦ.
2. Πάντα τὰ ἔθνη.
3. Ἄδοντες τοὺς ὕμνους αὐτοῦ, λέγετε τὰς εὐεργεσίας αὐτοῦ.
4. Διηγήσασθε, ὅτι διὰ τοῦ θανάτου αὐτοῦ σῳζόμεθα.
5. Κηρύξατε ἐν τοῖς ἔθνεσι τὸ πάθος αὐτοῦ.
6. Τὴν ἀνάστασιν αὐτοῦ.
7. Ὅτι ἄξιός ἐστι τοῦ δοξάζεσθαι διὰ τὴν ἰσχὺν αὐτοῦ.
8. Ἐπὶ τὰς ἐναντίας δυνάμεις.
9. Πνεύματα ἀκάθαρτα τηρούμενα εἰς κρίσιν αἰώνιον πυρός.[2]
10. Εἰς οὓς ἐκεῖνοι ἀνελθεῖν οὐδαμῶς.
11. Οἱ πιστεύοντες αὐτῷ.
12. Ἡ χάρις αὐτοῦ ἐπὶ τὸν λαὸν αὐτοῦ.
13, 14. Τὸν πιστὸν λαόν.
15. Τοὺς πιστεύοντας εἰς τὸ ὄνομα αὐτοῦ.
16. Ἐλεημοσύνην ποιοῦντες κοινωνεῖτε τοῖς μυστηρίοις αὐτοῦ. Τοιαύτας γὰρ θυσίας εὐαρεστεῖται ὁ Θεός.
17. Ἐν καρδίᾳ καθαρᾷ.
18. Μετατεθῶσιν ἀπὸ τῆς πλάνης εἰς τὴν ἀλήθειαν διὰ τῆς παρουσίας αὐτοῦ πάντα τὰ ἔθνη.
19. Κηρύξατε ἐν τοῖς ἔθνεσιν, ὅτι συνέτριψε τὰς ἐναντίας δυνάμεις.
20. Ἀνεκαίνισε τὰς καρδίας πάντων ἐν τῇ πίστει αὐτοῦ.
21. Διδάξει ποιεῖν τὰ ἔθνη ἀλήθειαν.
22. Αἱ ἐπουράνιοι δυνάμεις καὶ τὸ πλῆθος τῶν πιστευόντων.
23. Ταραχθήτω ὁ κόσμος καὶ ἐν αὐτῷ ἀρχαὶ καὶ ἐξουσίαι.
24. Αἱ ψυχαὶ τῶν πραέων καὶ ταπεινῶν.
25. Τὰ ἔθνη τὰ πρότερον μὲν ὄντα ἄκαρπα, νῦν δὲ πεπιστευκότα.
26. Ὀφθῆναι ἐπὶ τῆς γῆς.
27. Καὶ πάλιν ἐν τῇ ἐνδόξῳ αὐτοῦ παρουσίᾳ.

---

1. Ἑβρ. 3, 6. 2. Πρβλ. Β' Πέτρ. 2, 4. Ἰούδ. 6.

28. Πάντα τὸν κόσμον.
29. Ἀπροσωπολήπτως.

«Ψαλμὸς τῷ Δαυίδ· ὅτε ἡ γῆ αὐτοῦ ἀποκαθίστατο· ἀνεπίγραφος παρ' Ἑβραίοις.» ΨΑΛΜ. ϞϚ΄.

1. Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ.
2. Εὐφρανθήτωσαν νῆσοι πολλαί.
3. Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ·
4. Δικαιοσύνη καὶ κρῖμα κατόρθωσις τοῦ θρόνου αὐτοῦ.
5. Πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται·
6. Καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ.
7. Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ·
8. Εἶδε καὶ ἐσαλεύθη ἡ γῆ.
9. Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν ἀπὸ προσώπου Κυρίου·
10. Ἀπὸ προσώπου Κυρίου πάσης τῆς γῆς.
11. Ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ·
12. Καὶ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ.
13. Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς,
14. Οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν.
15. Προσκυνήσατε αὐτῷ, πάντες ἄγγελοι αὐτοῦ·
16. Ἤκουσε καὶ εὐφράνθη ἡ Σιών,
17. Καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰουδαίας.
18. Ἕνεκεν τῶν κριμάτων σου, Κύριε.
19. Ὅτι σὺ Κύριος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν·
20. Σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας τοὺς θεούς.
21. Οἱ ἀγαπῶντες τὸν Κύριον, μισεῖτε πονηρά·
22. Φυλάσσει Κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ·
23. Ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσεται αὐτούς.
24. Φῶς ἀνέτειλε τῷ δικαίῳ·
25. Καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη.
26. Εὐφράνθητε, δίκαιοι, ἐν τῷ Κυρίῳ·
27. Καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Τῷ Δαυὶδ ὁπότε ἐν τῇ γῇ αὐτοῦ ἀποκαθίστατο [ὅτε ἡ γῆ αὐτοῦ ἀποκαθίστατο]· ἀνεπίγραφος παρ' Ἑβραίοις», ὡς πολλάκις εἰρήκαμεν, καὶ πάλιν λέγω «τῷ ἱκανῷ τῇ χειρὶ» ἑρμηνεύεται «τῷ Δαυίδ», τουτέστι τῷ Υἱῷ τοῦ Θεοῦ· εἶτα· «ὅτε ἐν τῇ γῇ αὐτοῦ καθίσταται», ὡσανεὶ ὅτε τὸν κόσμον αὐτοῦ περιφερόμενον τῇ ἁμαρτίᾳ ῥυσάμενος, καὶ εἰς κατάσχεσιν ἀγαγὼν παντὸς ἔργου ἀγαθοῦ. Εἶτα· «ἀνεπίγραφος παρ' Ἑβραίοις», λέγω δὴ τὴν τῷ ψαλμῷ βασιλείαν τοῦ Υἱοῦ τοῦ Θεοῦ ῥηθεῖσαν οὐ προσε-

δέξαντο, ἀλλὰ ἀπώσαντο. Οὐκοῦν δικαίως εἴρηται ὁ ψαλμὸς «ἀνεπίγραφος παρ' Ἑβραίοις.» Τὰ γὰρ ἐν αὐτῷ ἐγκείμενα περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ ἀβέβαια γεγένηνται παρ' αὐτοῖς διὰ τὴν ἀπιστίαν αὐτῶν.

1. Διὰ τῆς πίστεως ἐβασίλευσεν· ἀγαλλιάσθωσαν τὰ ἔθνη, ὅτι ἐβασίλευσεν ἐπ' αὐτά.
2. Αἱ ἐκκλησίαι τῶν πιστῶν.
3. Οἱ ἀπειθοῦντες Ἰουδαῖοι καὶ Ἕλληνες ἐκτὸς αὐτοῦ.
4. Οἱ πεπιστευκότες αὐτῷ λαοί, εὐτρεπίσαντες τὰς καρδίας ἑαυτῶν, ἐδέξαντο ἐν αὐτοῖς τὴν βασιλείαν τοῦ Θεοῦ.
5. Ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.
6. Καὶ κατακυριεύσει τοῦ ἀπειθοῦντος αὐτῷ.
7. Οἱ ἀπόστολοι ἐφώτισαν τὰ ἔθνη διὰ κηρύγματος.
8. Ἀνέβλεψαν τὰ ἔθνη τῇ διανοίᾳ καὶ ἠκολούθησαν τῇ πίστει.
9. Αἱ ἐναντίαι δυνάμεις ἐξέλιπον ἀπὸ τῆς παρουσίας τοῦ Κυρίου.
10. Ἀπὸ τῆς παρουσίας τοῦ Δεσπότου τῶν ἐθνῶν.
11. Οἱ ἀπόστολοι διὰ τοῦ κηρύγματος.
12. Καὶ ἐφωτίσθησαν πάντες τῷ πάθει αὐτοῦ.
13. Ξύλοις καὶ λίθοις καὶ πάσαις ὕλαις κτισταῖς.
14. Ὅτι τὸ καύχημα αὐτῶν τύφλωσιν καὶ κώφωσιν καὶ νέκρωσιν εἶχον.
15. Οἱ πιστοὶ οἱ δουλεύοντες αὐτῷ.
16. Ἐν ἄνω Ἱερουσαλήμ.
17. Αἱ ψυχαὶ τῶν ἁγίων, καὶ ἀνακείμεναι τῇ ἄνω Ἱερουσαλήμ.
18. Ἕνεκεν ὧν ἐβουλεύσω περὶ ἡμῶν καὶ ἐποίησας.
19. Ὅτι σὺ εἶ δεδοξασμένος, Κύριε, ἐν παντὶ τῷ κόσμῳ.
20. Ἀληθῶς ἐδείχθης, ὅτι σὺ εἶ Θεὸς μόνος· οὐ γὰρ οἱ λεγόμενοι θεοί.
21. Οἱ ἀγαπῶντες τὸν Κύριον, φεύγετε πᾶσαν ἁμαρτίαν.
22. Τῶν σεβομένων αὐτόν.
23. Ἐκ τῆς τοῦ διαβόλου δυναστείας.
24. Τὴν χάριν [Ἡ χάρις] αὐτοῦ ἐν ταῖς καρδίαις τῶν πιστῶν.
25. Καὶ τοῖς καθαροῖς τῇ καρδίᾳ τὸ Πνεῦμα αὐτοῦ τὸ ἅγιον.
26, 27. Ἀγαλλιᾶσθε, καὶ δοξάζετε αὐτόν, μνημονεύοντες τοῦ ἁγιασμοῦ αὐτοῦ, οὗ ἡγιάσθητε, καὶ ἁγιάζει ὑμᾶς.

«Ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ϞΖ΄.

1. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν·
2. Ὅτι θαυμαστὰ ἐποίησεν ὁ Κύριος.
3. Ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ·
4. Καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ.

5. Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ·
6. Ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ.
7. Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακώβ·
8. Καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ.
9. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.
10. Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ·
11. Ἄσατε καὶ ἀγαλλιᾶσθε καὶ ψάλατε.
12. Ψάλατε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ.
13. Ἐν σάλπιγξιν ἐλαταῖς καὶ φωνῇ σάλπιγγος κερατίνης.
14. Ἀλαλάξατε ἐνώπιον τοῦ βασιλέως Κυρίου·
15. Σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς,
16. Ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.
17. Ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτό·
18. Τὰ ὄρη ἀγαλλιάσονται,
19. Ἀπὸ προσώπου Κυρίου· ὅτι ἔρχεται, ὅτι ἥκει κρῖναι τὴν γῆν.
20. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ·
21. Καὶ λαοὺς ἐν εὐθύτητι.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει «Ψαλμὸς τῷ Δαυίδ», τουτέστι «τῷ ἱκανῷ τῇ χειρί», τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ.

1. Καθαρόν.
2. Ἐπὶ τῆς γῆς.
3. Ὁ Υἱὸς αὐτοῦ περιεποιήσατο πάντας ἑαυτῷ καὶ τῷ Πατρὶ αὐτοῦ.
4. Ὁ μονογενὴς Θεὸς Λόγος.
5. Ἐφανέρωσεν ὁ Πατὴρ τὸν Υἱὸν αὐτοῦ.
6. Διὰ τοῦ κηρύγματος ἀπεκάλυψεν ὁ Πατὴρ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.
7. Ἐμνήσθη τοῦ ἐλεῆσαι τὸν λαὸν τῶν Ἰουδαίων.
8. Καὶ τὸ γένος τῶν προφητῶν τῶν ὁρώντων τὸν Θεὸν τῇ διανοίᾳ· τοῦτο γὰρ ἑρμηνεύεται «Ἰσραήλ.»
9. Ἐφωτίσθησαν πάντα τὰ ἔθνη τῷ πάθει τοῦ Θεοῦ ἡμῶν.
10. Δοξάζετε αὐτόν, πάντα τὰ ἔθνη.
11. Τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νεκρώσαντες τὰ μέλη ὑμῶν διὰ τῆς ἐγκρατείας.
12. Ἐν τῇ νεκρώσει τοῦ σώματος ὑμῶν καὶ τῇ χάριτι τοῦ ἁγίου Πνεύματος.
13. Ἐν τοῖς κηρύγμασι τῶν προφητῶν καὶ τῇ διδασκαλίᾳ τοῦ Κυρίου ἐν τῷ Εὐαγγελίῳ.
14. Κηρύξατε ἐν παντὶ τόπῳ.

15. Εἰς σύνεσιν ἀγαθὴν ἔλθῃ πᾶς ὁ κόσμος.
16. Ἡ συναγωγὴ καὶ αἱ φυλαὶ αὐτῆς.
17. Τὰ ἔθνη χαρήσονται ἐν ταῖς καρδίαις αὐτῶν.
18. Οἱ προφῆται διὰ τὴν παρουσίαν αὐτοῦ.
19. Ὅτι ἦλθεν ἀντιλαβέσθαι τὸν ἄνθρωπον.
20. Καταρτίσει τὴν συναγωγὴν εἰς τὰ ἔργα τῆς δικαιοσύνης.
21. Καὶ τὰ ἔθνη καταρτίσει εἰς τὴν ἀλήθειαν.

«Ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ϞΗ΄.

1. Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί·
2. Ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, σαυλευθήτω ἡ γῆ.
3. Κύριος ἐν Σιὼν μέγας.
4. Καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς λαούς.
5. Ἐξομολογησάσθωσαν [πάντες] τῷ ὀνόματί σου τῷ μεγάλῳ·
6. Ὅτι φοβερὸν καὶ ἅγιόν ἐστι.
7. Καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ.
8. Σὺ ἡτοίμασας εὐθύτητας·
9. Κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας.
10. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν·
11. Καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ·
12. Ὅτι ἅγιός ἐστι.
13. Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ,
14. Καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ,
15. Ἐπεκαλοῦντο τὸν Κύριον καὶ αὐτὸς εἰσήκουεν αὐτῶν.
16. Ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς.
17. Ὅτι ἐφύλασσον τὰ μαρτύρια αὐτοῦ,
18. Καὶ τὰ προστάγματα αὐτοῦ, ἃ ἔδωκεν αὐτοῖς.
19. Κύριε ὁ Θεὸς ἡμῶν, σὺ ἐπήκουες αὐτῶν·
20. Ὁ Θεός, σὺ εὐΐλατος ἐγίνου αὐτοῖς,
21. Καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν.
22. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν·
23. Καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ·
24. Ὅτι ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Δαυὶδ ἀνεπίγραφος παρ' Ἑβραίοις», ψαλμὸς «τῷ ἱκανῷ τῇ χειρὶ» τῷ Υἱῷ τοῦ Θεοῦ. Εἶτα «ἀνεπίγραφος παρ' Ἑβραίοις·» ἀπρόσδεκτος γάρ ἐστιν παρ' Ἑβραίοις ὁ ἐγκείμενος ἐν τῷ ψαλμῷ, τουτέστιν ὁ Υἱὸς τοῦ Θεοῦ.

1. Ὁ Υἱὸς τοῦ Θεοῦ ἐβασίλευσε διὰ τῆς πίστεως ἐπὶ τὸν κόσμον, σπαρασσέσθωσαν ἀπὸ μανίας οἱ ἀπειθοῦντες Ἰουδαῖοι.

2. «Ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ», εἰς ἐπίγνωσιν ἔλθῃ τὰ ἔθνη.

3. Ἐν ταῖς ψυχαῖς ταῖς διψώσαις αὐτὸν μέγας ἐστίν. «Σιὼν» γὰρ «διψῶσα» ἑρμηνεύεται.

4. Δεδοξασμένος ἐν τοῖς ἔθνεσι.

5. Τὰς ἁμαρτίας αὐτῶν.

6. Ὅτι ἔντιμον καὶ ἀθάνατόν ἐστι.

7. Καὶ ἡ δόξα τοῦ Υἱοῦ τοῦ Θεοῦ τὸ ἀληθὲς ἀγαπᾷ.

8. Τὰς ἐντολάς σου πρὸ καταβολῆς κόσμου.

9. Τὸν νόμον καὶ προφήτας ἐν τῷ λαῷ τῶν Ἰουδαίων σὺ ἔδωκας.

10. Δοξάσατε.

11, 12. Τῷ σταυρῷ αὐτοῦ.

13. Οἱ πιστοὶ ὡς Μωϋσῆς εἰς τὸ κήρυγμα, καὶ πᾶσα ἡ Ἐκκλησία. «Ἀαρὼν» γὰρ ἑρμηνεύεται «ὄρος δυνάμεως», ὅπερ ἐστὶν ἡ Ἐκκλησία τῶν πιστῶν.

14. Ὁ λαὸς ὁ ἔχων τὸ ὄνομα τοῦ Θεοῦ, τουτέστι Χριστιανός. «Σαμουὴλ» γὰρ ἑρμηνεύεται «ὄνομα αὐτοῦ ὁ Θεός·»

15. Οἱ πιστοί.

16. Ἐν τοῖς ἀποστόλοις τοῖς ἐκ τῶν προφητῶν ἐκήρυξεν αὐτοῖς.

17. Ὅτι ἐπίστευσαν ἐν τοῖς μαθήμασιν αὐτοῦ.

18. Τὰς παραδόσεις τοῦ μυστηρίου τοῦ θανάτου.

19. Σὺ ἐπλήρους τὰ αἰτήματα αὐτῶν.

20. Διὰ τοῦ τιμίου σου σώματος καὶ αἵματος.

21. Καὶ πολεμῶν καὶ συντρίβων ἐχθροὺς αὐτῶν.

22. Δοξάσατε αὐτόν.

23. Ἐν τῇ ἄνω Ἱερουσαλήμ.

24. Κατὰ φύσιν μόνος αὐτός.

«Ψαλμὸς τῷ Δαυὶδ εἰς ἐξομολόγησιν.»
ΨΑΛΜ. ϞΘ'.

1. Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ·

2. Δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ.

3. Εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει.

4. Γνῶτε, ὅτι Κύριος αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν·

5. Αὐτὸς ἐποίησεν ἡμᾶς καὶ οὐχ ἡμεῖς·

6. Ἡμεῖς δὲ λαὸς αὐτοῦ καὶ πρόβατα νομῆς αὐτοῦ.

7. Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει.

8. Εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις.

9. Ἐξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ·

10. Ὅτι χρηστὸς Κύριος.

11. Εἰς τὸν αἰῶνα τὸ [αἰῶνα τοῦ αἰῶνος] ἔλεος αὐτοῦ·

12. Καὶ ἕως γενεᾶς καὶ γενεᾶς [γενεῶν] ἡ ἀλήθεια αὐτοῦ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς πάντας εἰς πίστιν καὶ ἐξομολόγησιν.»

1. Δεήθητε τοῦ Θεοῦ μετὰ δακρύων.
2. Ὑπάγητε [ὑποτάγητε] αὐτῷ μετὰ προθυμίας.
3. Προσέλθετε αὐτῷ μετὰ χαρᾶς.
4. Πιστεύσατε τῷ σταυρωθέντι, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν.
5. Αὐτὸς ἡμᾶς ἐποίησε καὶ οὐχὶ ἐξ ἡμῶν τὸ εἶναι, ὥς τινες λέγουσιν.
6. Ἡμεῖς δὲ λαὸς αὐτοῦ καὶ πρόβατα τῆς ποίμνης αὐτοῦ.
7. Τῇ διανοίᾳ ὑμῶν.
8. Εἰσαγάγετε ἐν τοῖς οὐρανοῖς τὰς εὐχὰς ὑμῶν.
9. Ἐξομολογοῦντες τὰς ἁμαρτίας ὑμῶν καὶ εὐχαριστοῦντες αὐτῷ.

10, 11. Ὅτι ἀγαθὸς Κύριος καὶ ἀτελεύτητον τὸ ὄνομα αὐτοῦ.

12. Καὶ ἡ πίστις αὐτοῦ ἀτελεύτητος.

«Ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. Ρ′.

1. Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε·
2. Ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ, πότε ἥξεις πρὸς μέ.
3. Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου μου.
4. Οὐ προετιθέμην [προεθέμην] πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον·
5. Ποιοῦντας παραβάσεις ἐμίσησα.
6. Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή·
7. Ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ, οὐκ ἐγίνωσκον.
8. Τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον [τοῦ πλησίου] αὐτοῦ, τοῦτον ἐξεδίωκον.
9. Ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον.
10. Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς,
11. Τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ.
12. Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει.
13. Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν.
14. Λαλῶν ἄδικα, οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου.
15. Εἰς τὰς πρωΐας ἀπέκτεινον [ἀπέκτενον] πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς.
16. Τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Δαυίδ», τουτέστι «τῷ εὐαρεστοῦντι ἐν πᾶσι Θεῷ.» Ἑρμηνεύεται γὰρ τῷ τοῦ «Δαυίδ» ὄνομα «τοῦτον ἐποίησα [ἠγάπησα]», ὡσανεὶ τῶν ἐν πᾶσι Θεῷ εὐαρεστῶν.

1. Τὴν εὐποιίαν σου καὶ τὴν πίστιν σου μελετήσω, Κύριε.

2. Ἐννοήσω ἅπερ ψαλῶ ἐν καρδίᾳ καθαρᾷ, ὅταν ἐπισκηνώσει ἡ χάρις σου, Κύριε.

3. Διετέλουν ἐν ἀγαλλιάσει τῆς καρδίας μου ἐν μέσῳ τῶν μελῶν μου.

4. Οὐκ ἐδεχόμην ἐν τῇ διανοίᾳ τῆς καρδίας μου πρᾶγμα πονηρόν.

5. Ἐνθυμήσεις δαιμονικάς.

6. Διδασκαλία τοῦ διαβόλου.

7. Ἀφισταμένου μικρὸν ἀπ' ἐμοῦ τοῦ πονηροῦ, οὐκ ἤμελλον ἀλλ' ἐνηφόρῳ [ἐναφώρων].

8. Τὸν λογισμὸν τὸν ὑποβάλλοντά μοί τι πονηρὸν κατά τινος τῶν ἀνθρώπων ἐξέβαλον ἐκ τῆς καρδίας μου.

9. Ἐνθυμήσεις ὑπερηφανίας καὶ φιλαργυρίας οὐκ ἔτρεψον [ἔτρεφον] ἐν τῇ καρδίᾳ μου.

10, 11. Ἡ διάνοιά μου ἐν τοῖς προστάγματί σού ἐστι τοῦ διαμένειν αὐτὰ ἐν τῇ καρδίᾳ μου.

12. Τὸ Πνεῦμά σου τὸ ἅγιον τοῦτό μοι ἐλειτούργει τὴν χάριν σου.

13. Οὐ κατῴκει ἐν τῇ καρδίᾳ μου λογισμὸς τοῦ διαβόλου.

14. Ὑποτιθέμενός μοι ἐνθυμήσεις ἀδίκους οὐκ ἴσχυσεν ἐν τῇ διανοίᾳ μου.

15. Ἐν γὰρ τῇ χάριτί σου φωτιζόμενον πάντας αὐτοὺς νεκρούς[1] ἀπέλυον.

16. Τοῦ ἀπορρῖψαι ἐκ τῆς καρδίας μου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν καὶ πάσας τὰς ἐνθυμήσεις τῶν ἐναντίων δυνάμεων.

«Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ καὶ ἐναντίον Κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ.» ΨΑΛΜ. ΡΑ'.

1. Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου·

2. Καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω.

3. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ·

4. Ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον πρὸς μὲ οὖς σου.

5. Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου.

6. Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου·

---

1. Πρβλ. Ἐφεσ. 2, 1.

7. Καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.
8. 'Επλήγην ὡσεὶ χόρτος.
9. Καὶ ἐξηράνθη ἡ καρδία μου·
10. Ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸ ἄρτον μου.
11. 'Απὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου.
12. 'Ωμοιώθην πελεκᾶνι ἐρημικῷ·
13. 'Εγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ.
14. 'Ηγρύπνησα καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος [ἐγενήθην, κτλ. δώματι].
15. Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου·
16. Καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον.
17. Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον·
18. Καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων.
19. 'Απὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου·
20. Ὅτι ἐπάρας κατέρραξάς με.
21. Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν·
22. Κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην.
23. Σὺ δέ, Κύριε, εἰς τὸν αἰῶνα μένεις·
24. Καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.
25. Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιών.
26. Ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτήν, ὅτι ἥκει καιρός.
27. Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς·
28. Καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι.
29. Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομα Κυρίου [ὄνομά σου, Κύριε]·
30. Καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου.
31. Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιών·
32. Καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ.
33. 'Επέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν [ἐθνῶν]·
34. Καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν.
35. Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν·
36. Καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον.
37. Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ·
38. Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε,
39. Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων,
40. Τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.
41. Τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου,
42. Καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν 'Ιερουσαλήμ.
43. 'Εν τῷ ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτό, [καὶ] βασιλεῖς τοῦ δουλεύειν τῷ Κυρίῳ.
44. 'Απεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ·
45. Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι.

46. Μὴ ἀναγάγης με ἐν ἡμίσει ἡμερῶν μου·
47. Ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου.
48. Κατ' ἀρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας·
49. Καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί.
50. Αὐτοὶ ἀπολοῦνται· σὺ δὲ διαμένεις·
51. Καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται.
52. Καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται·
53. Σὺ δὲ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.
54. Οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι.
55. Καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Προσευχὴ τῷ πτωχῷ», τουτέστι «τῷ ἁμαρτωλῷ». Εἶτα· «ὅταν ἀκηδιάσῃ», ὡσανεὶ ὅταν εἰς ἀπόγνωσιν ἔλθῃ ἑαυτοῦ· «καὶ ἐναντίον Κυρίου ἐκχέει τὴν δέησιν αὐτοῦ·» λέγω δὴ μετανοῶν, ἐφ' οἷσπερ ἐκρίψει ἑαυτὸν ἐπ' ἐδάφους καὶ μετὰ δακρύων ἰσχυρῶν καὶ στεναγμῶν ἀλαλήτων ἐξομολογεῖται τῷ Κυρίῳ οὐ σχήματι, ἀλλ' ἔργοις καὶ λόγοις.

1. Κύριε, εἰσελθέτω εἰς τὰ ὦτά σου ἡ προσευχή μου.
2. Τῆς καρδίας μου ὁ στεναγμός.
3. Διὰ τὰς ἁμαρτίας μου.
4. Μόνον θλιβόμενον [θλιβόμενος] βοήσω πρὸς σέ.
5. Συντόμως πλήρωσόν μου τὴν αἴτησιν.
6. Ὅτι ἐν ἁμαρτίᾳ γεγήρακα.
7. Καὶ ἡ ἰσχύς μου συγκέκαυται καὶ μεμελάνωται ὡσεὶ φρύγανον ὑπὸ τῆς ἁμαρτίας.
8. Συνέπεσα πληγεὶς ὑπὸ τῆς ἁμαρτίας.
9. Ἀπὸ τοῦ [τὴν] χάριν τοῦ Πνεύματός σου μὴ εἶναι ἐν ἐμοί.
10. Ὅτι ἠμέλησα μελετᾶν ἐν τῷ νόμῳ σου.
11. Ἀπὸ τοῦ στενάζειν με ἐξετάκην καὶ ὅλως ὀστέον γέγονα.
12. Ὥσπερ ὁ πελεκὰν ἐν ἀνύδρῳ τόπῳ εὑρεθεὶς ὅλως κατατήκεται, οὕτως κἀγὼ κατηναλώθην ἐν τῇ ἁμαρτίᾳ, τῆς χάριτός σου μὴ οὔσης ἐν ἐμοί.
13. Ὁ νυκτικόραξ ἐν σκότει διάγει καὶ ἐν νυκτὶ βοᾷ· οὕτως οὖν, λέγει, κἀγώ, ἐν σκότει τῆς ἁμαρτίας ὤν, ὀδυρόμενος βοῶ.
14. Πολλοὺς ἐπιβούλους ἔχει τὸ στρουθίον, τὸν ὄφιν, καὶ τὰ μυσαρὰ τῶν ἑρπετῶν καὶ πολλὰ τῶν πετεινῶν· ἐν ῥιπῇ οὖν ὀφθαλμοῦ ἔστιν ὁ ὕπνος αὐτοῦ, διὰ τὸ περιβλέπεσθαι αὐτὸ μή τις τῶν ἐπιβούλων ἔρχεται ἐπ' αὐτῷ· οὕτως οὖν λέγει κἀγὼ ἤμην μεριμνῶν, μή τις ἐπιρρίψῃ μοι τῶν ἐναντίων δυνάμεων.
15. Ἀπαύστως οἱ δαίμονες κατεκαυχῶντό μου.

16. Καὶ οἱ τὸ πρότερον χαίροντες ἐπὶ τῇ ἀσωτίᾳ μου, μετὰ ταῦτα κατεγέλων μου λέγοντες· Οὕτως μὴ γένωμαι, ὡς οὗτος.

17. Ἐν τῇ μετανοίᾳ μου.

18. Κατέρρει τὰ δάκρυά μου ἐν τῷ πόματί μου, ὡς ἔπινον.

19. Διὰ τὸ ἐπιγνῶναί με, ὅτι ἀπεστράφης με.

20. Καὶ ὅτι ἀπέρριψάς με ἀπὸ σοῦ.

21,22 Ἀπὸ τοῦ μὴ ἔχειν με πιότητα τοῦ ὕδατος τῆς χάριτός σου.

23. Ἄφθαρτος.

24. Ἀτελεύτητον.

25. Σιὼν «ἄβεστος» [ἄσβεστος] ἑρμηνεύεται· τὴν οἰκουμένην οὖν λέγει.

26. Τῆς παρουσίας σου.

27. Ὅτι θέλουσιν οἱ ἅγιοί σου, τουτέστιν ὁ χορὸς τῶν προφητῶν καὶ ἀποστόλων, τὰ ἔθνη ἐπὶ σοὶ πιστεύειν.

28. Καὶ τὸ πλῆθος τῶν ἤδη καταφθαρέντων ὑπὸ τῆς ἁμαρτίας ᾠκτείρησαν.

29. Ὑπακούσωσι τῷ κηρύγματι αὐτοῦ.

30. Οἱ βασιλεύοντες κατὰ τῆς ἁμαρτίας διὰ τῆς χάριτός σου φοβηθήσονται τὸν σταυρόν σου.

31. Τὴν ἄσβεστον, τὴν διψῶσαν, τουτέστι τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν· τὰ γὰρ ἀμφότερα ἑρμηνεύεται «Σιὼν» καὶ «ἄβεστος» [ἄσβεστος] καὶ «διψῶσα».

32. Ἐπὶ γῆς ἐν τῇ παρουσίᾳ αὐτοῦ.

33. Τῶν ἁγίων.

34. Καὶ οὐ παρεῖδε τὴν ἱκεσίαν αὐτῶν, ἣν ἐποίουν ὑπὲρ ἡμῶν νυκτὸς καὶ ἡμέρας.

35. Ἡ φιλανθρωπία αὕτη τοῦ Θεοῦ γνωρισθήτω διὰ τῆς γραφῆς τοῖς υἱοῖς τῶν ἀνθρώπων.

36. Ὁ ἐν τῷ βαπτίσματι ἀνακαινιζόμενος.

37. Ὅτι ἐκ τοῦ οὐρανοῦ κατελήλυθε.

38. Κύριος ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν γῆν παρεγένετο.

39. Τοῦ ποιῆσαι ἐκδίκησιν τῶν καταπονουμένων ὑπὸ τῆς ἁμαρτίας.

40. Τοῦ λυτρώσασθαι τὰ τέκνα τῆς ἁμαρτίας καὶ τοῦ θανάτου.

41. Τοῦ κηρυχθῆναι ἐν τῇ οἰκουμένῃ ἄφεσιν ἁμαρτιῶν ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

42. Ἐν τῇ ἄνω Ἱερουσαλήμ.

43. Ἐν τῷ ἐλθεῖν διὰ τοῦ κηρύγματος τὰ ἔθνη.

44. Ὑπήκουσαν τὰ ἔθνη τῷ Κυρίῳ πίστει τοῦ πάθους αὐτοῦ.

45. Δέομαί σου, δός μοι πληροφορηθῆναι, ὅτι αἱ ἡμέραι τοῦ αἰῶνος τούτου ὀλίγαι εἰσίν.

46. Μή με μεταστήσῃς ἀπὸ τοῦ κόσμου τούτου μὴ τελειώσαντά με τὰς ἐντολάς σου.

47. Ἀτελεύτητα.
48. Ἐτέχθης ἐπὶ τῆς γῆς.
49. Τοῦ ἀναληφθέντος ἐν αὐτοῖς.
50. Καινοὺς δὲ οὐρανοὺς καὶ καινὴν γῆν προσδοκῶμεν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ.
51. Καταφθαρήσονται.
52. Εἱληθήσονται οἱ οὐρανοὶ ὡς βιβλίον.
53. Σὺ δὲ καὶ γενόμενος ἄνθρωπος ὁ αὐτὸς εἶ ὁποῖος ἦς, καὶ ὥσπερ ἀρχὴν ἡμερῶν οὐκ ἔχεις, οὕτως οὐδὲ ζωῆς τέλος.
54. Οἱ διὰ τῆς πίστεως υἱοὶ τῶν προφητῶν καὶ τῶν ἀποστόλων κατασκηνώσουσιν ἐν τῇ ἄνω Ἱερουσαλήμ.
55. Καὶ τὰ ἔργα τῆς δικαιοσύνης αὐτῶν εἰς τὸν ἀτελεύτητον αἰῶνα μενεῖ.

«Ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΡΒ'.

1. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον·
2. Καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.
3. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον·
4. Καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.
5. Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου [πάσαις ταῖς ἀνομίαις σου]·
6. Τὸν ἰώμενον πάσας τὰς νόσους σου·
7. Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου·
8. Τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.
9. Τὸν ἐμπιμπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου·
10. Ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου·
11. Ποιῶν ἐλεημοσύνας ὁ Κύριος·
12. Καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.
13. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ·
14. Τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.
15. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος.
16. Μακρόθυμος καὶ πολυέλεος.
17. Οὐκ εἰς τέλος ὀργισθήσεται·
18. Οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.
19. Οὐ κατὰ τὰς ἀνομίας [ἁμαρτίας] ἡμῶν ἐποίησεν ἡμῖν·
20. Οὐδὲ κατὰ τὰς ἁμαρτίας [ἀνομίας] ἡμῶν ἀνταπέδωκεν ἡμῖν.
21. Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς,
22. Ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.
23. Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπο δυσμῶν,
24. Ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν.

25. Καθὼς οἰκτείρει πατὴρ υἱούς·
26. 'Ωκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν.
27. Ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν·
28. 'Εμνήσθη, ὅτι χοῦς ἐσμεν.
29. Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ·
30. 'Ωσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει.
31. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει·
32. Καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.
33. Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν.
34. Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν,
35. Τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ,
36. Καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ, τοῦ ποιῆσαι αὐτάς.
37. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ·
38. Καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.
39. Εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ,
40. Δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ,
41. Τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.
42. Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ,
43. Λειτουργοὶ αὐτοῦ, ποιοῦντες τὸ θέλημα αὐτοῦ.
44. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ,
45. 'Εν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ·
46. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

'Αθανασίου 'Ερμηνεία.

'Η προκειμένη ἐπιγραφὴ περιέχει· «Τῷ Δαυὶδ ψαλμός», τουτέστι «τῷ ἱκανῷ τῇ χειρὶ» τῷ Υἱῷ τοῦ Θεοῦ.

1, 2, 3. 'Η ψυχή μου καὶ ἡ καρδία μου καὶ ἡ ἰσχύς μου, εὐλογει τὸν Κύριον.
4. Ὅτι ἐκ τοῦ μὴ ὄντος τὸ εἶναί σε παρήγαγε.
5. Καὶ τῷ αἵματι τοῦ Υἱοῦ αὐτοῦ ἐλυτρώσατό σε ἀπὸ θανάτου τῆς ἁμαρτίας καὶ ἐπηγγείλατό σοι ζωὴν αἰώνιον.
6. Διὰ τοῦ πάθους τοῦ Υἱοῦ αὐτοῦ ἐκ φθορᾶς τὴν ζωήν σου.
7. Διὰ τῆς χάριτος τοῦ Πνεύματος αὐτοῦ τοῦ ἁγίου.
8. Τὸν χαρισάμενόν σοι τὸ βασιλεύειν ἐν τῇ χάριτι τοῦ Υἱοῦ αὐτοῦ καὶ τοῦ ἁγίου Πνεύματος.
9. Τὸν πληροῦντα τῶν χαρισμάτων τὴν καρδίαν σου.
10. 'Εν τῷ βαπτίσματι καὶ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.
11. Παρέχων τὰ ἐλέη αὐτοῦ ὁ Κύριος.
12. Καὶ ἐκδικῶν πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου.

13. Τῷ λαῷ ἀνανεχθέντι ἀπὸ τοῦ βαπτίσματος. «Μωϋσῆς» γὰρ ἑρμηνεύεται «ἀναίρεσις ὕδατος.»

14. Τοῖς υἱοῖς τῶν ὁρώντων τὸν Θεὸν ἐγνώρισε τὰς ἐντολὰς καὶ τὸ θέλημα αὐτοῦ.

15, 16. Οἰκτείρει πάντας ὁ Κύριος καὶ μακροθυμεῖ καὶ πληθύνει τὸ ἔλεος αὐτοῦ.

17, 18. Οὐκ ἀποστραφήσεται ἡμᾶς.

19. Οὐκ ἐπελάθετο ἡμῶν, καθὼς ἡμεῖς ἐπελαθόμεθα αὐτοῦ ἐν ταῖς ἁμαρτίαις.

20. Οὐδὲ καθὼς ἄξιοί ἐσμεν τοῦ βδελυχθῆναι ἀπ' αὐτοῦ, οὐκ ἐποίησε τοῦτο.

21, 22. Ἀμέτρητον καὶ ἀνεξιχνίαστον ἐδωρήσατο ἔλεος τοῖς φοβουμένοις αὐτόν.

23, 24. Ἡμᾶς γὰρ υἱοὺς φωτὸς ἀνέδειξε, τὰς δὲ ἁμαρτίας ἡμῶν κατέλυσεν ἐν τῷ βαπτίσματι.

25, 26. [Διὰ] Τὰ σπλάγχνα αὐτοῦ ἔπαθον ὑπὲρ ἡμῶν.

27, 28. Ὅτι γῆ καὶ σποδός ἐσμεν.

29. Ἐβλάστησεν, ἤνθησεν, ἐξηράνθη.

30. Πλουτεῖ καὶ δοξάζεται ἐν τῇ ζωῇ αὐτοῦ.

31. Ὅτι ἄγγελος ἐπιστὰς ἔλαβε τὴν ψυχὴν αὐτοῦ καὶ ἐξέλιπεν.

32. Καὶ οὐκ ἔτι ὑποστρέφεται.

33. Ἡ χάρις καὶ ἡ φιλανθρωπία αὐτοῦ.

34. Καὶ ἡ μισθαποδοσία αὐτοῦ.

35, 36. Τοῖς εὐαρεστοῦσιν αὐτῷ.

37. Εἶχε καὶ ἔχει.

38. Ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων.

39, 40. Οἱ ὑπακούοντες αὐτῷ εἰς πάντα.

42, 43. Ἐπίσκοποι, πρεσβύτεροι, διάκονοι ποιοῦντες τὸ θέλημα αὐτοῦ.

44-46. Εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ πιστοὶ αὐτοῦ ἐν παντὶ τόπῳ, ἐν ᾧ εἰσιν οἱ διδάσκαλοι καὶ οἱ διάκονοι τῶν χαρισμάτων αὐτοῦ. Ὥσπερ γὰρ οἱ τοῦ κόσμου τούτου βασιλεῖς ἐν τοῖς τόποις, ἐν οἷς δεσπόζουσι, καθιστῶσι τοὺς ἑαυτῶν πιστοὺς ἄνδρας, οὕτως καὶ ὁ Κύριος εἰς οὓς οἶδε τόπους ὅτι τῆς δεσποτείας αὐτοῦ εἰσι, τοὺς ἑαυτοὺς πιστοὺς οἰκέτας καθίστησι διοικεῖν τὰ ἐν αὐτοῖς τοῖς τόποις, ὥστε ἀπὸ τῶν τόπων ἡ δεσποτεία γνωρίζεται.

«Ψαλμὸς τῷ Δαυίδ, ὑπὲρ τῆς τοῦ κόσμου συστάσεως [γενέσεως].»

ΨΑΛΜ. ΡΓ'.

1. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον·

2. Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης [ἐμεγαλύνθη] σφόδρα.

3. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω·

4. Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.
5. Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν·
6. Ὁ στεγάζων ἐν ὕδασι τὸ ὑπερῷα αὐτοῦ.
7. Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ·
8. Ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.
9. Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα·
10. Καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς [πῦρ φλέγον] φλόγα.
11. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς·
12. Οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
13. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ·
14. Ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.
15. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται·
16. Ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.
17. Ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία,
18. Εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.
19. Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται·
20. Οὐδὲ ἐπιστρέψουσι καλῦψαι τὴν γῆν.
21. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν·
22. Ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα.
23. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ·
24. Προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.
25. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει·
26. Ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.
27. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ.
28. Ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.
29. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι,
30. Καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.
31. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς·
32. Καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.
33. Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ·
34. Καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.
35. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου,
36. Αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.
37. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι·
38. Τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.
39. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις.
40. Πέτρα καταφυγὴ τοῖς λαγωοῖς.
41. Ἐποίησε σελήνην εἰς καιρούς·
42. Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.
43. Ἔθου σκότος καὶ ἐγένετο νύξ·
44. Ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.
45. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι,
46. Καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

47. Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν·
48. Καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.
49. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ.
50. Καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.
51. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε·
52. Πάντα ἐν σοφίᾳ ἐποίησας·
53. Ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.
54. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος·
55. Ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός,
56. Ζῶα μικρὰ μετὰ μεγάλων.
57. Ἐκεῖ πλοῖα διαπορεύονται·
58. Δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ.
59. Πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν [αὐτοῖς] εἰς εὔκαιρον·
60. Δόντος σου αὐτοῖς, συλλέξουσιν.
61. Ἀνοίξαντός σου [δέ σου] τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος·
62. Ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.
63. Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψουσι·
64. Καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.
65. Ἐξαποστελεῖς τὸ Πνεῦμά σου καὶ κτισθήσονται·
66. Καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.
67. Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας·
68 Εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.
69. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν.
70. Ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.
71. Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου·
72. Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.
73. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου·
74. Ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.
75. Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς,
76. Καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς·
77. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Τῆς τοῦ κόσμου γενέσεως ἀνεπίγραφος παρ' Ἑβραίοις», τουτέστι ὅτε πᾶς ὁ κόσμος ἀνεκαινοποιήθη τῶν ἐθνῶν. Εἶτα, «τῷ Δαυίδ», ὅπερ ἑρμηνεύεται «τῷ ἱκανῷ τῇ χειρί», τῷ Υἱῷ τοῦ Θεοῦ. Εἶτα, «ἀνεπίγραφος παρ' Ἑβραίοις», ὡσανεὶ τὸν λαλήσαντα ἐν τῷ ψαλμῷ τὸν Υἱὸν τοῦ Θεοῦ οὐκ οἴδασιν οἱ Ἑβραῖοι.

1. Διηγοῦ πάντα, ἅπερ ἐποίησεν εἰς ἀπόλαυσιν σήν.

2. Ἐπεδείξω τὸ σοφὸν καὶ δυνατὸν διὰ τῶν ἔργων σου.

3. Τὸν λαὸν τῶν ἁγίων περιεποιήσω.

4. Ἔμπροσθεν τῶν μαθητῶν αὐτοῦ «γέγονε τὰ ἱμάτια αὐτοῦ λευκά, ὡς τὸ φῶς.[1]» Προβαλλόμενος ἕκαστος [Περιβαλλόμενος ἕκαστον] τῶν ἁγίων αὐτοῦ ὡς σκέπην.

5, 6. Ὁ βοήθειαν παρέχων ἐν τοῖς ἔθνεσι τὰ χαρίσματα αὐτοῦ.

7. Ὁ ἐμβατεύων εἰς τοὺς ἁγίους αὐτοῦ.

8. Ὁ ἐμπεριπατῶν εἰς τὰς καρδίας τῶν ἀποστόλων.

9, 10. Δῆλον μέν ἐστιν, ὅτι οἱ ἅγιοι αὐτοῦ Πνεύματά εἰσι καὶ αἱ δυνάμεις αἱ λειτουργοῦσαι αὐτῷ πῦρ εἰσιν. Ὅμως ἡ θεωρία τοῦτο λέγει· Ὁ ποιῶν τοὺς ἀναγγέλλοντας τὸ βούλημα αὐτοῦ πνευματικοὺς καὶ τοὺς λειτουργοῦντας αὐτῷ πῦρ φλέγον κατὰ τῶν ἐναντίων δυνάμεων. Ὁ στίχος δέ, ἐν ᾧ ἐστι τὸ σημεῖον τοῦτο τοῦ λημνίσκου, ὑπὸ δύο ζυγῶν ᾧ [ὑπὲρ δύο σιγλῶν] τῶν ΟΒ′ ἑρμηνευτῶν εἴρηται, καὶ διὰ μὲν τῆς κεραίας τῆς μετὰ τὸν στίχον δηλοῖ, διὰ δὲ τῶν δύο στιγμῶν, ἤτοι νύγματα [νυγμάτων], τὰς δύο ζυγὰς [σίγλας] τῶν ἑρμηνευτῶν ἐσήμανεν.

11. Ὁ τὸν κόσμον θεμελιώσας ἐν τῇ πίστει αὐτοῦ.

12. Πύλαι γὰρ ᾅδου οὐ κατισχύσουσι τῆς πίστεως αὐτοῦ.

13. Τὰ δικαιώματα αὐτοῦ ὡς ἱμάτιον λέγει.

14. Ἐπὶ τῆς παρουσίας τῶν προφητῶν ἀνθίσταντο τῇ διδασκαλίᾳ αὐτῶν οἱ δαίμονες.

15. Ἀπὸ δὲ τοῦ λόγου τῆς παρουσίας σου ἀφανεῖς γενήσονται.

16. Ἀπὸ φωνῆς τοῦ προστάγματός σου διαλυθήσονται.

17. Ὑψώθησαν ὡς ὄρη καὶ κατέβαλες αὐτοὺς εἰς τὴν γῆν.

18. Εἰς τὸ πῦρ, ὃ ἡτοίμασας αὐτοῖς.

19. Τὴν ἡμέραν τῆς κρίσεως, ἣν οὐχ ὑπερβήσονται.

20. Οὐδὲ ἀναλύσουσι κυριεῦσαι τῶν ἀνθρώπων.

21. Ὁ ἐξαποστέλλων τοὺς ἀποστόλους εἰς τὰ ἔθνη.

22. Ἀνὰ μέσον τῶν ἐθνῶν διελεύσονται οἱ εὐαγγελισταί.

23. Τὸν λόγον τοῦ εὐαγγελιστοῦ κηρύξουσι πᾶσι τοῖς ἔθνεσι τοῦ κόσμου.

24. Προσδέξονται τὰ ἔθνη τὸ κήρυγμα εἰς ἀπάντησιν τῶν ψυχῶν.

25. Ἐπ' αὐτὰ τὰ ἔθνη κατοικήσει τὰ χαρίσματα αὐτοῦ.

26. Ἐκ μέσου τῶν καρδιῶν αὐτῶν δοξάσουσιν αὐτόν.

27. Ποτίζων τὰ ἔθνη ἐκ τῶν χαρισμάτων αὐτοῦ.

28. Ἀπὸ τῆς χάριτος τῶν προσταγμάτων σου ἐμπλησθήσονται αἱ ψυχαὶ τῶν ἐθνῶν.

29. Ὁ μαραίνων τὸν πλοῦτον τῶν ἀσεβῶν.

30. Καὶ [ἐξανατέλλων] τὰ προστάγματα αὐτοῦ ταῖς ψυχαῖς καὶ τοῖς μέλεσι τῶν ἐπεγνωκότων τὴν ἀλήθειαν.

---

1. Ματθ. 17, 2.

31. Τὸ σύστημα τῶν πεπιστευκότων.

32. Ὁ Κύριος ἡμῶν Ἰησοῦς.

33. Τοῦ πληρῶσαι τῆς χάριτος αὐτοῦ πᾶσαν καρδίαν ἐν τῷ ἐλέει αὐτοῦ.

34. Ὁ ἐπουράνιος ἄρτος ὁ Κύριος ἡμῶν Ἰησοῦς.

35. Τὸ πλῆθος τῶν ἁγίων τῶν πλῆρες ἔργων ἀγαθῶν χορτασθήσονται τῆς χάριτος αὐτοῦ.

36. Οἱ αὐτοὶ ἅγιοι ἄσηπτοι καὶ καθαροὶ τῇ καρδίᾳ οἱ φυτευθέντες ἐν τῇ πίστει παρὰ τοῦ Κυρίου. «Λίβανος» γὰρ «λευκασμὸς» ἑρμηνεύεται, ὅπερ ἐστὶν ὁ Κύριος ὁ λευκαίνων πάντας.

37. Τὰ ἔθνη ἐν τοῖς ἀποστόλοις.

38. «Ἐρωδιοῦ» ἑρμηνεύεται «κατάρχοντος.» Τοῦ Κυρίου οὖν κατάρχοντος τῇ κατοικίᾳ, εἰκότως οἱ ἀπόστολοι ἡγοῦνται τῶν ἐθνῶν.

39. Αἱ ἐντολαὶ αἱ ἐπουράνιαι τοῖς ἀναιροῦσι τὰ ἰοβόλα τῶν θηρίων.

40. Ὁ Κύριος τοῖς ταπεινοῖς καὶ πραέσι καὶ προθύμοις ἐπὶ τὴν πορείαν καταφυγὴ ὑπάρχει.

41, 42. Ὁ Κύριος ἔλεγε περὶ τοῦ θανάτου αὐτοῦ.

43. Ἔθου σκότος ἐν τῇ συναγωγῇ διὰ τὴν ἀπιστίαν αὐτῶν· νυκτὶ γὰρ ὡμοίωσας αὐτὴν διὰ τοῦ προφήτου.

44. Ἐν σκότει διατελοῦσιν οἱ ἀπειθοῦντες αὐτῷ Ἰουδαῖοι.

45, 46. Τὰ ἔθνη βοῶσι πρὸς τὸν Θεὸν τοῦ ἁρπάσαι τὴν βασιλείαν αὐτοῦ. «Σκύμνους» εἴρηκε «τὰ ἔθνη», ἐπειδὴ ὁ σκύμνος, ὅτε τεχθῇ, διὰ τριῶν ἡμερῶν ἀναβλέπει· οὕτως οὖν καὶ τὰ ἔθνη διὰ τῆς τριημέρου μιμνήσεως τοῦ Κυρίου ἐν τῷ βαπτίσματι ἀνέβλεψαν. Ἐν γὰρ ταῖς τρισὶ καταδύσεσι τοῦ βαπτίσματος τὰς τρεῖς νύκτας τοῦ θανάτου Κυρίου μιμοῦνται, ἐπειδὴ ἐν τῇ καταδύσει οὐδὲν δύνανται βλέπειν ἐν νυκτί· ἐν δὲ ταῖς τρισὶν ἀναλύσεσι τοῦ βαπτίσματος τὰς τρεῖς ἡμέρας τοῦ Κυρίου μιμοῦνται, ἐπειδὴ ὡς ἐν τῇ ἡμέρᾳ πάντα καθορῶσιν ἐν τῇ ἀναλύσει· αὕτη οὖν ἑρμηνεία τοῦ «σκύμνου».

47. Ἀνέστη ὁ Κύριος καὶ ἐπίστευσαν καὶ ἦλθε πρὸς αὐτὸν εἰς τὰς τοῦ Θεοῦ Ἐκκλησίας.

48. Καὶ εἰς τὰς αἰωνίους ἀναπαύσεις.

49. Πᾶς τῶν πιστῶν προθύμως ἐπιδῷ ἑαυτὸν εἰς τὰ προστάγματα τοῦ Θεοῦ.

50. Καὶ ἐπὶ τὰ ἔργα τῆς δικαιοσύνης ἕως τῆς συντελείας.

51. Ὡς ὑπερεπλεόνασαν τὰ χαρίσματά σου.

52. Πάντα τὰ χαρίσματά σου ἐν τῇ πολυποικίλῳ σου σοφίᾳ κατήρτισας.

53. Ὁ κόσμος τῶν ἁγίων σου.

54. Ἡ οἰκουμένη.

55. Οἱ δαίμονες.

56. Οἱ ἄνθρωποι.

57. Οἱ ἅγιοι ἔχοντες ἐν αὐτοῖς τὰ λόγια τοῦ Θεοῦ, καὶ διὰ τῶν [δι' αὐτῶν] τρέφοντες τὸ γένος τῶν ἀνθρώπων.
58. Ὁ διάβολος ὁ καταπαιζόμενος ὑπὸ τῶν ἁγίων σου.
59. Τὰ ἔθνη ἀπεκδέχονται τὴν παρὰ σοῦ τροφήν, ἣν αὐτοῖς δώσεις ἐν εἰρήνῃ.
60. Δεδωκότος σου αὐτοῖς, τὰς ἐντολάς σου δέξονται.
61. Φανερώσαντος δέ σου τὸν Κύριον Υἱόν, ὁ κόσμος σου πλησθήσεται τοῦ Πνεύματός σου τοῦ ἁγίου.
62. Ἀπὸ τῶν Ἰουδαίων ἀποστρέψαντος τὸ πρόσωπόν σου, εἰς ἀφανισμὸν ἔσονται.
63. Λάβῃς τὴν χάριν ἀπ' αὐτῶν καὶ διαλυθήσονται.
64. Καὶ ἐν τῇ ἁμαρτίᾳ αὐτῶν ἐναπομένωσιν.
65. Ἐπὶ τοὺς πιστεύοντας εἰς σέ.
66. Καὶ ἀνανεώσεις τὴν διάνοιαν τῆς καρδίας αὐτῶν.
67, 68. Τοῖς ἁγίοις.
69. Ἐπὶ τὸ σύστημα τῶν δαιμόνων.
70. Ὁ φλέγων τὰς ἐναντίας δυνάμεις καὶ ἐκλείπουσιν.
71. Ἐν τῷ μέλλοντι αἰῶνι.
72. Ἐν τῷ νῦν αἰῶνι.
73. Ἀρέσει αὐτῷ ἡ ὑμνολογία μου.
74. Χαρήσομαι.
75. Οἱ δαίμονες ἀπὸ τῆς γῆς τῶν ἁγίων ἧς μέλλουσι κληρονομεῖν
76. Αἱ ἐναντίαι δυνάμεις καὶ οἱ πειθόμενοι αὐτοῖς.
77. Δοξολόγει.

«Ἀλληλούϊα.» ΨΑΛΜ. ΡΔ'.

1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ·
2. Ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ.
3. Ἄσατε αὐτῷ καὶ ψάλατε αὐτῷ.
4. Διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ·
5. Ἐπαινεῖσθε ἐν τῷ ἁγίῳ [ὀνόματι] αὐτοῦ·
6. Εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον.
7. Ζητήσατε τὸν Κύριον καὶ κραταιώθητε·
8. Ζητήσατε τὸ πρόσωπον αὐτοῦ διαπαντός.
9. Μνήσθητε τῶν θαυμασίων αὐτοῦ, ὧν ἐποίησε,
10. Τὰ τέρατα αὐτοῦ καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ·
11. Σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ,
12. Υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ.
13. Αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν,
14. Ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ.
15. Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ,
16. Λόγου, οὗ ἐνετείλατο εἰς χιλίας γενεάς.

17. Ὃν διέθετο τῷ Ἀβραάμ,
18. Καὶ τοῦ ὅρκου αὐτοῦ τῷ Ἰσαάκ.
19. Καὶ ἔστησεν αὐτὸν τῷ Ἰακὼβ εἰς πρόσταγμα
20. Καὶ τῷ Ἰσραὴλ εἰς διαθήκην αἰώνιον.
21. Λέγων· Σοὶ δώσω τὴν γῆν Χαναάν·
22. Σχοίνισμα κληρονομίας ὑμῶν.
23. Ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς,
24. Ὀλιγοστοὺς καὶ παροίκους ἐν αὐτῇ.
25. Καὶ διῆλθεν ἐξ ἔθνους εἰς ἔθνος·
26. Καὶ ἐκ βασιλείας εἰς λαὸν ἕτερον.
27. Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτούς·
28. Καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς.
29. Μὴ ἅπτεσθε τῶν χριστῶν μου·
30. Καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.
31. Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν.
32. Πᾶν στήριγμα ἄρτου συνέτριψεν.
33. Ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον.
34. Εἰς δοῦλον ἐπράθη Ἰωσήφ.
35. Ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ·
36. Σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ.
37. Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ.
38. Τὸ λόγιον Κυρίου ἐπύρωσεν αὐτόν.
39. Ἀπέστειλε βασιλεὺς καὶ ἔλυσεν αὐτόν·
40. Ἄρχων λαοῦ καὶ ἀφῆκεν αὐτόν.
41. Κατέστησεν αὐτὸν Κύριον τοῦ οἴκου αὐτοῦ,
42. Καὶ ἄρχοντα πάσης τῆς κτήσεως αὐτοῦ.
43. Τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτόν,
44. Καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι.
45. Καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον·
46. Καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ.
47. Καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφόδρα·
48. Καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ.
49. Μετέστρεψε τὴν καρδίαν αὐτοῦ τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ·
50. Τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ.
51. Ἐξαπέστειλε Μωϋσῆν τὸν δοῦλον αὐτοῦ,
52. Ἀαρών, ὃν ἐξελέξατο ἑαυτῷ.
53. Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ,
54. Καὶ τῶν τεράτων αὐτοῦ ἐν γῇ Χάμ.
55. Ἐξαπέστειλε σκότος καὶ ἐσκότασεν·
56. Ὅτι παρεπίκραναν τοὺς λόγους αὐτοῦ.
57. Μετέστρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα·
58. Καὶ ἀπέκτεινε τοὺς ἰχθύας αὐτῶν.
59. Ἐξεῖρψεν ἡ γῆ αὐτῶν βατράχους.

60. Ἐν τοῖς ταμιείοις τῶν βασιλέων αὐτῶν.
61. Εἶπε καὶ ἦλθε κυνόμυια,
62. Καὶ σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν.
63. Ἔθετο τὰς βροχὰς αὐτῶν χάλαζαν,
64. Πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν.
65. Καὶ ἐπάταξε τὰς ἀμπέλους αὐτῶν καὶ τὰς συκᾶς αὐτῶν·
66. Καὶ συνέτριψε πᾶν ξύλον ὁρίου αὐτῶν.
67. Εἶπε καὶ ἦλθεν ἀκρίς.
68. Καὶ βροῦχος, οὗ οὐκ ἦν ἀριθμός.
69. Καὶ κατέφαγε πάντα χόρτον ἐν τῇ γῇ αὐτῶν·
70. Καὶ κατέφαγε πάντα τὸν καρπὸν τῆς γῆς αὐτῶν.
71. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν τῇ γῇ αὐτῶν·
72. Ἀπαρχὴν παντὸς πόνου αὐτῶν.
73. Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ.
74. Καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν.
75. Εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ αὐτῶν·
76. Ὅτι ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ' αὐτούς.
77. Διεπέτασε νεφέλην εἰς σκέπην αὐτοῖς·
78. Καὶ πῦρ τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα.
79. Ἤτησαν καὶ ἦλθεν ὀρτυγομήτρα·
80. Καὶ ἄρτον οὐρανοῦ ἀνέπλησεν αὐτούς.
81. Διέρρηξε πέτραν καὶ ἐρρύησαν ὕδατα·
82. Ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί.
83. Ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ,
84. Τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ.
85. Καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει·
86. Καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ.
87. Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν·
88. Καὶ πόνους λαῶν κατεκληρονόμησαν.
89. Ὅπως ἂν φυλάξωσι τὰ δικαιώματα αὐτοῦ·
90. Καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσι.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ἀλληλούϊα, αἶνος», ὅπερ ἑρμηνεύεται «αἰνεῖτε τὸν ὄντα Θεόν.»

1. Ἐξαγορεύονται [Ἐξαγορεύεσθε] τὰς ἁμαρτίας ἡμᾶς τῷ Κυρίῳ, ἱκετεύσατε αὐτόν.

2. Κηρύξατε τοῖς ἔθνεσι τὰ προστάγματα αὐτοῦ.

3. Ἀγαλλιώμενοι δοξάσατε αὐτόν.

4. Ὅτι, Θεὸς ὤν, γέγονε δι' ἡμᾶς ἄνθρωπος μείνας Θεὸς καὶ πέπονθε καὶ ἀνέστη καὶ ἀνελήφθη ὅθεν δι' ἡμᾶς κατελθὼν οὐκ ἐχωρίσθη.

5. Ἐκ τῆς καλῆς ὑμῶν ἐπιστροφῆς ἔντιμοι γίνεσθε καὶ Θεῷ καὶ ἀνθρώποις.

6. Πλησθήσεται πνεύματος καρδία πιστευόντων εἰς τὸν Κύριον.

7. Πιστεύσατε εἰς τὸν Θεὸν καὶ δυναμοῦσθε.

8. Αἰτήσασθε τὴν χάριν αὐτοῦ ἀδιαλείπτως.

9. Ὑπόμνησιν λάβετε, ὡς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου.

10. Αἱ ἰάσεις καὶ αἱ διδασκαλίαι τοῦ λόγου τῆς χάριτος αὐτοῦ.

11. Οἱ πιστοὶ ὡς Ἀβραάμ.

12. Οἱ ἀπόστολοι ὡς Ἰακώβ, τουτέστι καθαροὶ τῇ καρδίᾳ.

13. Ὁ ἐξ ἀρχῆς αὐτὸς καὶ ἐπὶ γῆς ὀφθείς.

14. Τὰ ἐν τοῖς Εὐαγγελίοις προστάγματα αὐτοῦ.

15. Ἐπλήρωσεν ἐν καιρῷ ἐσχάτῳ τὰ περὶ τῆς βασιλείας αὐτοῦ.

16. Περὶ τοῦ πάθους αὐτοῦ, οὗ προέλεγε καθ' ἑκάστην γενεὰν διὰ τῶν προφητῶν.

17. Ὅτι εἶπε τῷ Ἀβραάμ· «Ἔσται τὸ σπέρμα σου ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει καὶ τῷ φωτί.[1]

18. Καὶ τὴν πίστιν αὐτῷ τῷ λαῷ τῆς χάριτος [χαρᾶς]. Ὅρκος γὰρ πίστις ἐστίν. «Ἰακὼβ» δὲ ἑρμηνεύεται «χάρις.»

19. Καὶ ἐπλήρωσεν αὐτὴν ἀσάλευτον τὴν ἐπαγγελίαν τῆς πίστεως τῷ λαῷ τῷ τὰ τέλη τῶν Ἰουδαίων κατασχόντι.

20. Καὶ τοῖς ἀποστόλοις καὶ τοῖς ἁγίοις πᾶσι τοῖς ὁρῶσιν αὐτὸν ἐν ὁμοιώματι ἀνθρώπων καὶ ὁμολογοῦσιν αὐτόν, ὡς Θεὸν κατ' οὐσίαν, ὥσπερ ὁ «Ἰσραὴλ ὁρῶν τὸν Θεόν.»

21. Λέγων τῷ χορῷ τῶν Ἀποστόλων· Ὑμῖν δώσω πάντα τὸν κόσμον τῶν ἐθνῶν. «Χαναὰν» γὰρ ἑρμηνεύεται «προσκυνῶν τὴν ἀνομίαν», ὅπερ ἦσαν τὰ ἔθνη.

22. Ἀπέραντον πλῆθος τῆς κληρονομίας ὑμῶν.

23. Ἦσαν γὰρ δώδεκα.

24. Ἰδιώτας τῷ λόγῳ καὶ πτωχοὺς ἐν τῷ κόσμῳ.

25. Κηρύσσοντες τὴν βασιλείαν τοῦ Θεοῦ.

26. Καὶ ἐκ τοῦ λαοῦ τῶν Ἰουδαίων διῆλθον κηρύσσοντες εἰς τὰ ἔθνη.

27. Οὐκ ἀφῆκέ τινα τῶν τότε κρατούντων καταδυναστεῦσαι τῶν ἀποστόλων.

28. Ἡρώδην καὶ Νέρωνα ἐθανάτωσεν.

29. Τῶν ἀποστόλων.

30. Ἦσαν γὰρ οἱ αὐτοὶ ἀπόστολοι καὶ προφῆται λέγοντες τὰ μέλλοντα ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

---

1. Πρβλ. Γεν. 15, 5. 16, 10.

31. Ἐν τῇ συναγωγῇ ἤνεγκεν οὐ λιμὸν ἄρτου, «ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου.[1]»

32. Πᾶσαν αὐτῶν τὴν διδασκαλίαν τὴν κοσμικὴν εἰς ἀφανισμὸν ἔδωκεν.

33. «Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης.[2]»

34. Τὸ γένος τῶν ἀνθρώπων εἰς δουλείαν ἦν πεπραμένον τῇ ἁμαρτίᾳ ἀπὸ τοῦ Ἀδάμ· «Ἰωσὴφ» γὰρ ἑρμηνεύεται «προσέθηκα.»

35. Ἐδάμασαν ἐναντίαι δυνάμεις τὸ γένος τῶν ἀνθρώπων τῇ ἁμαρτίᾳ.

36. Εἰς θάνατον ἐπέπεσεν ἡ ψυχὴ παντὸς τοῦ γένους τῶν ἀνθρώπων.

37. Ἕως οὗ ἦλθεν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ.

38. Ἡ διδαχὴ καὶ ἡ παρουσία τοῦ Κυρίου ἐκαθάρισε τὸ γένος τῶν ἀνθρώπων.

39. Ὁ Πατὴρ τὸν Υἱὸν ἀπέστειλε καὶ ἔλυσε πάντα τὸν κόσμον ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.

40. Ἐλευθέρους αὐτοὺς πεποίηκε τοῦ κυριεῦσθαι ὑπὸ τῆς ἁμαρτίας.

41. Ὁ Πατὴρ ἀνέδειξε τὸν Υἱὸν αὐτοῦ Κύριον πάντων τῶν ἁγίων καὶ εἴρηκεν, ὡς «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, αὐτοῦ ἀκούετε».

42. Ἄρχοντα καὶ ἐξουσιαστὴν πάσης ὁμοῦ τῆς ἐπουρανίου καὶ ἐπιγείων καὶ καταχθονίων κτίσεως.

43. Τοὺς ἀποστόλους αὐτοῦ.

44. Καὶ ἐπισκόπους καὶ πρεσβυτέρους ἐν πλήθει τῆς χάριτος αὐτοῦ.

45. Ὁ χορὸς τῶν ἀποστόλων εἰσῆλθεν ἐν τῇ θλίψει τοῦ κόσμου. «Ἰσραὴλ» γὰρ ἑρμηνεύεται «νοῦς ὁρῶν τὸν Θεόν», ὅπερ ἦσαν οἱ ἀπόστολοι. «Αἴγυπτος» δὲ ἑρμηνεύεται «θλίψις.»

46. Ὁ Υἱὸς τοῦ Θεοῦ παρῴκησεν ἐν τῷ κόσμῳ.

47. Καὶ κατήρτισε τοὺς ἁγίους αὐτοῦ.

48. Ἐνίσχυσε τοὺς ἁγίους ὑπὲρ τὰς ἐναντίας δυνάμεις.

49. Ἀπεστράφη τὸ ἔθνος τῶν Ἰουδαίων διὰ τὴν ἀπιστίαν αὐτῶν.

50. Ἐπειδὴ ἐδολιεύσαντο κατὰ τῶν προφητῶν αὐτοῦ.

51. Ἐξαπέστειλε τὸν χορὸν τῶν ἁλιέων· «Μωϋσῆς» γὰρ ἑρμηνεύεται «ἀναίρεσις ἀφ' ὕδατος.» Ἀπὸ γὰρ τῆς θαλάσσης ἀνείλετο τοὺς ἀποστόλους· ἦσαν γὰρ ἁλιεῖς.

52. «Ἀαρὼν» ἑρμηνεύεται «ὄρος δυνάμενον», ὅπερ ἐστὶν ἡ Ἐκκλησία τῶν πιστῶν, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος.

53. Τὰ προστάγματα αὐτοῦ ἔθετο ἐν τῷ λαῷ.

54. Καὶ τῶν παθημάτων αὐτοῦ, ὧν ὑπέμεινε τῇ συναγωγῇ

---

1. Ἀμ. 8, 11. 2. Ἰω. 1, 6.

τῶν τολμηρῶν ἀνθρώπων. «Χὰμ» γὰρ «τολμηρὸς» ἑρμηνεύεται.

55. Ἐν τῇ συναγωγῇ αὐτῶν διὰ τὴν ἀπιστίαν αὐτῶν.

56. Ὅτι οὐκ ἐφύλαξαν τὰ προστάγματα αὐτοῦ.

57. Ἀφείλετο αὐτῶν τὴν χάριν καὶ εἴασε αὐτοὺς δουλεύειν τῇ ἁμαρτίᾳ.

58. Τὰς ψυχὰς αὐτῶν τὰς ἐν κόσμῳ νηχομένας.

59. Αἱ καρδίαι αὐτῶν τὰς ἐπιθυμίας τῶν δαιμόνων.

60. Ἐν ταῖς διανοίαις τῶν ἀρχόντων αὐτῶν.

61. Συνεχώρησε καὶ ἦλθε τὰ ἔθνη κατ' αὐτῶν.

62. Καὶ πληγὴ ἀνίατος ἐπὶ τὰς ψυχὰς αὐτῶν.

63. Εἴασεν αὐτοὺς διδαχῇ τῶν δαιμόνων πείθεσθαι.

64. Τὸν διάβολον καταφθείροντα τὸ ἔθνος αὐτῶν.

65. Τὰς ψυχὰς αὐτῶν, ἐπειδὴ ἄκαρποι ἔμενον.

66. Πάντα ἄνθρωπον τῶν φυλῶν αὐτῶν μὴ καρποφοροῦντα.

67. Τὰ ἔθνη συνεχώρησεν ἐλθεῖν πρὸς αὐτὸν [αὐτούς].

68. Τὸ ἔθνος τῶν Ῥωμαίων λαὸν ἐκλείποντα [λίαν ἐκλεῖπον] αὐτούς.

69, 70. Ἐξωλόθρευσεν ἅπαν τὸ ἔθος αὐτῶν.

71. Καὶ ἐφόνευσε πάντα Ἰουδαῖον ἐν τῇ Ἱερουσαλήμ. Αὐτὸν γὰρ τὸν λαὸν ἡ Γραφὴ πρωτότοκον ἔλεγε πρότερον.

72. Ἀπὸ τῶν πρώτων αὐτῶν ἐφόνευσαν πᾶν τὸ πλῆθος αὐτῶν.

73. Τοὺς δὲ πιστεύσαντας αὐτῷ Ἰουδαίους ἐξήγαγεν ἐκ τῆς Ἱερουσαλὴμ ἐν τῇ χάριτι αὐτοῦ.

74. Καὶ οὐχ εὑρέθη τις τῶν πιστευσάντων Ἰουδαίων ὁ πληγεὶς ἐν τῷ πολέμῳ.

75. Ἐπὶ τῇ ἀπωλείᾳ αὐτῶν.

76. Ὅτι ἐφρουροῦντο αὐτούς.

77. Τὴν βοήθειαν αὐτοῦ ἥπλωσε τοῖς πιστεύουσι·

78. Τὴν χάριν αὐτοῦ φωτίσαι τὸν κόσμον.

79. Τὰ χαρίσματα αὐτοῦ ἔδωκε τοῖς πιστοῖς·

80. Τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν εἰς μετάληψιν.

81. Τὴν πλευρὰν τοῦ Υἱοῦ αὐτοῦ διήνοιξε καὶ ἐπότισε τὸν κόσμον.

82. Ἐπορεύθησαν ἐν τοῖς ἔθνεσιν οἱ εὐαγγελισταί.

83, 84. Οὗ ἐπηγγείλατο λέγων τῷ Ἀβραάμ· Ἐν τῇ πίστει σου «εὐλογηθήσονται πάντα τὰ ἔθνη.[1]»

85. Ἐκ τοῦ κόσμου τούτου τοὺς πιστοὺς αὐτοῦ ἐρρύσατο.

86. Καὶ τοὺς ἁγίους αὐτοῦ ἐν χαρᾷ.

87. Τὰς αἰωνίους ἀνέπαλιν [ἀναπαύσεως].

88. Τὰς μονὰς τῶν ἁγίων.

89. Ἀτελευτήτως διαμένωσιν εἰς τὸ βάπτισμα τοῦ Θεοῦ.

90. Καὶ τὸν νόμον αὐτοῦ ἐξακριβώσαντες πληρώσουσι.

---

1. Γεν. 22, 18.

«Ἀλληλούϊα.» ΨΑΛΜ. ΡΕ'.

1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός·
2. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
3. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου;
4. Ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;
5. Μακάριοι οἱ φυλάσσοντες κρίσιν καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ.
6. Μνήσθητι ἡμῶν, Κύριε, ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου·
7. Ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου.
8. Τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου,
9. Τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου,
10. Τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου.
11. Ἡμάρτομεν μετὰ τῶν πατέρων ἡμῶν·
12. Ἠνομήσαμεν, ἠδικήσαμεν.
13. Οἱ πατέρες ἡμῶν ἐν Αἰγύπτῳ οὐ συνῆκαν τὰ θαυμάσιά σου·
14. Οὐκ ἐμνήσθησαν τοῦ πλήθους τοῦ ἐλέους σου·
15. Καὶ παρεπίκραναν ἀναβαίνοντες ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ.
16. Καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ·
17. Τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ.
18. Καὶ ἐπετίμησε τῇ Ἐρυθρᾷ θαλάσσῃ καὶ ἐξηράνθη.
19. Καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ ὡς ἐν ἐρήμῳ.
20. Καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς μισοῦντος·
21. Καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν.
22. Ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτούς·
23. Εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη.
24. Καὶ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ.
25. Καὶ ᾖσαν τὴν αἴνεσιν αὐτοῦ.
26. Ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων αὐτοῦ·
27. Οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ.
2I. Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ·
29. Καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ.
30. Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν·
31. Ἐξαπέστειλε πλησμονὴν εἰς τὰς ψυχὰς αὐτῶν.
32. Καὶ παρώργισαν τὸν Μωϋσῆν ἐν τῇ παρεμβολῇ,
33. Τὸν Ἀαρὼν τὸν ἅγιον Κυρίου.
34. Ἠνοίχθη ἡ γῆ καὶ κατέπιε Δαθάν·
35. Καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών·
36. Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν·
37. Φλὸξ κατέφλεξεν ἁμαρτωλούς.
38. Καὶ ἐποίησαν μόσχον ἐν Χωρήβ·
39. Καὶ προσεκύνησαν τῷ γλυπτῷ.
40. Καὶ ἠλλάξαντο τὴν δόξαν αὐτοῦ.

41. Ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον.
42. Καὶ ἐπελάθοντο τοῦ Θεοῦ τοῦ σῴζοντος αὐτούς·
43. Τοῦ ποιήσαντος μεγάλα ἐν Αἰγύπτῳ,
44. Θαυμάσια ἐν γῇ Χάμ,
45. Φοβερὰ ἐπὶ θαλάσσης Ἐρυθρᾶς.
46. Καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτούς·
47. Εἰ μὴ Μωϋσῆς ὁ ἐκλεκτὸς αὐτοῦ
48. Ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ,
49. Τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, τοῦ μὴ ἐξολοθρεῦσαι αὐτούς.
50. Καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητήν·
51. Οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ.
52. Καὶ ἐγόγγυσαν [ἐγόγγυζον] ἐν τοῖς σκηνώμασιν αὐτῶν·
53. Οὐκ εἰσήκουσαν τῆς φωνῆς Κυρίου.
54. Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς,
53. Τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ.
56. Καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσι.
57. Καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις.
58. Καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ·
59. Καὶ ἔφαγον θυσίας νεκρῶν.
60. Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν·
61. Καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις.
62. Καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο·
63. Καὶ ἐκόπασεν ἡ θραῦσις.
64. Καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην,
65. Εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος.
66. Καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας.
67. Καὶ ἐκακώθη Μωϋσῆς δι' αὐτούς.
68. Ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ·
69. Καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ.
70. Οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη, ἃ εἶπε Κύριος αὐτοῖς·
71. Καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι·
72. Καὶ ἔμαθον τὰ ἔργα αὐτῶν.
73. Καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν·
74. Καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον.
75. Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις.
76. Καὶ ἐξέχεαν αἷμα ἀθῶον,
77. Αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων,
78. Ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν.
79. Καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι [αὐτῶν]·
80. Καὶ ἐμιάνθη [ἡ γῆ] ἐν τοῖς ἔργοις αὐτῶν·
81. Καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.

82. Καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ·
83. Καὶ ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ.
84. Καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐχθρῶν·
85. Καὶ ἐκυρίευσαν αὐτῶν οἱ μισοῦντες αὐτούς.
86. Καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν·
87. Καὶ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν.
88. Πλεονάκις ἐρρύσατο αὐτούς·
89. Αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν·
90. Καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν.
91. Καὶ εἶδε Κύριος ἐν τῷ θλίβεσθαι αὐτούς·
92. Ἐν τῷ αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως αὐτῶν.
93. Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ·
94. Καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ·
95. Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμούς,
96. Ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς.
97. Σῶσον ἡμᾶς, Κύριε ὁ Θεὸς ἡμῶν·
98. Καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν·
99. Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ·
100. Τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου.
101. Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραήλ·
102. Ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος.
103. Καὶ ἐρεῖ πᾶς ὁ λαός· Γένοιτο, γένοιτο.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ἀλληλούϊα», ὅπερ ἑρμηνεύεται «αἰνεῖτε τὸν ὄντα Θεόν.»

1. Ἐξαγγείλατε αὐτῷ τὰς προτέρας ἐν τῇ ἀγνοίᾳ ὑμῶν πράξεις, ὅτι ἀγαθός ἐστιν.

2. Καὶ ἀδιάλειπτον τὸ ἔλεος αὐτοῦ.

3, 4. Τίς δυνηθῇ διηγήσασθαι μόνον τὰς εὐεργεσίας τοῦ Κυρίου, ἃς παρέχει τοῖς ἀνθρώποις, ἵνα ἀκούοντες ὑμνῶσιν αὐτόν;

5. Μακάριοι οἱ πιστεύοντες, ὅτι ἔστι κρίσις, καὶ ποιοῦντες δικαιοσύνην καὶ νυκτὸς καὶ ἡμέρας ποιοῦντες ἀγαθόν.

6. Μνήσθητι ἡμῶν, Κύριε, ὅτι εὐδοκεῖς τοῦ ἐλθεῖν [πρὸς] τοὺς πιστεύσοντας.

7. Ἐπίσκεψαι ἡμᾶς τοὺς ἀσθενεῖς ἐν τῷ πάθει σου·

8. Τοῦ δὲ ἡμᾶς ἐλεῆσαι ἐν τῇ ἀγαθότητι ἣν ποιεῖν [ποιεῖς] τοὺς ἐκλεκτοὺς τοῦ Θεοῦ.

9. Τοῦ εὐφρανθῆναι ἐν τῇ χάριτι ἣν παρέχεις τοῖς ἁγίοις σου.

10. Τοῦ ἀξιωθῆναι μακαρισμοῦ τῶν εὐαρεστησάντων σοι.

11, 12. Ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν οἱ σταυρώσαντές σε ἠνομήσαμεν.

13. Οἱ πατέρες ἡμῶν ἐν σκότει ὄντες οὐ συνῆκαν τὴν ὑπερβολὴν τῆς εὐσπλαγχνίας σου.

14. Οὐκ ἐμνήσθησαν τὸ ἀμέτρητον ἐλέους σου, ὅτι Θεὸς ὢν ἠξίωσας ἄνθρωπος γενέσθαι καὶ ὀφθῆναι τοῖς ἀνθρώποις.

15. Καὶ παρεπίκρανάν σε ἐπαιρόμενοι τῇ διανοίᾳ ἐν τῇ αἰσχύνῃ τοῦ κόσμου.

16. Καὶ τοὺς ἀσθενοῦντας αὐτῶν ἢ καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου ἔσωσε διὰ τὸ ὄνομα αὐτοῦ τὸ φιλάνθρωπον.

17. Ἵνα φανερώσῃ αὐτοῖς τὴν ἰσχὺν αὐτοῦ.

18. Καὶ ἐπετίμησε διὰ τοῦ λόγου τῆς χάριτος αὐτοῦ τῇ ἁμαρτίᾳ τοῦ κόσμου καὶ ἐνέκρωσεν αὐτήν.

19. Καὶ τοὺς πιστεύοντας αὐτῷ ὡδήγησεν ἐν τῷ βαπτίσματι, ἐν φωτισμῷ ὡς τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῇ ἐρήμῳ.

20, 21. Τὸ βάπτισμα τοὺς ἄρχοντας τοῦ Σατανᾶ ἐθανάτωσεν.

22, 23. Πάντας γὰρ συνέτριψεν ἐπὶ τοῦ ὕδατος.

24. Οἱ βαπτισθέντες ἐπίστευσαν τοῖς ῥηθεῖσι παρ' αὐτοῦ ἐν τοῖς Εὐαγγελίοις περὶ τῆς ἀποκειμένης βασιλείας τῶν οὐρανῶν.

25. Καὶ ἐδόξασαν αὐτόν.

26. Ὁ λαὸς τῶν Ἰουδαίων.

27. Οὐ διέμειναν ἐν τῷ νόμῳ καὶ ταῖς φωναῖς τῶν προφητῶν.

28. Καὶ μᾶλλον ἠγάπησαν τὴν ἀπόλαυσιν τοῦ κόσμου τούτου.

29. Καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ταῖς καρδίαις αὐτῶν ταῖς μὴ ἐχούσαις χάριν Θεοῦ, λέγοντες αὐτῷ· «Σημεῖον θέλομεν ἰδεῖν ἀπὸ σοῦ.[1]»

30. Ὅπερ ἠθέλησαν.

31. Ἐκ τῶν πέντε ἄρτων καὶ πάλιν ἐκ τῶν ἑπτὰ ἐχόρτασεν αὐτούς.[2]

32, 33. Καὶ ἐπέμειναν παροργίζοντες τὸν Υἱὸν ἐν τῷ κόσμῳ. «Μωϋσῆς» γὰρ ἑρμηνεύεται «ἀνάληψις», ὅπερ ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ, ἀνελήφθη γάρ. «Ἀαρὼν» ἑρμηνεύεται «ὄρος δυνάμεως·» τὸν οὖν Υἱὸν Θεοῦ λέγει, τὸν κατὰ φύσιν ἅγιον.

34. Ἠνοίχθη ἡ ψυχὴ τῶν ἀπειθούντων τῷ Κυρίῳ καὶ ἔλαβεν ἑαυτοὺς τὴν ἁμαρτίαν [ἡ ἁμαρτία] αὐτῶν· «Δαθὰν» γὰρ «κρίσις δεδομένη» ἑρμηνεύεται.

35. «Ἀβειρὼν» ἑρμηνεύεται «πατέρων ὑψηλῶν.» Ἐκάλυψεν οὖν ἡ ἁμαρτία τὴν συναγωγὴν τὸ μὲν πρῶτον τῶν Πατέρων τῶν ἁγίων, [δεύτερον δὲ] τῶν ἀρχόντων τῶν τετυφλωμένων.

36. Καὶ ἐπλεόνασεν ἡ ἁμαρτία ἐν τῇ καρδίᾳ αὐτῶν.

37. Καὶ ἀνομία κατηνάλωσεν αὐτούς.

38. Καὶ ἐποίησαν ἑαυτοῖς ἀσύνετον καρδίαν ἐν τῇ πηρώσει τῆς

---

1. Ματθ. 12, 38. 2. Πρβλ. Ματθ. 14, 16. 15, 34. Μάρκ. 6, 38. 8, 1. Ἰω. 6, 10.

διανοίας αὐτῶν. «Χωρὴβ» γὰρ ἑρμηνεύεται «ξηρασμός», ὅπερ ἐστὶ πήρωσις.

39. Καὶ ἐδουλώθησαν τῇ ἁμαρτίᾳ.

40. Καὶ τὴν δόξαν τῆς συνέσεως, ἧς ἔδωκεν αὐτοῖς ὁ Θεός, μετέβαλον εἰς ἀδόκιμον νοῦν.

41. Καὶ ὡμοιώθησαν κτήνει ἀσυνέτῳ, καὶ ὥσπερ ἐκεῖνα χόρτον ἐσθίει τὸν εἰς τὸ πῦρ βαλλόμενον, οὕτως καὶ οὗτοι τὴν ἁμαρτίαν μεταλαμβάνουσι τὴν εἰς καῦσιν βαλλομένην.

42. Καὶ ἐπελάθοντο τοῦ Σωτῆρος τοῦ κόσμου.

43. Τοῦ ποιήσαντος μεγάλα ἐν τῷ σκότει τοῦ κόσμου. «Αἴγυπτος» γὰρ «σκότος» ἑρμηνεύεται.

44. Ἐν τῇ συναγωγῇ τῶν Ἰουδαίων. «Χὰμ» γὰρ «τολμηρὸς» ἑρμηνεύεται, ὅπερ ἐστὶν ὁ λαὸς τῶν Ἰουδαίων.

45. Φοβερὰ ἐν τῷ κόσμῳ τῆς ἀνομίας.

46. Καὶ εἶπεν ὁ Πατὴρ τοῦ ἐξολοθρεῦσαι αὐτούς.

47, 48. Εἰ μὴ ὁ Υἱὸς αὐτοῦ ἔστη ἐπὶ τοῦ Σταυροῦ λέγων· «Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν.[1]»

49. Ὅπως ἀποστρέψῃ τὸν θυμὸν αὐτοῦ τοῦ μὴ ἐξολοθρεῦσαι αὐτούς. «Μωϋσῆς» γὰρ «ἀνάληψις» ἑρμηνεύεται, ὅπερ ἐστὶν ὁ Κύριος ἡμῶν Ἰησοῦς· ἀνελήφθη γάρ.

50. Τὴν Θεοτόκον Μαρίαν ὀνειδίζοντες, τῷ Κυρίῳ περὶ αὐτῆς καὶ λέγοντες· «Ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα.[2]»

51. Οὐκ ἐπίστευσαν, ὅτι ὁ Υἱός ἐστι τοῦ Θεοῦ.

52. Ἐγόγγυζον καθ' ἑαυτοὺς λέγοντες· «Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; [3]»

53. Οὐκ εἰσήκουσαν τῆς μαρτυρίας τοῦ Πατρὸς ἀπ' οὐρανῶν βοώσης· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός.[4]»

54. Καὶ ὠργίσθη αὐτούς.

55. Τοῦ συναπολέσθαι αὐτοὺς τῇ ἁμαρτίᾳ.

56. Καὶ τοῦ παραδοῦναι αὐτοὺς τῇ τῶν ἐθνῶν ἀναστροφῇ.

57. Καὶ ἀποστρέψαι αὐτοὺς ἐν ταῖς τοῦ βίου ἀπάταις.

58. Καὶ ἐλάτρευσαν τῷ διαβόλῳ διὰ τῆς ἀνομίας· «Βεελφεγὼρ» γὰρ ἑρμνηεύεται «εἶδος ἀσχημοσύνης», καὶ «δαιμοχαιρῶν.»

59. Καὶ μετέλαβον τὰς ἐπιθυμίας τὰς νεκρούσας τὴν ψυχὴν αὐτῶν.

60. Ἐν ταῖς ἁμαρτίαις αὐτῶν.

61. Καὶ τὸ πλῆθος αὐτῶν συνέπεσε τῇ ἁμαρτίᾳ.

62. Καὶ Στέφανος πάλιν προσηύξατο περὶ αὐτῶν λιθαζόμενος λέγων· «Κύριε, μὴ θήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην.[5]» «Φινεὲς» γὰρ ἑρμηνεύεται «στόμα αὐτοῦ σιγῶν·» τοῦτο γὰρ εἰπὼν ἐκοιμήθη.

---

1. Λουκ. 23, 34. 2. Ἰω. 8, 41. 3. Ματθ. 13, 55. Πρβλ. Ἰω. 6, 42. 4. Ματθ. 17, 5. 5. Πράξ. 7, 60.

63. Καὶ ἐπαύσατο ἡ ὀργὴ τοῦ Θεοῦ.

64, 65. Καὶ ἐλογίσθη τῷ Στεφάνῳ εἰς δικαιοσύνην.

66. Καὶ παρώργισαν τὸν Κύριον μὴ πιστεῦσαι τῷ βαπτίσματι αὐτοῦ.

67. Καὶ ἠσθένησεν ὁ νόμος δι' αὐτούς.

68. Ὅτι παρώργισε τὸν λαλήσαντα δι' αὐτοῦ

69. Οὐκ ἔτι ἐλάλει αὐτοῖς ὁ νόμος.

70. Οὐκ ἀπέρριψαν τὰς σαρκικὰς ἐπιθυμίας, ἃς εἶπεν αὐτοῖς Κύριος.

71. Καὶ ἐκολλήθησαν τοῖς δαίμοσι.

72. Καὶ ἔμαθον τὰς διδαχὰς αὐτῶν.

73. Ταῖς ἀνομίαις.

74. Καὶ ἐπαγιδεύθησαν ἐν αὐτοῖς.

75. Τὰ σώματα καὶ τὰς ψυχὰς αὐτῶν ἐθανάτωσαν ἐν τῇ ἁμαρτίᾳ.

76.-78. Καὶ κατῄσχυναν τὸ γένος αὐτῶν τὸ ἐκλεκτὸν δουλώσαντες τὰς ψυχὰς καὶ τὰ σώματα αὐτῶν, δι' ὧν ἐπετέλουν τὴν ἀνομίαν. «Χαναὰν» γὰρ ἑρμηνεύεται «προσκύνησις ἀνομίας.»

79, 80. Καὶ ἐνεκρώθη ὅλη ἡ συναγωγὴ τῶν Ἰουδαίων ἐν ταῖς ἁμαρτίαις.

81. Κολληθέντες τοῖς δαίμοσι καὶ ἀποστάντες τοῦ Θεοῦ.

82. Καὶ ὠργίσθη ἐπὶ τὸν πρότερον λαὸν αὐτοῦ.

83. Αὐτοὺς τοὺς Ἰουδαίους.

84. Συνεχώρησεν αὐτοὺς καταδυναστεύεσθαι ὑπὸ τῶν ἐναντίων δυνάμεων.

85. Οἱ δαίμονες.

86. Κατεδουλώσαντο αὐτοὺς αἱ τοῦ ἐχθροῦ δυνάμεις.

87. Καὶ ὑπετάγησαν ὑπὸ τὰς ἐξουσίας τῶν ἀκαθάρτων πνευμάτων.

88. Πολλάκις συνεχώρησεν αὐτούς.

89. Αὐτοὶ δὲ παρώργισαν αὐτὸν ἐν τῇ ἀπιστίᾳ αὐτῶν.

90. Καὶ κατενύγησάν τινες αὐτῶν.

91. Τοὺς λυπουμένους αὐτῶν.

92. Καὶ δεομένων αὐτῶν πρὸς αὐτὸν εἰσήκουσεν αὐτῶν.

93. Καὶ ἐμνήσθη, ὅτι καὶ αὐτοὶ σπέρμα Ἀβραάμ εἰσι.

94. Καὶ ἐσπλαγχνίσθη.

95. Καὶ ἔδωκεν αὐτοὺς εἰς ἐπίγνωσιν ἐλέους.

96. Καὶ ἐναντιοῦσθαι τοῖς δαίμοσι τοῖς αἰχμαλωτεύσασιν αὐτούς.

97. Καὶ τοῦ βοᾶν πρὸς αὐτὸν διὰ τοῦ βαπτίσματος· Κύριε ὁ Θεὸς ἡμῶν.

98. Ἐκ τῶν ἐναντίων δυνάμεων.

99. Τὰς ἁμαρτίας ἡμῶν.

100. Ἐν τοῖς προστάγμασί σου.

101. Εὐλογητὸς Κύριος ὁ Θεὸς τῶν διανοιῶν τῶν ὁμολογούντων σε, ὅτι Θεὸς εἶ. Τοῦτο γὰρ ἑρμηνεύεται Ἰσραήλ, «νοῦς ὁρῶν τὸν Θεόν».

102. Ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν μέλλοντα.
103. Καὶ πᾶς ὁ λαὸς τῶν πιστῶν λέγει· Ἀμήν, ἀμήν.

«Ἀλληλούϊα.» ΨΑΛΜ. ΡϚʹ.

1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός·
2. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
3. Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου·
4. Οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ·
5. Καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτούς·
6. Ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βορρᾶ καὶ θαλάσσης.
7. Ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν ἀνύδρῳ·
8. Ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον
9. Πεινῶντες καὶ διψῶντες·
10. Ἡ ψυχὴ [Αἱ ψυχαὶ] αὐτῶν ἐν αὐτοῖς ἐξέλιπε [ἐξέλιπον].
11. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς·
12. Καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐρρύσατο αὐτούς.
13. Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν,
14. Τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου.
15. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ,
16. Καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.
17. Ὅτι ἐχόρτασε ψυχὴν κενήν·
18. Καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν.
19. Καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου,
20. Πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ.
21. Ὅτι παρεπίκραναν τὰ λόγια τοῦ Θεοῦ·
22. Καὶ τὴν βουλὴν τοῦ Ὑψίστου παρώξυναν.
23. Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν·
24. Ἠσθένησαν καὶ οὐκ ἦν ὁ βοηθῶν.
25. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς·
26. Καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς.
27. Καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους καὶ σκιᾶς θανάτου·
28. Καὶ τοὺς δεσμοὺς αὐτῶν διέρρηξεν.
29. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ.
30. Καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.
31. Ὅτι συνέτριψε πύλας χαλκᾶς·
32. Καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν.
33. Ἀντιλάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν·
34. Διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν.
35. Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν·
36. Καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου.
37. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς·
38. Καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς·

39. 'Απέστειλε τὸν λόγον αὐτοῦ καὶ ἰάσατο αὐτούς·
40. Καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.
41. 'Εξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ,
42. Καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.
43. Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως·
44. Καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει.
45. Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις,
46. Ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς.
47. Αὐτοὶ εἶδον [εἴδοσαν] τὰ ἔργα Κυρίου,
48. Καὶ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ.
49. Εἶπε καὶ ἔστη πνεῦμα καταιγίδος·
50. Καὶ ὑψώθη τὰ κύματα αὐτῆς.
51. 'Αναβαίνουσιν ἕως τῶν οὐρανῶν·
52. Καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων·
53. 'Η ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο.
54. 'Εταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων·
55. Καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη.
56. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς·
57. Καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτούς.
58. Καὶ ἐπέταξε τῇ καταιγίδι καὶ ἔστη εἰς αὔραν·
59. Καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς.
60. Καὶ εὐφράνθησαν, ὅτι ἡσύχασαν·
61. Καὶ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτοῦ.
62. 'Εξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ,
63. Καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.
64. 'Υψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ·
65. Καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν.
66. ῎Εθετο ποταμοὺς εἰς ἔρημον·
67. Καὶ διεξόδους ὑδάτων εἰς δίψαν.
68. Γῆν καρποφόρον εἰς ἅλμην.
69. 'Απὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ.
70. ῎Εθετο ἔρημον εἰς λίμνας ὑδάτων·
71. Καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων.
72. Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας·
73. Καὶ συνεστήσαντο πόλεις κατοικεσίας.
74. Καὶ ἔσπειραν ἀγροὺς καὶ ἐφύτευσαν ἀμπελῶνας·
73. Καὶ ἐποίησαν καρπὸν γεννήματος.
76. Καὶ εὐλόγησεν αὐτοὺς καὶ ἐπληθύνθησαν [σφόδρα]·
77. Καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνε.
78. Καὶ ὠλιγώθησαν καὶ ἐκακώθησαν.
79. 'Απὸ θλίψεως κακῶν καὶ ὀδύνης.
80. 'Εξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας αὐτῶν·
81. Καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ.

82. Καὶ ἐβοήθησε πένητι ἐκ πτωχείας.
83. Καὶ ἔθετο ὡς πρόβατα πατριάς.
84. Ὄψονται εὐθεῖς καὶ εὐφρανθήσονται·
85. Καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς
86. Τίς σοφὸς καὶ φυλάξει ταῦτα;
87. Καὶ συνήσουσι τὰ ἐλέη τοῦ Κυρίου;

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ἀλληλούϊα», ὅπερ ἑρμηνεύεται, «αἰνέσατε καὶ ὑμνήσατε τὸν ὄντα Θεόν».

1. Προσαγάγετε τὰς ψυχὰς ὑμῶν τῷ Κυρίῳ.
2. Ὅτι ἀγαθός ἐστιν, ὅτι ἀτελεύτητον τὸ ἔλεος αὐτοῦ.
3. Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου τῷ βαπτίσματι, ὅτι ἀγαθὸς καὶ τὸ ἔλεος αὐτοῦ ἀδιάλειπτόν ἐστι.
4. Τοῦ διαβόλου.
5. Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις καὶ τὰς χώρας κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ καὶ ἰώμενος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν.
6. Ἀπὸ τοῦ λαοῦ τῶν Ἰουδαίων καὶ τῶν ἐθνῶν.
7. Ἐπλανήθησαν ἐν τῷ κόσμῳ ἐν τῇ εἰδωλολατρείᾳ καὶ πάσῃ πράξει ἀκάρπῳ.
8. Ἐντολὴν τῆς ἐπουρανίου πόλεως οὐχ εὗρον.
9. Ἵνα ἀναπαύσωνται αἱ ψυχαὶ αὐτῶν.
10. Ἐξεκαίοντο καὶ κατετήκοντο αἱ ψυχαὶ αὐτῶν ἀπὸ τῆς ἁμαρτίας.
11. Καὶ ἐβόησαν πρὸς τὸν Θεόν, ὅτι κατεδυναστεύοντο ὑπὸ τῆς ἁμαρτίας.
12. Ἐκ τῶν ἐναντίων δυνάμεων.
13. Εἰς τὴν πίστιν τῆς ἀληθείας αὐτοῦ.
13. Τοῦ εὑρεῖν αὐτοὺς ἀνάπαυσιν τῇ ἄνω Ἱερουσαλήμ.
15. Διηγήσονται πᾶσι τὰ ἐλέη αὐτοῦ.
16. Καὶ τὴν ἀμέτρητον αὐτοῦ ἀγαθότητα τοῖς υἱοῖς τῶν ἀνθρώπων.
17. Ὅτι πᾶσαν ψυχὴν ἀσθενῆ ἐνεδυνάμωσεν.
18. Καὶ ἐνέπλησε τῶν χαρισμάτων τοῦ Πνεύματος αὐτοῦ τοῦ ἀγαθοῦ.
19. Ἐγκεκλεισμένοι ἐν τῇ ἁμαρτίᾳ τοῦ θανάτου.
20. Ῥερημμένους [Πεπεδημένους] ἐν θλίψει καὶ ὀδύνῃ ἰσχυρᾷ.
21. Ὅτι ἐναντία τῶν λόγων τοῦ Θεοῦ πεποιήκασι.
22. Μὴ ποιήσαντες τὸ θέλημα αὐτοῦ.
23. Ἐδουλώθη ἐν ἁμαρτίᾳ ἡ καρδία αὐτῶν.
24. Αἱ ψυχαὶ αὐτῶν ἠσθένησαν καὶ οὐδεὶς ἴσχυε βοηθῆσαι αὐτοῖς.

25. Καὶ ἐδεήθησαν ἐν τῷ κυριεύσθαι αὐτοὺς ὑπὸ τῆς ἁμαρτίας.
26. Καὶ ἐκ τῶν ἀκαθάρτων πνευμάτων ἔσωσεν αὐτούς.
27. Τῆς ἐξουσίας τοῦ διαβόλου.
28. Καὶ τὰς ἐπιθυμίας τὰς πονηρὰς ἐκ τῶν καρδιῶν αὐτῶν ἀπέρριψεν.
29. Ἀνυμνήσατε τὰ ἐλέη τοῦ Κυρίου.
30. Καὶ διηγήσονται τὴν ἀμέτρητον αὐτοῦ φιλανθρωπίαν.
31. Ὅτι συνέτριψε τὰς ἐναντίας δυνάμεις.
32. Καὶ τοὺς ἄρχοντας τοῦ σκότους τῆς ἁμαρτίας ἀπώλεσεν.
33. Ἐρρύσατο αὐτοὺς ἐκ τῆς ἀναστροφῆς αὐτῶν τῆς πονηρᾶς.
34. Διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐδουλώθησαν.
35. Ἐξετάκησαν αἱ ψυχαὶ αὐτῶν καὶ ἀπεγνώσθησαν.
36. Ἕως τῆς συντελείας παρ' ὀλίγον ὁ θάνατος ἐκυρίευσε τῶν ἀνθρώπων.
37. Ἀνεβόησαν πρὸς Κύριον καὶ Θεὸν ἐν τῷ συνέχεσθαι αὐτοὺς ὑπὸ τῶν ἁμαρτιῶν αὐτῶν.
38. Καὶ ἐκ τῶν τοῦ διαβόλου δυναστειῶν ἔσωσεν αὐτούς.
39. Ἀπέστειλε τὸν Θεὸν Λόγον ὁ Πατὴρ καὶ κεντηθέντος αὐτοῦ τὴν πλευρὰν ἡμεῖς πάντες ἰάθημεν, ὡς Ἡσαΐας λέγει «Τῷ μώλωπι αὐτοῦ πάντες ἰάθημεν.[1]»
40. Τῷ γὰρ θανάτῳ αὐτοῦ τὸν θάνατον συνέτριψεν.
41. Δοξάσουσι τὰ ἐλέη αὐτοῦ.
42. Καὶ διηγήσονται τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὅτι ἐν ὁμοιώματι ἡμῶν γενόμενος[2] πέπονθε δι' ἡμᾶς ὁ Θεὸς Λόγος καὶ ἀνέστη.
43. Καὶ ἀνυμνήσουσιν αὐτὸν ἐν ταῖς καρδίαις αὐτῶν.
44. Καὶ διηγήσονται τὰ παθήματα αὐτοῦ καὶ τὴν ἀνάστασιν, καυχώμενοι καὶ χαίροντες.
45. Οἱ ἀπόστολοι λέγοντες· «Ἡμῖν δὲ μὴ ἦ καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.[3]»
46. Ἦσαν γὰρ ἁλιεῖς.
47. Αὐτόπται γεγόνασι τῶν παθημάτων καὶ τῆς ἀναστάσεως.
48. Ὅτε ἔπλεον εἰς τὴν χώραν τῶν Γαδαρηνῶν.
49. Τῷ Πνεύματι τοῦ προστάγματος αὐτοῦ κατέβη λαῖλαψ ἀνέμου.
50. Διηγείρετο ἡ θάλασσα.
51. Καὶ συνέβαλλον [συνέβαινον] τὰ κύματα εἰς τὸ πλοῖον.
52. Καὶ συνεπληροῦντο καὶ ἐκινήθησαν
53. Ἐφοβήθησαν καὶ ὠλιγοψύχησαν.
54. Καὶ ἐν ἀγῶνι πολλῷ γέγονα [γεγόνασι].
55. Καὶ πᾶσα ἡ τέχνη αὐτῶν ἡττήθη ὑπὸ τοῦ κλύδωνος· ἦσαν γὰρ ἁλιεῖς.

---

1. Ἡσ. 53, 5. 2. Πρβλ. Φιλιπ. 2, 7. 3. Γαλ. 6, 14.

56. Καὶ ἐβόησαν πρὸς τὸν Ἰησοῦν· «Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα.[1]»

57. Καὶ ἐκ τῶν κυμάτων καὶ τοῦ λαίλαπος τοῦ ἀνέμου ἐξήγειρεν αὐτούς.

58. Ἐπετίμησε γὰρ τῷ ἀνέμῳ καὶ ἐπαύσατο καὶ μόνον αὔραν παρεῖχεν εἰς ἀνάψυξιν αὐτοῖς.

59. «Καὶ ἐγένετο γαλήνη μεγάλη.[2]»

60. Καὶ ἐπλήσθησαν χάριτος, ὅτι διεσώθησαν.

61. Κατέπλευσαν γὰρ εἰς τὴν χώραν τῶν Γαδαρηνῶν.

62. Διηγήσονται ἐν Εὐαγγελίῳ.

63. Καὶ αὐτὰ τὰ θαυμάσια αὐτοῦ σὺν τοῖς λοιποῖς τοῖς υἱοῖς τῶν ἀνθρώπων.

64. Δοξάσουσι αὐτὸν διὰ τοῦ κηρύγματος ἐν τοῖς ἔθνεσιν.

65. Καὶ ἐν τῇ ἀναπαύσει τῶν ἁγίων αἰνεσάτωσαν αὐτόν.

66. Τὰς φυλὰς τῶν Ἰουδαίων.

67. Καὶ ἀπὸ τῶν καρδιῶν αὐτῶν ἀφελεῖ τὴν χάριν αὐτοῦ διὰ τὴν ἀπιστίαν αὐτῶν.

68, 69. Τὴν συναγωγὴν τὴν ἄτεκνον.

70, 71. Καὶ τὰς καρδίας αὐτῶν βρύειν τὴν χάριν αὐτοῦ.

72. Τὸ πλῆθος τῶν ἐθνῶν ἐν τῇ Ἐκκλησίᾳ.

73. Τὰς καρδίας αὐτῶν.

74. Οἱ ἀπόστολοι τὰς καρδίας τῶν ἐθνῶν.

75. Τὰ ἔθνη καρπὸν δικαιοσύνης.

76. Τοὺς πιστούς.

77. Καὶ τοὺς ταπεινοὺς αὐτῶν καὶ πραεῖς οὐκ ἐξουδένωσεν.

78. Ὁ λαὸς τῶν Ἰουδαίων.

79. Ἀπὸ θλίψεως κακῶν καὶ τῆς ὀδύνης τῆς γενομένης αὐτοῖς παρὰ τῶν ἐθνῶν τῶν κυριευσάντων αὐτούς.

80. Τῶν Ἰουδαίων.

81. Καὶ εἴασεν αὐτοὺς τῇ ἐπιθυμίᾳ τῶν καρδιῶν αὐτῶν πορεύεσθαι.

82. Τῷ ἐξ ἐθνῶν λαῷ.

83. Τὰ ἔθνη.

84. Αἱ ἅγιαι δυνάμεις χαιρόμεναι βοήσωσι· «Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη[3]», καὶ τὰ ἑξῆς.

85. Καὶ πᾶσα ἐναντία δύναμις καταισχυνθεῖσα παύσεται μετὰ τῆς διδαχῆς αὐτῶν.

86, 87. Οὐ λέγει· Τίς σοφὸς τοῦ κόσμου τούτου; ἀλλὰ τῆς ἀποκεκρυμμένης σοφίας τίς ἐμπεπλησμένος, ἵνα πρόσχῃ τῇ διανοίᾳ [πρὸς] ταῦτα τὰ εἰρημένα ἐνταῦθα καὶ ἐπιγνῷ τὰ ἐλέη τοῦ Κυρίου τὰ ἀμέτρητα καὶ ἀνεξιχνίαστα;

---

1. Ματθ. 8, 25. 2. Ματθ. 8, 26. 3. Λουκ. 2, 14.

«Ὠδὴ ψαλμὸς [ψαλμοῦ] τῷ Δαυίδ.» ΨΑΛΜ. ΡΖ΄.

1. Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου·
2. Ἄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου.
3. Ἐξεγέρθητι, ἡ δόξα μου·
4. Ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα·
5. Ἐξεγερθήσομαι ὄρθρου.
6. Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε·
7. Ψαλῶ σοι ἐν ἔθνεσι
8. Ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου·
9. Καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.
10. Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός·
11. Καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.
12. Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου·
13. Σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου.
14. Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ·
15. Ὑψωθήσομαι καὶ διαμεριῶ Σίκιμα·
16. Καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.
17. Ἐμός ἐστι Γαλαὰδ καὶ ἐμός ἐστι Μανασσῆς·
18. Καὶ Ἐφραῒμ ἀντίληψις τῆς κεφαλῆς μου·
19. Ἰούδας βασιλεύς μου.
20. Μωὰβ λέβης τῆς ἐλπίδος μου·
21. Ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλῶ [ἐκτενῶ] τὸ ὑπόδημά μου·
22. Ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.
23. Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς;
24. Ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;
25. Οὐχὶ σύ, ὁ Θεὸς ὁ ἀπωσάμενος ἡμᾶς;
26. Καὶ οὐκ ἐξελεύσῃ, ὁ Θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν;
27. Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως·
28. Καὶ ματαία σωτηρία ἀνθρώπου.
29. Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν.
30. Καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ὠδὴ ψαλμοῦ τῷ Δαυίδ», ὅπερ ἑρμηνεύεται τὸ ᾆσμα τοῦ ψαλμοῦ «τῷ ἱκανῷ τῇ χειρί», τουτέστι τῷ Υἱῷ τοῦ Θεοῦ.

1. Εἰς τὸ δοξάζεσθαι τὴν χάριν σου.
2. Ἐν ἀγαλλιάσει τῆς χάριτός σου ψαλῶ.
3. Ἐλθὲ ἐν τῇ διανοίᾳ μου, ὁ Θεός.
4. Καὶ διανίστασο [διαναστήσω] τὸ πνεῦμά μου σὺν τῇ διανοίᾳ μου.

5. Ὅταν φωτίσῃς με διὰ τῆς χάριτός σου, τότε ἐξερθήσομαι. τῇ καρδίᾳ.

6. Ἀνυμνήσω σε ἐν λαοῖς, Κύριε.

7. Δοξάσω σε ἐν τοῖς ἔθνεσιν.

8. Διηγοῦμεν [διηγούμενος] πᾶσιν, ὅτι πολὺς ὁ μισθὸς ὁ ἀποκείμενος τοῖς ἀγαπῶσί σε.

9. Καὶ ἡ ἐπαγγελία τῶν μελλόντων ἀγαθῶν ἕως τῶν ἁγίων τῶν κεχωρισμένων ἐκ τῆς γῆς.

10. Ἀναλήφθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός.

11. Καὶ ἐπὶ πάντα τὰ ἔθνη τὸ κήρυγμα τῶν παθημάτων σου.

12. Οἱ πιστεύοντες εἰς σέ.

13. Ἐπάκουσόν μου καὶ σῶσον τῇ ἰσχύι σου.

14. Λοιπὸν ὁ Θεὸς Λόγος ἀποκρίνεται διὰ τοῦ χοροῦ τῶν προφητῶν·

15. Ὅταν σταυρωθῶ, τότε πάντας τοὺς πιστοὺς ἑλκύσω πρὸς ἐμαυτόν. «Σίκιμα» γὰρ ἑρμηνεύεται «ἡ ἀναβαίνουσα», τουτέστιν ἡ ἐξ ἐθνῶν Ἐκκλησία· ἢ πάλιν ἡ ποθοῦσα ψυχὴ τὸν Κύριον· χωρίζει γὰρ ἐκ τοῦ κόσμου· ἢ πάλιν ἔστιν ἄλλως θεωρῆσαι τὸν Κύριον λέγοντα, ὅτι Ὅταν σταυρωθῶ, τὰ χαρίσματά μου διαμερίσω τοῖς πιστεύουσιν εἰς ἐμέ.

16. Καὶ τὴν καρδίαν τὴν ταπεινοῦσαν ἑαυτὴν ἐνοικήσω καὶ ἐμπεριπατήσω.

17. «Γαλαάδ» ἑρμηνεύεται «μέτοικος·» «Μανασσῆς» ἑρμηνεύεται «ἐπιλανθανόμενος.» Ἐμὸς οὖν ἐστι, λέγει, ὁ ἀπὸ τῆς ἁμαρτίας φεύγων καὶ μέτοικος γενόμενος παρ' ἐμοὶ καὶ ὅς ἐστι λανθανόμενος τῶν προτέρων αὐτοῦ πονηρῶν πράξεων.

18. «Ἐφραΐμ» ἑρμηνεύεται «παράκλητος.» Πνεῦμα τὸ ἅγιον, λέγει, Παράκλητος ἀντίληψις τῆς καρδίας μου.

19. Καὶ ὁ Υἱὸς τοῦ Θεοῦ βασιλεύς μου· δῆλον γὰρ ἐξ Ἰουδαίων ἀνέσταλκεν ὁ Θεὸς Λόγος, ὅταν αὐτὸς γέγονε σὰρξ ἐκ τῆς Παρθένου.

20. Ἐν τῷ πεντηκοστῷ ἐνάτῳ ψαλμῷ τὸν αὐτὸν στίχον εὑρήσεις ἐγκείμενον καὶ τὴν ἑρμηνείαν αὐτήν.

21. «Ἰδουμαία» ἑρμηνεύεται «ἐκλείπουσα·» ἐπὶ τὴν οἰκουμένην οὖν τὴν ἐκλείπουσαν ποιήσομαι τὴν πορείαν μου.

22. «Ἀλλόφυλοι» ἑρμηνεύεται «πίπτοντες ποτήματι·» τὰ ἔθνη οὖν τὰ πρότερον πίπτοντα διὰ τοῦ πόματος τῆς ἁμαρτίας ὑπετάγησάν μοι διὰ τῆς πίστεως.

23. Τίς ἀπαγάγει [ἀπάγει] με εἰς τὴν ἄνω Ἱερουσαλήμ;

24. «Πρὸς τὴν Ἰδουμαίαν», ἤγουν πρὸς τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν τὴν τὸ πρότερον ἐκλείπουσαν.

25. Οὐχὶ σὺ ἡμᾶς ὁ Θεὸς ὁδηγήσεις πρὸς αὐτὴν ὁ τὸ πρότερον ἡμᾶς ἀπορρίψας;

26. Οὐκ ἐξελεύσῃ ὡς εἷς τῶν βασιλέων ἢ τῶν ἀρχόντων ἡμῶν.

27. Λύτρωσαι ἡμᾶς ἀπὸ τῆς ἁμαρτίας.
28. Πάντων γὰρ τῶν ἀνθρώπων ἡ δυναστεία ματαία.
29. Ἐν τῷ Θεῷ διὰ τῆς πίστεως δύναμιν θῶμεν.
30. Καὶ αὐτὸς ἀσθενεῖς ποιήσεις τοὺς ἐχθροὺς ἡμῶν.

«Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΡΗ΄.

1. Ὁ Θεός, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς·
2. Ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη.
3. Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ·
4. Καὶ λόγοις μίσους ἐκύκλωσάν με·
5. Καὶ ἐπολέμησάν με δωρεάν.
6. Ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με·
7. Ἐγὼ δὲ προσηυχόμην.
8. Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν·
9. Καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου.
10. Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν·
11. Καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ.
12. Ἐν τῷ κρίνεσθαι αὐτόν, ἐξέλθοι καταδεδικασμένος·
13. Καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν.
14. Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι.
15. Καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος.
16. Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοί·
17. Καὶ ἡ γυνὴ αὐτοῦ χήρα.
18. Σαλευόμενοι μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ καὶ ἐπαιτησάτωσαν·
19. Ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν.
20. Ἐξερευνησάτω δανειστὴς πάντα, ὅσα ὑπάρχει αὐτῷ·
21. Καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ.
22. Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ·
23. Μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ.
24. Γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν·
25. Ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ.
26. Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι Κυρίου·
27. Καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη.
28. Γενηθήτωσαν ἐναντίον Κυρίου διαπαντός·
29. Καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.
30. Ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος·
31. Καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχόν,
32. Καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι.
33. Καὶ ἠγάπησε κατάραν καὶ ἥξει αὐτῷ·
34. Καὶ οὐκ ἠθέλησεν εὐλογίαν καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ.
35. Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον.

36. Καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ·
37. Καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ.
38. Γενηθήτω αὐτῷ ὡς ἱμάτιον ὃ περιβάλλεται·
39. Καὶ ὡσεὶ ζώνη ἣν διαπαντὸς περιζώννυται.
40. Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίου.
41. Καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου.
42. Καὶ σύ, Κύριε, Κύριε, ποίησον μετ' ἐμοῦ [ἔλεος] ἕνεκεν τοῦ ὀνόματός σου·
43. Ὅτι χρηστὸν τὸ ἔλεός σου [Κύριε].
44. Ῥῦσαί με, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ·
45. Καὶ ἡ καρδία μου τετάρακται ἐντός μου.
46. Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτήν, ἀντανηρέθην·
47. Ἐξετινάχθην ὡσεὶ ἀκρίδες.
48. Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας·
49. Καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον.
50. Κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς·
51. Εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν.
52. Βοήθησόν μοι, Κύριε ὁ Θεός μου·
53. Καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου.
54. Καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη·
55. Καὶ σύ, Κύριε, ἐποίησας αὐτήν.
56. Καταράσονται αὐτοὶ καὶ σὺ εὐλογήσεις·
57. Οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν·
58. Ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.
59. Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπήν.
60. Καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν.
61. Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου·
62. Καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν.
63. Ὅτι παρέστη ἐκ δεξιῶν πένητος,
64. Τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ὅτι ὁ ψαλμὸς εἰς τὰ τέλη εἴρηται τῶν μελλόντων συμβήσειν «τῷ ἱκανῷ τῇ χειρί», τουτέστι τῷ Υἱῷ τοῦ Θεοῦ.

1. Ὁ Θεὸς ὁ Πατήρ μου, ὁ μόνος με γινώσκων, τὴν δόξαν μου φανέρωσον τίς ὑπάρχει.

2. Ὅτι ὡς ἕνα τῶν ἀνθρώπων οὗτος ὁ ἁμαρτωλὸς ὁ Ἰούδας μετὰ δόλου ἦλθεν φιλῆσαί με λέγων· «Χαῖρε Ῥαββί.[1]»

---

1. Ματθ. 26, 49.

3. Συνέθετο μετὰ τῶν Ἰουδαίων λαβεῖν ἀργύρια παρ' αὐτῶν καὶ παραδοῦναί με.

4. Καὶ βουλευσάμενοι ἐκύκλωσάν με.

5. Καὶ μετὰ ξύλων καὶ μαχαιρῶν ἐλθόντες ἐκράτησάν με ἀδίκως.

6. Ὑπὲρ ὧν ὤφειλον ἀγαπᾶν με, ὅτι τοὺς ἀσθενοῦντας αὐτῶν ἰασάμην, κατηγόρουν μου.

7. Ἐγὼ δὲ προσηυχόμην τύπον τοῖς μαθηταῖς μου διδοὺς ἐν καιρῷ πειρασμοῦ οὕτως προσεύχεσθαι.

8. Καὶ ὥρισαν ἀναιρεθῆναί με ἀντὶ τῶν ἀγαθῶν, ὧν ἀεὶ παρέσχον αὐτοῖς.

9. Καὶ ἀντὶ τῆς ἀγάπης, ἧς ἐγὼ ἠγάπησα αὐτούς, ἐμίσουν με.

10, 11. Ἀρχέτω αὐτοῦ καὶ κυριευσάτω ἀπ' ἀρχῆς ἁμαρτωλὸς ὁ διάβολος.

12. Ἀναπολόγητος ἔστω ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως

13. Καὶ ἡ καρδία αὐτοῦ γενέσθω εἰς σκότος.

14. Αὐθημερὸν γὰρ ἀπελθὼν ἀπήγξατο.

15. Ματθίας, οὐχ ὁ τελώνης.

16. Τὰ ἔργα αὐτοῦ μάταια.

17. Καὶ ἡ ψυχὴ αὐτοῦ διαρπαζομένη.

18. Ἐν ἐνδείᾳ συνέσεως καταστῶσιν αἱ φρένες αὐτοῦ.

19. Ἐκβληθήτωσαν ἀπ' αὐτοῦ αἱ φρένες αὐτοῦ ὑπὸ τῶν ἐν τῇ καρδίᾳ αὐτοῦ τεχθέντων πονηρῶν ἐνθυμήσεων.

20. Μηδεμίαν ἁμαρτίαν αὐτοῦ συγχωρήσει ὁ Κύριος.

21. Καὶ αἱ ἐναντίαι δυνάμεις κατακυριεύσουσι τῆς ψυχῆς καὶ τῶν μελῶν αὐτοῦ.

22. Μηδεὶς εὑρεθῇ βοηθὸς αὐτῶν.

23. Μηδὲ οἰκτειρήσῃ ὁ Κύριός τι τῶν ἔργων αὐτοῦ τῶν πονηρῶν.

24. Τὰ ἔργα αὐτοῦ.

25. Παραχρῆμα ἐκ τῆς βίβλου τῆς ζωῆς.

26. Τῶν Πατέρων αὐτοῦ τῶν ἐν τῇ ἐρήμῳ ἐναντιουμένων ἀεὶ τῷ Κυρίῳ.

27. Τῆς συναγωγῆς.

28. Γενηθήτωσαν ἀεὶ ἐναντιούμενοι τῷ Κυρίῳ.

29. Καὶ ἐξολοθρευθείη ἐκ τῆς γῆς τῶν ζώντων τὸ μνημόσυνον τῶν ἀπειθούντων Ἰουδαίων.

30. Ἀνθ' ὧν οὕτως ἐπενοήσατο.

31. Καὶ κατεδίωξε τὸν πλούσιον τὸν δι' ἡμᾶς πτωχεύσαντα.

32. Τὸν πρᾶον τῇ καρδίᾳ.

33. Καὶ ἡ ἀγάπη θάνατον καὶ ἥξει αὐτοῖς.

34. Καὶ οὐκ ἠθέλησε τὴν αἰώνιον ζωὴν καὶ ἀποστήσεται ἀπ' αὐτοῦ.

35. Τὸν θάνατον ὡς ἱμάτιον.

36. «Πρηνὴς γὰρ γενόμενος ἐλάκησε μέσος καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ.[1]»
37. Περιεχύθη ὁ θάνατος ἐν τοῖς μέλεσιν αὐτοῦ.
38. Ἔστω μετ' αὐτοῦ διὰ παντὸς ἡ ἁμαρτία περιπτυσσομένη αὐτόν.
39. Περισφίγγου αὐτὸν ἀεί.
40. Τοῦτο γενέσθω ἐπὶ τὸν διάβολον καὶ τοὺς ἀγγέλους αὐτοῦ.
41. Καὶ [κατὰ] τῶν ἐναντίων δυνάμεων, τῶν συμβουλευομένων ἀπολέσθαι τὴν ψυχήν μου.
42. Καὶ σύ, Κύριε Κύριε, ὅτι τὸ ὄνομά σου φιλάνθρωπον λέγεται καὶ ἐστίν, οὕτως καὶ ποίησον μετ' ἐμοῦ·
32. Ὅτι ἀγαθὸν τὸ ἔλεός σου.
44. Ῥῦσαί με, ὅτι πτωχός εἰμι καὶ πένης ἐν τῇ ἰσχύι τῆς ψυχῆς μου.
45. Καὶ ἡ καρδία μου ἐν ἀγῶνι πολλῷ καθέστηκεν·
46. Ἀσθενησάσης αὐτῆς καὶ ἐκκλινάσης [Ἀσθενήσασαν αὐτὴν καὶ ἐκκλίνασαν] εἰς ἁμαρτίαν ἐθανάτωσας.
47. Κατερρίφην ἀπὸ τῶν ἀερίων πνευμάτων τῶν ἀκαθάρτων.
48. Ἐξέτηξα ἐμαυτὸν ἐν νηστείαις ἐξομολογούμενός σοι.
49. Καὶ γέγονεν ἡ εἰδέα μου ὡσεὶ νεκροῦ, διὰ τὸ ἐλεηθῆναί με παρὰ σοῦ.
50. Καὶ ὡς ὄνειδός με ἔχουσιν αἱ ἐναντίαι δυνάμεις ὁρῶσαί με ἐν τῇ μετανοίᾳ.
51. Καὶ βλέποντες ἀπειλοῦσί με.
52. Πολέμησον τοὺς ἐπανισταμένους μοι.
53. Τὸ ἀμέτρητον.
54. Καὶ ἐπιγνῶσιν, ὅτι ἡ χείρ σου δύναται βοηθῆσαι καὶ σῶσαί με.
55. Καὶ σύ, Κύριε, ηὐτρέπισας αὐτὴν εἰς βοήθειαν.
56. Θελήσουσι ἀπολέσθαι με καὶ σὺ περιποιήσεις με εἰς σωτηρίαν.
57. Μηδὲν δυνάμενοι ποιῆσαί μοι ἐναντίαι δυνάμεις αἰσχυνθήτωσαν.
58. Ἐγὼ δὲ καὶ πᾶς δοῦλός σου εὐφρανθησόμεθά ἐν τῇ χάριτί σου.
59. Οἱ ἄρχοντες τοῦ κόσμου
60. Αἱ ἐναντίαι δυνάμεις.
61. Ἀπαύστως ὁμολογήσω τὴν παρὰ τοῦ Θεοῦ μοι γενομένην σωτηρίαν.
62. Καὶ ἐπὶ πάντων ἀνυμνήσω αὐτόν.
63. Ὅτι παρέστη ὑπερασπίζων μου καὶ μὴ συγχωρῶν τινα τῶν ἐπιβούλων μου πλησιάσαι μοι
64. Τοῦ λυτρώσασθαι ἐκ τῶν ἐναντίων δυνάμεων τὴν ψυχήν μου.

---

1. Πράξ. 1, 18.

«Ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΡΘ΄.

1. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου,
2. Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.
3. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών·
4. Καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου.
5. Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου,
6. Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου·
7. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε.
8. Ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται·
9. Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ.
10. Κύριος ἐκ δεξιῶν σου συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς.
11. Κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα·
12. Συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν.
13. Ἐκ χειμάρρου ἐν ὁδῷ πίεται·
14. Διὰ τοῦτο ὑψώσει κεφαλήν.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει «Ψαλμὸς τῷ Δαυίδ», ὅπερ ἑρμηνεύεται, ὡς πολλάκις εἰρήκαμεν, «Ψαλμὸς τῷ ἱκανῷ τῇ χειρί», τουτέστι τῷ Υἱῷ τοῦ Θεοῦ.

1. Εἶπεν ὁ Πατὴρ τῷ ἐξαγοράσαντί με τῷ τιμίῳ αἵματι αὐτοῦ· «Κάθου ἐκ δεξιῶν μου», ἵνα πάντες γνῶσιν, ὅτι σὺ εἶ ἡ δόξα μου.

2. Ἕως ἂν οἱ ἀέριοι καὶ ἐπίγειοι καὶ καταχθόνιοι ἐχθροί σου γόνυ κάμψουσι δεδεμένοι δεσμοῖς ἀιδίοις, ἐξομολογούμενοι, ὅτι ὄντως Κύριος Ἰησοῦς εἰς δόξαν τοῦ ἑαυτοῦ Πατρός.[1]

3. Ἐν δυνάμει καὶ ἐξουσίᾳ μεγάλῃ ἐλεύσεται ἀπὸ τοῦ Πατρός· «Σιὼν» γὰρ ἑρμηνεύεται «τόπος», ὅπου «ἡ σκηνή.»

4. Καὶ βασιλεύσεις ἀτελευτήτως κατὰ τῶν ἐχθρῶν σου.

5. Ἔμπροσθέν σου ὁ σταυρὸς τοῦ πάθους σου ἐν τῇ ἡμέρᾳ τῆς ἐνδόξου σου παρουσίας.

6. Ὅταν οἱ ἅγιοί σου ἐκλάμψουσιν ὡς ὁ ἥλιος.[2]

7. Ἐν ἐμοὶ ἧς ἀεὶ ἀφ᾽ οὗ ἠρξάμην δημιουργεῖν τὰ πάντα διὰ σοῦ· ἐφανέρωσά σε, ὅτι εἶχον, καὶ ἔχω Υἱὸν ἐν ἑαυτῷ.

8. Ἔθετο ὁ Πατὴρ ἀσάλευτον καὶ ἀμετάβλητον.

9. Σὺ εἶ ὄντως ἱερεὺς ἀληθής, ὁ καθάρας πάντα τὸν λαόν σου ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ· οὐ δεήσεις ἢ ἱκεσίας ποιησάμενος πρός τινα, ἀλλὰ τῷ τιμίῳ αἵματι πάντας καθαρίσας. Τὸ δέ, «κατὰ τὴν τάξιν Μελχισεδέκ», τοῦτον ἔχει τὸν τρόπον. Πρῶτον μὲν ὁ Μελχισεδὲκ

---

1. Πρβλ. Φιλιπ. 2, 10-11. 2. Πρβλ. Ματθ. 13, 43.

ἱερεὺς ἀνεδείχθη οὐκ ἐκ τῆς φυλῆς τοῦ Λευΐ τῆς ἱερατείας, ὥσπερ οὔτε ὁ Κύριος, ὅτε εὐδόκησεν ἐπὶ τῆς γῆς τεχθῆναι, οὐκ ἐκ τοῦ Λευΐ ἐτέχθη· δεύτερον δὲ τὰς δεκάτας, ἃς ἐδίδου ὁ ἱερεὺς τῷ Θεῷ, ταύτας προσήνεγκεν 'Αβραὰμ τῷ Μελχισεδέκ.[1] 'Επειδὴ κατὰ πάντα τύπον ἔφερεν ὁ Μελχισεδὲκ τὸν Υἱὸν τοῦ Θεοῦ.

10. Σὺ ἐκ δεξιῶν τοῦ Πατρός, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον ἐκ δεξιῶν σου· τῷ γὰρ Πνεύματι τοῦ στόματος αὐτοῦ ἀναλώσει ὁ Κύριος τὸν διάβολον καὶ τὰς ἐξουσίας αὐτοῦ.[2]

11. «Ποιήσει ἐκδίκησιν ἐν τοῖς ἔθνεσι[3]», καὶ πάσας τοῦ ἐχθροῦ τὰς ἀρχὰς θανατώσει.

12. Τῶν δαιμόνων.

13. 'Εκ τοῦ πλήθους τῶν ἐθνῶν ἐν τῇ πίστει πίεται τὴν σωτηρίαν αὐτῶν.

14. Διὰ τοῦτο τὴν προτέραν ἀρχὴν κατὰ πάντων τῶν ἐπὶ τῆς γῆς καὶ ἐξουσίαν, ἣν ἔδωκεν ἡμῖν ἐπὶ τοῦ 'Αδάμ, πάλιν ἀποκατέστησεν ἡμῖν.

«'Αλληλούϊα.» ΨΑΛΜ. ΡΙ'.

1. 'Εξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου·
2. 'Εν βουλῇ εὐθέων καὶ συναγωγῇ.
4. Μεγάλα τὰ ἔργα Κυρίου.
4. 'Εξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ.
5. 'Εξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ·
6. Καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
7. Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ,
8. 'Ελεήμων καὶ οἰκτίρμων ὁ Κύριος·
9. Τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν.
10. Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ·
11. 'Ισχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ,
12. Τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν.
13. Ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις.
14. Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ·
15. 'Εστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·
16. Πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι.
17. Λύτρωσιν ἀπέστειλε [ἀπέστειλε Κύριος, κ.τ.λ.] τῷ λαῷ αὐτοῦ·
18. 'Ενετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ·
19. Ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ·
20. 'Αρχὴ σοφίας φόβος Κυρίου·
21. Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν·
22. 'Η αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

---

1. Πρβλ. Γεν. 14, 20. 2. Πρβλ. Β' Θεσ. 2, 8. 3. Ψαλμ. 149, 7.

'Αθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «'Αλληλούϊα», ὅπερ ἑρμηνεύεται «αἰνέσατε, ὑμνήσατε, πάντα Θεόν.»

1. 'Εν τῷ ἄρξασθαί με λαλεῖν, οὐκ ἀποκρύψω τι τῶν ἐν τῇ καρδίᾳ μου.

2. 'Εν τῷ ἐπισυναχθῆναι τοὺς ἁγίους ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

3. Μεγάλη ἡ ἀνταπόδοσις αὐτοῦ [αὐτῶν] παρὰ τοῦ Κυρίου. Τὸ γὰρ Γὴθ [Βὴθ] ἑρμηνεύεται «ληνός», ὅπερ ἐστὶν εὐφροσύνη.

4. Δεδοκιμασμένα τὰ ἔργα τῶν ἁγίων κατὰ πάντα τὰ θελήματα τοῦ Κυρίου. Τὸ γὰρ «Γαμὲν» (Γίμελ) ἑρμηνεύεται «ἀνταπόδοσις», τουτέστι τοῦ ἔργου τῶν ἁγίων.

5. Οἱ ἐν ἐλεημοσύνῃ καὶ πίστει εὑρεθέντες τοῦ Κυρίου ἀνεδείχθησαν.

6. Καὶ τὸ πλῆθος τῶν ἁγίων μένει ἀτελευτήτως· ἡ [αὕτη] γὰρ ἑρμηνεία ἐστίν.

7. 'Εμνημόνευσεν, ὡς προεῖπε διὰ τῶν προφητῶν αὐτοῦ, ἐλθεῖν καὶ διὰ τῶν παθημάτων αὐτοῦ σῶσαι ἡμᾶς.

8. 'Ελεήμων γὰρ καὶ οἰκτίρμων ὑπάρχει ὁ Κύριος.

9. Ἑαυτὸν γὰρ τροφὴν καὶ τὰ λόγια αὐτοῦ ἔδωκε τοῖς φοβουμένοις αὐτόν.

10. 'Αδιαλείπτως μνησθήσεται τῶν ἁγίων αὐτοῦ.

11. Τὴν δύναμιν τῶν Γραφῶν τῶν προλεχθέντων ἐφανέρωσε τοῖς ἀποστόλοις αὐτοῦ.

12. Τοῦ δοῦναι τοῖς ἀποστόλοις ἐξουσίαν κυριεῦσαι διὰ τοῦ κηρύγματος πάντων τῶν ἐθνῶν.

13. Τὰ ἔργα τῶν ἀποστόλων αὐτοῦ πίστις καὶ δικαιοσύνη.

14. 'Αληθεῖς αἱ ἐπαγγελίαι αὐτοῦ.

15. Καὶ ἀμεταμέλητα τὰ χαρίσματα αὐτοῦ.

16. Κατηρτισμένα ἐν πίστει καὶ δικαιοσύνῃ.

17. Ὁ πατὴρ τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

18. 'Ενετείλατο τοῖς πιστεύουσιν αὐτῷ φυλάσσειν τὰ προστάγματα αὐτοῦ.

19. Ἔνδοξον τοῖς ἁγίοις καὶ φοβερὸν τοῖς δαίμοσι τὸ ὄνομα αὐτοῦ.

20. Καὶ ἀρχαὶ πίστεως τὸ φοβηθῆναι τὸν Κύριον.

21. Χάρις δὲ Πνεύματος ἁγίου ἐστὶ πᾶσι τοῖς φοβουμένοις τὸν Κύριον.

22. 'Ατελεύτητος μένει ἡ αἴνεσις τοῦ Κυρίου.

«'Αλληλούϊα.» ΨΑΛΜ. ΡΙΑ'.

1. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον·

2. Ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.
3. Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ·
4. Γενεὰ εὐθέων εὐλογηθήσεται.
5. Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ·
6. Καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
7. Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν·
8. Ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος.
9. Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν·
10. Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει·
11. Ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται.
12. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος·
13. Ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται.
14. Ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ Κύριον·
15. Ἐστήρικται ἡ καρδία αὐτοῦ, οὐ μὴ φοβηθῇ,
16. Ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ.
17. Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν·
18. Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
19. Τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ.
20. Ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται·
21. Τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται·
22. Ἐπιθυμία ἁμαρτωλοῦ ἀπολεῖται.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ἀλληλούϊα», ὅπερ ἑρμηνεύεται «αἰνέσατε, ὑμνήσατε τὸν ὄντα Θεόν.»

1. Ὅτι ἀφίσταται ἀπὸ παντὸς κακοῦ.
2. Σπουδάζει πληρῶσαι τὰς ἐντολὰς αὐτοῦ.
3. Ἐν τῇ γῇ τῶν ζώντων τίμια ἔσονται τὰ ἔργα αὐτοῦ.
4. Τῶν καθαρῶν τῇ καρδίᾳ ὁ χορὸς δοξασθήσεται.
5. Πᾶσα χάρις καὶ δικαιοσύνη ἐν τῷ κλήρῳ τῶν ἁγίων.
6. Καὶ ἡ μισθαποδοσία αὐτῶν ἀτελεύτητος.
7. Ἀνέδειξεν ἐν τῷ κόσμῳ τοῖς ἁγίοις τὸν Υἱὸν αὐτοῦ.

8, 9. Ἀγαθὸς ἀνὴρ ὁ ἐν ἀγάπῃ μεταδιδοὺς τῷ πλησίον αὐτοῦ, ἐκ τοῦ χαρίσματος τοῦ δοθέντος αὐτῷ παρὰ τοῦ Θεοῦ.

10. Λέγει γὰρ τῷ Κυρίῳ ἐν τῇ κρίσει· «Κύριε, πέντε τάλαντά μοι παρέδωκας, ἴδε ἄλλα πέντε τάλαντα ἐκέρδησα.[1]»

11. Πεπλήρωται γὰρ χαρᾶς καὶ ἀγαλλιάσεται.

12. Λέγει γὰρ αὐτῷ ὁ Κύριος· «Εὖγε, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἧς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.[2]»

---

1. Ματθ. 25, 20. 2. Ματθ. 25, 21.

13. Οὐκ ἔτι γὰρ ἔσεται ὁ ἀντικείμενος αὐτῷ.

14. Ηὐτρέπισται πάντοτε ἡ καρδία αὐτοῦ εἰς εὐαρέστησιν τοῦ Θεοῦ.

15. Τετελείωται [τεθεμελίωται] ἡ καρδία αὐτοῦ ἐν τῷ Θεῷ.

16. Ἀφ' οὗ ἴδῃ, ὅτι παρεδόθησαν τῷ αἰωνίῳ πυρὶ ὁ διάβολος καὶ οἱ ἄγγελοι αὐτοῦ.

17, 18. Ὡς ὁ Κύριος πλούσιος ὢν ἐπτώχευσε δι' ἡμᾶς καὶ τὰ χαρίσματα αὐτοῦ ἔδωκε πᾶσιν· ὁμοίως καὶ οὗτος ἐποίησε, πάντα τὸν πλοῦτον αὐτοῦ δέδωκεν τοῖς ἔθνεσιν· διὰ τοῦτο ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

19. Ἐρεῖ αὐτῷ ὁ Κύριος· «Δεῦρο εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.[1]»

20. Ὁ διάβολος ὁρῶν τὴν ἀνταπόδοσιν τῶν δικαίων.

21. Ὁ διάβολος εἰς τὴν αἰώνιον ὑπάρχει κόλασιν.

22. Ἡ πρόσκαιρος ἀπόλαυσις γὰρ τοῦ κόσμου ἀπολεῖται.

«Ἀλληλούϊα.» ΡΙΒ'.

1. Αἰνεῖτε, παῖδες, Κύριον·
2. Αἰνεῖτε τὸ ὄνομα Κυρίου.
3. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον
4. Ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.
5. Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν.
6. Αἰνετὸν τὸ ὄνομα Κυρίου.
7. Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος·
8. Ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ.
9. Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν;
10. Ὁ ἐν ὑψηλοῖς κατοικῶν·
11. Καὶ τὰ ταπεινὰ ἐφορῶν [ἐφορῶν καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκων],
12. Ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ·
13. Ὁ ἐγείρων ἀπὸ γῆς πτωχόν,
14. Καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα.
15. Τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων,
16. Μετὰ ἀρχόντων λαοῦ αὐτοῦ.
17. Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ.
18. Μητέρα ἐπὶ τέκνοις εὐφραινομένην.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ἀλληλούϊα», ὅπερ ἐστί, «αἰνεῖτε τὸν ὄντα Θεόν.»

---

1. Ματθ. 25, 34.

1. Οἱ ἀπόστολοι τῇ καρδίᾳ.
2. Ἀδιαλείπτως.
3. Ἐν πᾶσιν ἔθνεσι·
4. Καὶ πάλιν ἀφ' οὗ ἀνατείλῃ τὸ φῶς αὐτοῦ ἐν τῷ κόσμῳ διὰ τῆς παρουσίας αὐτοῦ καὶ ἕως τῆς συντελείας.
5, 6. Καὶ πάλιν ἀπὸ τῶν οὐρανῶν καὶ ἕως τῆς γῆς αἰνεῖτε τὸ ὄνομα Κυρίου.
7. Δεδοξασμένος.
8. Ἐπὶ τοὺς ἁγίους ἡ χάρις αὐτοῦ.
9-11. Ὅτι ἐν τῷ οὐρανῷ κατοικῶν τοὺς ταπεινοὺς καὶ ἁμαρτωλοὺς οὕτως ἠγάπησεν.
12. Ὁ ἐν τῷ οὐρανῷ ὢν καὶ ἐπὶ γῆς παραγέγονεν.
13, 14. Ὁ τὸ γένος τῶν ἀνθρώπων ἐκ τῶν γηΐνων καὶ ἀσώτων ἐπιθυμιῶν πεσὸν ἀναστήσας καὶ δοξάσας διὰ τῆς υἱοθεσίας.
15. Τοῦ ἀξιῶσαι τὸ γένος τῶν ἀνθρώπων τῆς ἀναπαύσεως τῶν ἀγγέλων.
16. Μετὰ τῶν ἁγίων τῶν συνόντων τοῖς ἁγίοις [ἀγγέλοις] αὐτοῦ.
17. Ὁ τὴν Ἐκκλησίαν τῶν ἐθνῶν τὴν πρότερον ἄκαρπον εἰσάγων διὰ τῆς πίστεως.
18. Τὴν ἄνω Ἱερουσαλὴμ χαίρουσαν ἐπὶ τοῖς ἁγίοις.

«Ἀλληλούϊα.» ΡΙΓ'.

1. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου,
2. Οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου.
3. Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ.
4. Ἰσραὴλ ἐξουσία αὐτοῦ.
5. Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν.
6. Ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω.
7. Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί·
8. Καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.
9. Τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες;
10. Καὶ σύ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω;
11. Τὰ ὄρη, ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοί:
12. Καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων;
13. Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ,
14. Ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ·
15. Τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων.
16. Καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων.
17. Μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν,
18. Ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν.
19. Ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου·
20. Μήποτε εἴπωσι τὰ ἔθνη· Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;

21. Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ,
22. Πάντα ὅσα ἠθέλησεν ἐποίησε.
23. Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον,
24. Ἔργα χειρῶν ἀνθρώπων.
25. Στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν·
26. Ὀφθαλοὺς ἔχουσι καὶ οὐκ ὄψονται.
27. Ὦτα ἔχουσι καὶ οὐκ ἀκούσονται·
28. Ῥῖνας ἔχουσι καὶ οὐκ ὀσφρανθήσονται.
29. Χεῖρας ἔχουσι καὶ οὐ ψηλαφήσουσι·
30. Πόδας ἔχουσι καὶ οὐ περιπατήσουσιν·
31. Οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν.
32. Ὅμοιοι αὐτοῖς γένοιντο [Οὐδὲ γάρ ἐστιν πνεῦμα ἐν τῷ στόματι αὐτῶν· ὅμοιοι αὐτῶν γένωνται] οἱ ποιοῦντες αὐτά,
33. Καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς.
34. Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον·
35. Βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.
36. Οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ Κύριον·
37. Βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.
38. Οἱ φοβούμενοι τὸν Κύριον ἤλπισαν ἐπὶ Κύριον [ἐπ' αὐτόν]·
39. Βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστι.
40. Κύριος μνησθεὶς ἡμῶν, εὐλόγησον ἡμᾶς·
41. Εὐλόγησε τὸν οἶκον Ἰσραήλ·
42. Εὐλόγησε τὸν οἶκον Ἀαρών.
43. Εὐλόγησε τοὺς [Εὐλόγησε πάντας τοὺς] φοβουμένους τὸν Κύριον,
44. Τοὺς μικροὺς μετὰ τῶν μεγάλων.
45. Προσθείη Κύριος ἐφ' ὑμᾶς,
46. Ἐφ' ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν.
47. Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ·
48. Τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν.
49. Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ·
50. Τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων.
51. Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε·
52. Οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου.
53. Ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον.
54. Ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ἀλληλούϊα», ὅ ἐστιν, «αἰνεῖτε τὸν ὄντα Θεόν.»

1. «Ἰσραὴλ» ἑρμηνεύεται «λαὸς ἰσχυρός»· «Αἴγυπτος» δὲ

«σκότωσις·» ἐν τῷ οὖν τοὺς πιστεύοντας ῥυσθῆναι ἐκ τοῦ σκότους τῆς ἁμαρτίας.

2. Τῶν πιστῶν τῶν κατασχόντων τὰ ἔσχατα. «Ἰακὼβ» γὰρ ἑρμηνεύεται «κρατῶν ἔσχατα·» τὸ δέ, «ἐκ λαοῦ βαρβάρου», δηλοῖ [δῆλον] ὅτι ὁ πιστὸς λαὸς ἐξελθὼν ἐκ τοῦ σκότους ἀνεχώρησε τῶν βαρβάρων, τουτέστι τῶν ἐναντίων δυνάμεων.

3. Καὶ λοιπὸν γίνεται αὐτῷ ἡ Ἐκκλησία ἁγίασμα διὰ τοῦ βαπτίσματος. «Ἰουδαία» λέγεται διὰ τὸ τὴν χάριν εἶναι ἐν αὐτῇ τοῦ καταξιώσαντος Θεοῦ ἐξ Ἰούδα τεχθῆναι. Κατὰ δὲ τὴν ἑρμηνείαν τοῦ ὀνόματος «Ἰουδαία» ἑρμηνεύεται «Θεῷ ἐξομολογούμενος.» Ὅταν οὖν ψυχὴ Θεῷ ἐξομολογήσεται, γίνεται αὐτὴ ἡ ἐξομολόγησις ἁγίασμα διὰ τῆς ἀφαιρέσεως τῶν ἁμαρτιῶν.

4. Καὶ οἱ ἄνδρες οἱ ὁρῶντες Θεόν, τουτέστι οἱ ἀπόστολοι, ἄρχοντες αὐτοῦ· τοῦτο γὰρ ἑρμηνεύεται «Ἰσραήλ», «ἀνὴρ ὁρῶν Θεόν.»

5. Ἡ εἰδωλολατρεία ἔφυγεν ἰδοῦσα Θεὸν ἐπὶ γῆς.

6. Ὁ Ἰορδάνης ἑρμηνεύεται «τῇ ἐσχάτῳ»· πλῆθος οὖν τῶν ἐθνῶν ἀνεχώρησεν ἀπὸ τῆς εἰδωλολατρείας καὶ ἦλθε πρὸς τὸν ἐξ ἀρχῆς Δεσπότην καὶ Δημιουργὸν Ἰησοῦν.

7. Οἱ προφῆται ἀγάλλονται καὶ ἐπὶ τῇ ἐπιστροφῇ τῶν ἐθνῶν·

8. Καὶ οἱ ἐκ τῶν προφητῶν ἀνατείλαντες, τουτέστιν οἱ ἀπόστολοι ὥσπερ οἱ βουνοὶ ἐκ τῶν ὀρέων.

9 Τί σοί ἐστιν, εἰδωλολατρεία, ὅτι ἔφυγες, ὅπερ ἐπὶ τῶν προφητῶν οὐκ ἐποίησας;

10. Καὶ ὑμεῖς, τὰ ἔθνη πάντα, ὅτι ἀπέστητε ἀπὸ τῆς εἰδωλολατρείας;

11. Καὶ ὑμεῖς, οἱ προφῆται, ὅτι οὕτως ἀγαλλιᾶσθε;

12. Ὁμοίως καὶ ὑμεῖς, οἱ ἐκ τῶν προφητῶν ἀπόστολοι, τί οὕτως χαίρετε;

13. Ὁμοῦ δὲ πάντες ἀποκρίνονται· ἡ μὲν εἰδωλολατρεία ἀποδυρομένη, τὰ δὲ ἔθνη καὶ οἱ προφῆται καὶ οἱ ἀπόστολοι χαίροντες βοῶσιν, ὅτι, ὀφθέντος τοῦ Θεοῦ ἐπὶ τῆς γῆς, πάντες μετετέθησαν εἰς τὴν ἐπίγνωσιν αὐτοῦ.

14. Ἀπὸ τῆς παρουσίας τοῦ Θεοῦ κηρυχθέντος· «Ἰακὼβ» γὰρ ἑρμηνεύεται «ἀκοή.»

15. Τοῦ μεταβαλόντος τὴν λιθίνην καρδίαν τῶν ἐθνῶν εἰς τὴν χάριν· «Δυνατὸς γάρ ἐστιν ὁ Θεός», καθὼς εἶπεν [Ἰωάννης, ἐγεῖραι τέκνα] υἱῷ· «Ἔγειρον τέκνα τῷ Ἀβραὰμ ἐκ τῶν λίθων τούτων.[1]»

16. Καὶ τὴν σκληροτάτην αὐτῶν διάνοιαν εἰς τὰ χαρίσματα αὐτοῦ.

17. Οὐχ ὅτ' ἄξιοί ἐσμεν, τοῦτο ἐποίησας·

18. Ἀλλ' ἵνα δοξασθῇ τὸ ὄνομά σου, ὅτι φιλάνθρωπος καὶ ἐλεήμων εἶ.

---

1. Ματθ. 3, 9.

19. Διὰ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου.

20. Ἵνα μὴ καυχήσωνται αἱ ἐναντίαι δυνάμεις λέγουσαι· Ποῦ ἐστιν ὁ Θεὸς ὁ ποιήσας αὐτούς;

21-23. Ἡ γὰρ φιλαργυρία τῶν ἐθνικῶς ζώντων εἰδωλολατρεία ἐστί, καθὼς εἶπεν ὁ Ἀπόστολος.[1] Τὰ δὲ εἰρημένα περὶ τῶν εἰδώλων δῆλα πᾶσίν εἰσιν, ὅτι χαρακτῆρα μὲν ἔχουσιν, ἐνέργεια δὲ μηδεμία ὑπάρχει ἐν τοῖς λεγομένοις μέλεσιν καὶ ἡ ἀπόφασις δὲ ἡ εἰρημένη ἐν τῷ προκειμένῳ ψαλμῷ περὶ τῶν ποιούντων αὐτὰ καὶ περὶ τῶν πεποιθότων ἐπ' αὐτοῖς ἀληθὲς ὑπάρχει· ἀλλὰ δίκαιον ἡγησάμην καὶ ἐπὶ τὴν ἀλληγορίαν ἐλθεῖν καὶ ὑποθῆναι ἑκάστοις στίχοις τὸ ἴδιον νόημα τῆς θεωρίας.

24. Ἔργα ἐπιθυμιῶν ἀνθρώπων ἐστὶν ἡ φιλαργυρία.

25. Οὐδὲν γὰρ ἀγαθὸν λαλήσουσιν οἱ τοῖς χρήμασι χαίροντες.

26. Ὡς μὴ ἔχοντες γὰρ ὀφθαλμοὺς κατὰ τῇ ἑαυτῶν ἀπωλείᾳ πορεύσονται.

27. Οὐ γὰρ ὑπακούσωσι τοῖς τοῦ Θεοῦ προστάγμασιν.

28. Οὐ γὰρ τῆς εὐδοκίας τοῦ Θεοῦ μετέχουσιν.

29. Οὐ γὰρ ἐξεζήτησαν εὑρεῖν τὴν θύραν τῆς ζωῆς, τουτέστι τὸν Κύριον.

30. Ἐχώλαναν γὰρ διεστραμμένας ὁδοὺς πορευθέντες ἐν ταῖς πράξεσιν αὐτῶν.

31. Οὐ μὴ ἐπικαλέσονται τὸν Κύριον.

32. Ἔσονται οὕτως ἀπυλλύμενοι ὡς τὰ χρήματα οἱ θησαυρίζοντες αὐτά.

33. Καὶ πάντες οἱ ἐλπίζοντες ἐπὶ τοῖς χρήμασι.

34. Οἱ δὲ τῇ διανοίᾳ Θεὸν ὁρῶντες ἤλπισαν οὐκ ἐπὶ χρήμασιν, ἀλλ' ἐπὶ Κύριον.

35. Καὶ διὰ τοῦτο ἐνισχύει αὐτοὺς καὶ πρόνοιαν αὐτῶν ποιεῖται.

36, 37. Οἱ πιστεύοντες, ὅτι ἔστι κρίσις καὶ λογιζόμενοι, ὡς λόγον ἀποδώσουσιν ὑπὲρ τῶν ψυχῶν αὐτῶν, οὐκ ἐπὶ δυναστείᾳ ἀνθρώπων, ἀλλ' ἐπὶ Κύριον ἐλπίζουσιν.

38, 39. Οἱ πιστεύοντες ὁμοίως ἐπὶ Κύριον καὶ λογιζόμενοι, ὅτι ἔστι κρίσις καὶ τὰ λοιπά.

40. Τοὺς πιστεύοντας εἰς αὐτόν.

41. Τῶν ὁρώντων αὐτὸν τῇ διανοίᾳ εὐλόγησε τὰς ψυχὰς καὶ τὰ σώματα· «Ἰσραὴλ γὰρ» ἑρμηνεύεται «νοῦς ὁρῶν Θεόν.»

42. Τὴν Ἐκκλησίαν τῶν ἐθνῶν· «ὄρος» γὰρ «δυνάμεως Ἀαρὼν» ἑρμηνεύεται.

43. Τοὺς ταπεινοὺς τῇ καρδίᾳ.

44. Ἀπὸ τῶν ἐσχάτων τῶν ἡμῶν πεπιστευκότων ἕως τῶν προφητῶν.

---

1. Πρβλ. Κολ. 3, 5.

45, 46. Τὴν χάριν αὐτοῦ.
47. Οἱ πιστοὶ καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι.
48. Τὰ ὁρατὰ καὶ τὰ ἀόρατα.
49. Τὸ κατοικητήριον τῶν ἁγίων τοῦ Κυρίου ἐστίν.
50. Τοῖς δὲ ἀνθρώπινα φρονοῦσιν ὡς κτήνη κατέλειπεν αὐτοὺς τά γήινα φρονεῖν.
51. Οὐ δοξάσουσί σε οἱ νενεκρωμένοι τῇ ἁμαρτίᾳ.
52. Οὐδὲ οἱ πορευόμενοι ἐν ἀνομίᾳ.
53. Ἀλλ' ἡμεῖς οἱ ζῶντες διὰ τῆς χάριτος αὐτοῦ δοξάσομεν τὸν Κύριον.
54. Ἀπὸ τοῦ νῦν, καὶ εἰς τὸν ἀτελεύτητον αἰῶνα.

«Ἀλληλούϊα.» ΨΑΛΜ. ΡΙΔ'.

1. Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.
2. Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί·
3. Καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι.
4. Περιέσχον με ὠδῖνες θανάτου·
5. Κίνδυνοι ᾅδου εὕροσάν με.
6. Θλίψιν καὶ ὀδύνην εὗρον·
7. Καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην.
8. Ὦ Κύριε, ῥῦσαι τὴν ψυχήν μου
9. Ἐλεήμων ὁ Κύριος καὶ δίκαιος·
10. Καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ.
11. Φυλάσσων τὰ νήπια ὁ Κύριος·
12. Ἐταπεινώθην, καὶ ἔσωσέ με.
13. Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου·
14. Ὅτι Κύριος εὐηργέτησέ σε.
15. Ὅτι ἐξείλετο [ἐξήλατο] τὴν ψυχήν μου ἐκ θανάτου·
16. Τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων.
17. Καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.
18. Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ἀλληλούϊα», ὅπερ ἐστίν, «αἰνέσατε [καὶ] ὑμνήσατε τὸν Θεόν.» Εἶτα «ἀνεπίγραφος παρ' Ἑβραίοις», τουτέστι τοῦτο οἱ Ἑβραῖοι [οὐ] πεποιήκασιν· οὔτε γὰρ ᾔνεσαν, οὔτε ὕμνησαν τὸν ὄντα Θεόν· εἰς εἰδωλολατρείαν γὰρ καὶ ἀποστασίαν ἐτράπησαν τὸ πρότερον, ἐπὶ τέλει δὲ αὐτὸν τὸν Θεὸν ἐσταύρωσαν.

1. Ἐπίστευσα, ὅτι εἰσακούσεται Κύριος τοῦ κλαυθμοῦ τῆς ἐξομολογήσεώς μου.

2. Ὅτι ἔγνων, ὅτι διὰ φιλανθρωπίαν ἕτοιμός ἐστι τοῦ εἰσακοῦσαί μου.

3. Καὶ ὅταν ἀνανήψω ἐκ τοῦ ὕπνου τῆς ἁμαρτίας μου, ἐπικαλέσομαι αὐτόν.

4. Ἐκυρίευσάν με ἃς συνάλγεια ἁμαρτάνει [εἰς ἐμὲ αἱ συναλγεῖαι τῆς ἁμαρτίας] ἕως θανάτου.

5. Αἱ ἐπιθυμίαι τοῦ ἐχθροῦ κατέσχον με.

6. Καὶ φωτίσαντός με τοῦ Θεοῦ ἀνένηψα καὶ εὗρον πάλιν ἀνομίαν καὶ ἁμαρτίαν ἐν ἐμοί.

7, 8. Καὶ ἐδεήθην τοῦ Κυρίου λέγων· Δέομαί σου, Κύριε, ῥῦσαι τὴν ψυχήν μου.

9. Καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ καὶ ἐλεήμων ἐστὶν ὁ Κύριος καὶ οὐκ ἂν παρίδῃ με δικαιούμενον· οἶδε γάρ, ὅτι παράκειταί μοι τὸ θέλειν ἀποστῆναι ἀπὸ τῆς ἁμαρτίας·[1] τὸ δὲ πῶς, οὐ γινώσκω.

10. Ἐλεεῖ καὶ ῥύσεταί με ἀπ' αὐτῆς.

11. Τοὺς γὰρ νηπίους τῇ ψυχῇ φυλάσσει ὁ Κύριος.

12. Κυριευόμενόν με ἀπὸ τῆς ἁμαρτίας ἔσωσεν.

13. Ὑποτάγηθι οὖν, ψυχή μου, τῷ αἴροντι ἀπὸ σοῦ τὸν κόπον καὶ τὸ φορτίον σου, καὶ διὰ τῆς χάριτος αὐτοῦ ἀναπεσόντα σε.

14. Ὅτι τὸν πλοῦτον αὐτοῦ ἐχαρίσατό σοι.

15. Ὅτι, ἀπελάσας τὰς ἐναντίας δυνάμεις ἀπ' ἐμοῦ, ἀπέσπασέ με ἀπ' αὐτῶν.

16. Τοὺς ὀφθαλμοὺς τῆς διανοίας μου ἀπὸ τῶν ὀδυνῶν τῶν ἐχουσῶν με.

17. Καὶ τοὺς μηκέτι ἀκολουθοῦντάς με τῇ ἐπιθυμίᾳ τῆς ἁμαρτίας συμπίπτειν με.

18. Διαπαντός.

«Ἀλληλούϊα.» ΨΑΛΜ. ΡΙΕ΄.

1. Ἐπίστευσα, διὸ ἐλάλησα·

2. Ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.

3. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Πᾶς ἄνθρωπος ψεύστης.

4. Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;

5. Ποτήριον σωτηρίου λήψομαι·

6. Καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

7. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.

8. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

9. Ὦ Κύριε, ἐγὼ δοῦλος σός,

10. Ἐγὼ δοῦλος σός καὶ υἱὸς τῆς παιδίσκης σου.

---

1. Πρβλ. Ῥωμ. 7, 18.

11. Διέρρηξας τοὺς δεσμούς μου.
12. Σοὶ θύσω θυσίαν αἰνέσεως·
13. Καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι.
14. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω.
15. Ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.
16. Ἐν αὐλαῖς οἴκου Κυρίου,
17. Ἐν μέσῳ σου, Ἱερουσαλήμ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ἀλληλούϊα», ὅπερ ἐστὶν ἑρμηνεία ὁμοίως τῶν πρὸ αὐτοῦ ψαλμῶν.

1. Ἐπίστευσα, ὅτι πέπονθεν ὁ Θεός, διὸ καὶ τοῦτο κηρύσσω πᾶσιν.

2. Τὸ πρότερον ἐταπεινώθην ὑπὸ τῆς ἁμαρτίας πάνυ.

3. Καὶ ὅταν ἀπετιθέμην τὰ τοῦ κόσμου πάντα καὶ εἶπα· Ὄντως ὑπόδικός ἐστι πᾶς ὁ κόσμος τῷ Θεῷ.[1]

4. Ἵνα παραλείπω τὸ ἐκ τοῦ μὴ ὄντος ἀχθῆναί με ὑπ' αὐτοῦ, καὶ ὅσα ἐδημιούργησε καὶ εἰς ἀπόλαυσιν, τίς δύναται αὐτῷ ἀνταποδοῦναι, ὅτι οὕτως ἀπειθοῦντός μου αὐτῶν οὐκ ἀπεστράφη με, ἀλλ' αὐτὸν ἕως θανάτου ἔδωκε καὶ ὑπὲρ τῆς σωτηρίας μου;

5. Οὐδὲν οὖν ἄλλο δύναμαι αὐτῷ ἀνταποδοῦναι εἰ μὴ τὸ ὑπὲρ αὐτοῦ ἀποθανεῖν καὶ τοῦτο διὰ τῆς χάριτος αὐτοῦ.

6, 7. Ἐν ἐκκλησίαις ὑμνήσω αὐτόν.

8. Ὅτι ἔνδοξος ὁ θάνατος ἐνώπιον αὐτοῦ τῶν οὕτως ἐκδιδόντων ἑαυτοὺς ὑπὲρ αὐτοῦ.

9. Δέομαί σου, Κύριε, ἐν τῷ τιμίῳ σου αἵματι ἠγοράσθην.

10. Ἐγὼ τοῖς ἴχνεσί σου ἐξακολουθῶ καὶ υἱός εἰμι τῆς ὑπακοῆς σου.

11. Ἀπέρριψας τὰς ἁμαρτίας μου.

12. Σοὶ λατρεύσω, ἐν ψυχῇ συντετριμμένος δοξάσω σε.

13. Καὶ παρὰ τοῦ ὀνόματός σου αἰτήσω τὰ πρὸς σωτηρίαν αἰτήματα.

14. Τοὺς καρποὺς τῆς μετανοίας, οὓς ὑπεσχόμην προσενεγκεῖν αὐτῷ.

16. Εἰς τὰς αἰωνίους ἀναπαύσεις.

17. Ἐν τῇ ἄνω Ἱερουσαλήμ.

«Ἀλληλούϊα.» ΨΑΛΜ. ΡΙϚ'.

1. Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη·
2. Ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί.

---

1. Πρβλ. Ῥωμ. 3, 19.

3. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς.
4. Καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ἀλληλούϊα», ὅπερ ἐστίν, «αἰνεῖτε τὸν ὄντα Θεόν· ἀνεπίγραφος», τουτέστι οὐ τοῖς Ἑβραίοις λαλεῖ ὁ ψαλμὸς ἀνηκοΐας, ἀλλὰ τοῖς ἔθνεσιν

1. Ὑμεῖς αἰνεῖτε τὸν Κύριον, ὅτι τὴν χάριν αὐτοῦ ἀφεῖλεν ἀπὸ τῶν Ἰουδαίων διὰ τὴν ἀπιστίαν αὐτῶν καὶ ὑμῖν δέδωκεν.
2. Θαυμάσατε τὴν ἀγαθότητα αὐτοῦ, ὅτι, Θεὸς ὤν, γέγονε δι' ἡμᾶς ἄνθρωπος ἀτρέπτως καὶ ἀκαταλήπτως.
3. Ὅτι ἐπὶ πάντας τὸ ἔλεος αὐτοῦ περιεπήξατο.
4. Καὶ ἡ πίστις αὐτοῦ διαμένει ἐν ἡμῖν.

«Ἀλληλούϊα.» ΨΑΛΜ. ΡΙΖ'.

1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός,
2. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
3. Εἰπάτω δὴ οἶκος Ἰσραήλ, ὅτι ἀγαθός,
4. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
5. Εἰπάτω δὴ οἶκος Ἀαρών, ὅτι ἀγαθός.
6. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
7. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθός.
8. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
9. Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον,
10. Καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν.
11. Κύριος ἐμοὶ βοηθὸς καὶ οὐ φοβηθήσομαι· τί ποιήσει μοι ἄνθρωπος;
12. Κύριος ἐμοὶ βοηθὸς κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου.
13. Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον,
14. Ἢ πεποιθέναι ἐπ' ἄνθρωπον.
15. Ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον,
16. Ἢ ἐλπίζειν ἐπ' ἄρχουσι [ἄρχοντας].
17. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με·
18. Καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
19. Κυκλώσαντες ἐκύκλωσάν με·
20. Καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
21. Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον·
22. Καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις·
23. Καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
24. Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν·

25. Καὶ ὁ Κύριος ἀντελάβετό μου.
26. Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος·
27. Καὶ ἐγένετό μοι εἰς σωτηρίαν.
28. Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων.
29. Δεξιὰ Κυρίου ἐποίησε δύναμιν·
30. Δεξιὰ Κυρίου ὕψωσέ με·
31. Δεξιὰ Κυρίου ἐποίησε δύναμιν.
32. Οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι·
33. Καὶ διηγήσομαι τὰ ἔργα Κυρίου.
34. Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος·
35. Καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με.
36. Ἀνοίξατέ μοι πύλας δικαιοσύνης·
37. Εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ Κυρίῳ.
38. Αὕτη ἡ πύλη τοῦ Κυρίου.
39. Δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ.
40. Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου·
41. Καὶ ἐγένου μοι εἰς σωτηρίαν.
42. Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες,
43. Οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας.
44. Παρὰ Κυρίου ἐγένετο αὕτη·
45. Καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.
46. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος·
47. Ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
48. Ὦ Κύριε, σῶσον δή·
49. Ὦ Κύριε, εὐόδωσον δή·
50. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
51. Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου Κυρίου.
52. Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.
53. Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν,
54. Ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου.
55. Θεός μου εἶ σὺ καὶ ἐξομολογήσομαί σοι·
56. Θεός μου εἶ σὺ καὶ ὑψώσω σε.
57. Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου·
58. Καὶ ἐγένου μοι εἰς σωτηρίαν.
59. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός.
60. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ἀλληλούϊα», ὅ ἐστιν «αἰνέσατε τὸν ὄντα Θεόν.»

1. Ἀνυμνήσατε αὐτὸν ἐν ὅλῃ καρδίᾳ.
2. Ὅτι ἀνελλιπὲς τὸ ἔλεος αὐτοῦ.

3. Ἡ καρδία τῶν ὁρώντων Θεὸν τῇ διανοίᾳ.

4. Ὅτι ἀνελλιπὲς τὸ ἔλεος αὐτοῦ.

5. Εἰπάτω δὴ ὁ χορὸς τῶν ἁγίων, ὅτι ἀγαθός ἐστιν· «Ἀαρὼν» γὰρ ἑρμηνεύεται «ὄρος δυνάμεως.»

6. Ὅτι ἥπλωται ἐπὶ πάντας τοὺς βουλομένους τὸ ἔλεος αὐτοῦ.

7. Εἰπάτωσαν δὴ πάντες οἱ ταπεινοὶ τῇ καρδίᾳ, ὅτι ἀγαθός ἐστιν,

8. Ὅτι τὸ ἔλεος ἐπ' αὐτούς ἐστιν.

9. Ἐν τῷ σκότει τῆς ἁμαρτίας κρατούμενος ἐδεήθην αὐτοῦ.

10. Καὶ ἐπήκουσέ μου καὶ ἤγαγέ με εἰς ἀνάπαυσιν τοῦ φωτὸς αὐτοῦ.

11. Ἀφ' οὗ αὐτὸς περιασπίζει μου, τί δειλιῶ τινα τῶν γηίνων δυνάμεων;

12. Κύριος ἀντιλαμβάνεταί μου κἀγὼ μόνον ἵσταμαι ὁρῶν τοὺς ἄρχοντας τοῦ σκότους συντριβομένους ὑπ' αὐτοῦ.

13, 14. Ἀγαθὸν θαρρεῖν καὶ καυχᾶσθαι ἐπὶ τὸν Κύριον, ἢ πεποιθέναι ἐπὶ γηίνῃ δυναστείᾳ.

15, 16. Ἀγαθὸν ἐν ὑπομονῇ περιμένειν τὴν τῶν μελλόντων ἀγαθῶν ἀπόλαυσιν, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν.

17. Αἱ ἐναντίαι δυνάμεις ἐκύκλωσάν με.

18. Καὶ τῷ σταυρῷ τοῦ Χριστοῦ συνέτριψα αὐτὸν [αὐτάς].

19. Καὶ πάλιν ἐπέμειναν ἐπιμονῇ.

20. Καὶ τῇ ἐπικλήσει τοῦ Κυρίου ἀπήλασα αὐτὸν [αὐτάς].

21. Ἐπεχείρουν νεοσσεύειν εἰς ἐμὲ καὶ τὰς ἡδονὰς τοῦ βίου συνάγειν εἰς τὴν καρδίαν μου.

22. Καὶ ἐπιθυμίας σαρκικὰς ἐξέκαιον ἐν ἐμοί.

23. Καὶ πάλιν ἐγὼ ἐπικαλούμενος τὴν χάριν τοῦ Κυρίου κατέσβεννον [κατέσβεσα] αὐτάς.

24. Ἐπιρρίψαντες αἰφνίδιον ἐνέρρηξάν μοι.

25. Καὶ ὁ Κύριος οὐ συνεχώρησε κυριευθῆναί με ὑπ' αὐτῶν.

26. Αὐτὸς δυναμοῖ με κατ' αὐτῶν.

27. Καὶ γὰρ ὑπάρχει μοι σωτηρία.

28. Χαρὰ ἀνεκλάλητος καὶ χάρις Θεοῦ ἐν ταῖς ψυχαῖς καὶ τοῖς μέλεσι τῶν ἁγίων.

29, 30. Ὁ Υἱὸς τοῦ Θεοῦ ἐνίσχυσέ με.

31. Ὁ Υἱὸς τοῦ Θεοῦ ἐνεδυνάμωσέ με κατὰ τοῦ διαβόλου.

32. Οὐκ ἔτι κυριευθήσομαι ὑπὸ τῆς ἁμαρτίας, ἀλλὰ ζωοποιηθήσομαι τῆς χάριτος αὐτοῦ.

33. Καὶ διηγήσομαι ἃ ἐποίησεν μετ' ἐμοῦ.

34. Ἐπισκεψάμενός με ὑπέδειξέ μοι φεύγειν ἀπὸ τῆς ἁμαρτίας ὁ Κύριος.

35. Καὶ οὐ συνεχώρησέ με ἕως τέλους συναπολέσθαι τῇ ἀνομίᾳ μου.

36, 37. Ἀποκαλύψετέ μοι τὰ νοήματα τῶν Γραφῶν, ἵνα, συνετισθεὶς ἐν αὐταῖς, δουλώσω ἐμαυτὸν τῷ Κυρίῳ.

38. Ἡ πίστις αὐτοῦ.
39. Οἱ μισοῦντες τὰ πονηρά.
40. Ταπεινώσω ἐμαυτὸν ὑπὸ τὴν χάριν σου, ὅτι ἐπήκουσάς μου.
41. Καὶ ὑπάρχεις μου σωτηρία.
42. Τὸν Υἱὸν τοῦ ἀνθρώπου, ὃν ἐξουδένωσαν οἱ ἄρχοντες τῶν Ἰουδαίων καὶ οἱ σοφοὶ τοῦ κόσμου τούτου.
43. Οὗτος ἀνεδείχθη τὰ ἐπουράνια πάντα καὶ τὰ ἐπίγεια μόνον περιέχων καὶ πάντα συνιστῶν καὶ ἐπάνω πάντων ὢν καὶ μείζων πάντων ὑπάρχων.
44. Παρὰ τοῦ Πατρὸς ἡ μαρτυρία αὕτη γεγένηται λέγοντος· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός.[1]»
45. «Καὶ ἡμεῖς ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός, πλήρης χάριτος καὶ ἀληθείας.[2]»
46. Ἡ πίστις αὐτοῦ ἐστι τὸ φῶς τὸ ἀληθές.[3]
47. Ἀγαλλιασώμεθα οὖν ἐν Πνεύματι ἁγίῳ καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
48. Δεόμεθά σου, Κύριε.
49. Κατάρτισαι τὰς καρδίας ἡμῶν ἐν ἀληθείᾳ πορεύεσθαι.
50. Τοῦτο εἴρηται παρὰ τῶν παίδων τῶν Ἰουδαίων, ὅταν εἶδον αὐτὸν ἐπὶ τοῦ πώλου καθήμενον καὶ ἔλαβον τὰ βάϊα.
51. Οἱ ἀπόστολοι κηρύσσουσι [ἐκήρυξαν] Ἰουδαίοις καὶ Ἕλλησι λέγοντες· Εὐηγγελισάμεθα ὑμῖν τὰ εἰρημένα τῶν προφητῶν περὶ τοῦ Κυρίου, ὅτι πεπλήρωται.
52. Ὡς γὰρ ὢν ὁ Θεὸς Ἰησοῦς Κύριος ὤφθη ἐπὶ τῆς γῆς.
53. Λοιπὸν ὁ Κύριος πρὸς τοὺς ἀποστόλους· Συστήσασθε χαρὰν ἀνεκλάλητον τοῖς ἀποθεμένοις τὴν σκληρότητα τῆς καρδίας αὐτῶν, καὶ ἤδη ἀνθοῦσιν ἐν τῇ πίστει.
54. Ἅμα ταῖς ἐπουρανίαις δυνάμεσιν ἀγαλλιᾶσθε.
55, 56. Ἕκαστος τῶν πιστευσάντων, ἀκούσας τὴν ἀγάπην καὶ τὰ σπλάγχνα τοῦ σταυρωθέντος δι᾽ ἡμᾶς, λέγει· «Θεός μου εἶ σὺ καὶ«ἐμαυτὸν ὁμολογήσω» ἐξηγορᾶσθαι τῷ τιμίῳ σου αἵματι.
57, 58. Θεός μου εἶ σὺ καὶ δοξάσω σε· ἐκδώσω ἐμαυτόν, ὅτι οὐκ ἀπεστράφης με, ἀλλ᾽ ἀπεδείχθης βοηθός μου εἰς σωτηρίαν.
59. Ἐν ὅλῃ καρδίᾳ προσεύχεσθε αὐτῷ, ὅτι ἀγαθός ἐστιν.
60. Ὅτι οὐκ ἀπεστράφη ἀφ᾽ ἡμῶν τὸ ἔλεος αὐτοῦ.

«Ἀλληλούϊα.» ΨΑΛΜ. ΡΙΗ΄.

1. Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.
2. Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν.

---

1. Ματθ. 17, 5. 2. Ἰω. 1, 14. 3. Πρβλ. Ματθ. 21, 7-8.

3. Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.

4. Σὺ ἐνετείλω τὰς ἐντολάς σου, τοῦ φυλάξασθαι σφόδρα.

5. Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου, τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.

6. Τότε οὐ μὴ αἰσχυνθῶ, ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου.

7. Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου.

8. Τὰ δικαιώματά σου φυλάξω, μή με ἐγκαταλίπῃς ἕως σφόδρα.

9. Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.

10. Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.

11. Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι.

12. Εὐλογητός εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

13. Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου.

14. Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ.

15. Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω καὶ κατανοήσω τὰς ὁδούς σου.

16. Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου.

17. Ἀνταπόδος τῷ δούλῳ σου, ζῆσόν με, καὶ φυλάξω τοὺς λόγους σου.

18. Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου.

19. Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου.

20. Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ.

21. Ἐπετίμησας ὑπερηφάνοις, ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου.

22. Περίελε ἀπ' ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα.

23. Καὶ γὰρ ἐκάθισαν ἄρχοντες καὶ κατ' ἐμοῦ κατελάλουν· ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου.

24. Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μου ἐστὶ καὶ αἱ συμβουλαί μου τὰ δικαιώματά σου.

25. Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου, ζῆσόν με κατὰ τὸν λόγον σου.

26. Τὰς ὁδούς μου ἐξήγγειλα καὶ ἐπήκουσάς μου, δίδαξόν με τὰ δικαιώματά σου.

27. Ὁδὸν δικαιωμάτων σου συνέτισόν με καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου.

28. Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου.

29. Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ καὶ τῷ νόμῳ σου ἐλέησόν με.

30. Ὁδὸν ἀληθείας ἡρετισάμην καὶ τὰ κρίματά σου οὐκ ἐπελαθόμην.

31. Ἐκολλήθην τοῖς μαρτυρίοις σου, Κύριε, μή με καταισχύνῃς.

32. Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.

33. Νομοθέτησόν με Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου καὶ ἐκζητήσω αὐτὴν διαπαντός.

34. Συνέτισόν με καὶ ἐξερευνήσω τὸν νόμον σου καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου.

35. Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα.

36. Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου καὶ μὴ εἰς πλεονεξίαν.

37. Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα, ἐν τῇ ὁδῷ σου ζῆσόν με.

38. Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου·

39. Περίελε τὸν ὀνειδισμόν μου, ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σου χρηστά.

40. Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με.

41. Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, Κύριε, τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου.

42. Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου.

43. Καὶ μὴ παριέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα.

44. Καὶ φυλάξω τὸν νόμον σου διαπαντὸς εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

45. Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

46. Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων καὶ οὐκ ᾐσχυνόμην.

47. Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ἃς ἠγάπησα σφόδρα.

48. Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου.

49. Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με.

50. Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με.

51. Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα.

52. Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος, Κύριε, καὶ παρεκλήθην.

53. Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου.

54. Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου.

55. Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου, Κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου.

56. Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

57. Μερίς μου εἶ, Κύριε, εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου.

58. Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου, ἐλέησόν με κατὰ τὸ λόγιόν σου.

59. Διελογισάμην τὰς ὁδούς σου καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου.

60. Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην τοῦ φυλάξασθαι τὰς ἐντολάς σου.

61. Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

62. Μεσονύκτιον ἐξηγειρόμην, τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

63. Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου.

64. Τοῦ ἐλέους σου, Κύριε, πλήρης ἡ γῆ, τὰ δικαιώματά σου δίδαξόν με.

65. Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου, Κύριε, κατὰ τὸν λόγον σου.

66. Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα.

67. Πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα.

68. Χρηστὸς εἶ σύ, Κύριε, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου.

69. Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων· ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου.

70. Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν· ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα.

71. Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου.

72. Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.

73. Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με, συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου.

74. Οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα.

75. Ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου καὶ ἀληθείᾳ ἐταπείνωσάς με.

76. Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου.

77. Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μου ἐστίν.

78. Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ· ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου.

79. Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου.

80. Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ.

81. Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα.

82. Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες· Πότε παρακαλέσεις με;

83. Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

84. Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν;

85. Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου, Κύριε.

86. Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια· ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι.

87. Παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ, ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου.

88. Κατὰ τὸ ἔλεός σου ζῆσόν με καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου.

89. Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ·

90. Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου· ἐθεμελίωσας τὴν γῆν καὶ διαμένει.

91. Τῇ διατάξει σου διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά.

92. Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μου ἐστί, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου.

93. Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.

94. Σός εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

95. Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με, τὰ μαρτύριά σου συνῆκα.

96. Πάσης συντελείας εἶδον πέρας, πλατεῖα ἡ ἐντολή σου σφόδρα.

97. Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε, ὅλην τὴν ἡμέραν μελέτη μού ἐστιν.

98. Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου· ὅτι εἰς τὸν αἰῶνα ἐμοί ἐστιν.

99. Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μού ἐστιν.

100. Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

101. Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου.

102. Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα· ὅτι σὺ ἐνομοθέτησάς με.

103. Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου.

104. Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα· διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας.

105. Λύχνος τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς τοῖς τρίβοις μου.

106. Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου.

107. Ἐταπεινώθην ἕως σφόδρα· Κύριε, ζῆσόν με κατὰ τὸν λόγον σου.

108. Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δή, Κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με.

109. Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντὸς καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

110. Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην.

111. Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίασμα τῆς καρδίας μού ἐστιν.

112. Ἔκλινα τὴν καρδίαν μου, τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν.

113. Παρανόμους ἐμίσησα, τὸ δὲ νόμον σου ἠγάπησα.

114. Βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σύ, εἰς τοὺς λόγους σου ἐπήλπισα.

115. Ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου.

116. Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου καὶ ζῆσόν με καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου.

117. Βοήθησόν μοι καὶ σωθήσομαι καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός.

118. Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου· ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν.

119. Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς· διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου.

120. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην.

121. Ἐποίησα κρῖμα καὶ δικαιοσύνην· μὴ παραδῷς με τοῖς ἀδικοῦσί με.

122. Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθόν· μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι.

123. Οἱ ὀφθαλμοί μου ἐξέλιπον· εἰς τὸ σωτήριόν σου καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου.

124. Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου καὶ τὰ δικαιώματά σου δίδαξόν με.

125. Δοῦλός σού εἰμι ἐγώ, συνέτισόν με, καὶ γνώσομαι τὰ μαρτύριά σου.

126. Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ· διεσκέδασαν τὸν νόμον σου.

127. Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον.

128. Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην· πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.

129. Θαυμαστὰ τὰ μαρτύριά σου· διὰ τοῦτο ἐξερεύνησεν αὐτὰ ἡ ψυχή σου.

130. Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ καὶ συνετιεῖ νηπίους.

131. Τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα πνεῦμα· ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν.

132. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

133. Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.

154. Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων καὶ φυλάξω τὰς ἐντολάς μου.

135. Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου καὶ δίδαξόν με τὰ δικαιώματά σου.

136. Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου· ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου.

137. Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου.

138. Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου καὶ ἀλήθειαν σφόδρα.

139. Ἐξέτηξέ με ὁ ζῆλός σου· ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου.

140. Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό.

141. Νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

142. Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ νόμος σου ἀλήθεια.

143. Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με, αἱ ἐντολαί σου μελέτη μου.

144. Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, συνέτισόν με καὶ ζήσομαι.

145. Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου, ἐπάκουσόν μου, Κύριε, τὰ δικαιώματά σου ἐκζητήσω.

146. Ἐκέκραξά σοι, σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου.

147. Προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα.

148. Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον τοῦ μελετᾶν τὰ λόγιά σου.

149. Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, [καὶ] κατὰ τὸ κρῖμά σου ζῆσόν με.

150. Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν.

151. Ἐγγὺς εἶ σύ, Κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια.

152. Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.

153. Ἴδε τὴν ταπείνωσίν μου καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

154. Κρῖνον τὴν κρίσιν μου καὶ λύτρωσαί με, διὰ τὸν λόγον σου ζῆσόν με.

155. Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν.

156. Οἱ οἰκτιρμοί σου πολλοί, Κύριε, κατὰ τὸ κρῖμά σου ζῆσόν με.

157. Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με· ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα.

158. Εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο.

159. Ἴδε, ὅτι τὰς ἐντολάς σου ἠγάπησα· Κύριε, ἐν τῷ ἐλέει σου ζῆσόν με.

160. Ἀρχὴ τῶν λόγων σου ἀλήθεια καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.

161. Ἄρχοντες κατεδίωξάν με δωρεὰν καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου.

162. Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά.

163. Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην· τὸν δὲ νόμον σου ἠγάπησα.

164. Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

165. Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον.

166. Προσεδόκων τὸ σωτήριόν σου, Κύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα.
167. Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγάπησεν αὐτὰ σφόδρα.
168. Ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου· ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου, Κύριε,
169. Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου συνέτισόν με.
170. Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με.
171. Ἐξερεύξαιντο τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου.
172. Φθέγξαιτο ἡ γλῶσσά μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη.
173. Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ᾑρετισάμην.
174. Ἐπεπόθησα τὸ σωτήριόν σου, Κύριε, καὶ ὁ νόμος σου μελέτη μού ἐστι.
175. Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε καὶ τὰ κρίματά σου βοηθήσει μοι.
176. Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός· ζήτησον τὸ δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ἀλληλούϊα», ὅπερ ἑρμηνεύεται [«αἰνεῖτε τὸν ὄντα Θεὸν»] διάφορος [διαφόρως], εἰς ὕμνον καὶ αἶνον ἡμᾶς τοῦ Θεοῦ προτρεπομένου.

1. Μακάριοι οἱ κατὰ τὸν Ἰώβ, οἱ ἀπεχόμενοι ἀπὸ παντὸς πονηροῦ πράγματος.

2. Μακάριοι οἱ καθ' ἑκάστην πρᾶξιν δοκιμάζοντες τί τὸ εὐάρεστον καὶ τέλειον παρὰ τῷ Θεῷ. Θερμοὶ ὄντες περὶ τὴν ἀγάπην αὐτοῦ οὐχ ὑπνώσουσι μεριμνῶντες, πῶς αὐτὸν δέξωνται ἔνοικον αὐτοῖς.

3. Οὐ γὰρ οἱ λεγόμενοι εἶναι Χριστιανοὶ καὶ τὰς ἐπιθυμίας τοῦ κόσμου ἔχοντες, τοῖς πράγμασιν [προστάγμασιν] αὐτοῦ πείθονται.

4. Σὺ εἶπας· «Ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ τοῦ Κυρίου ἀμελῶς.[1]»

5. Δῴη ἡ χάρις σου συνετισθῆναι τὰ θελήματα τῆς καρδίας μου τοῦ καρποφορεῖν με ἐν τοῖς δικαιώμασί σου.

6. Ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως οὐ μὴ ἀκούσω παρὰ σοῦ τό, «Οὐκ οἶδά σε», ἂν ἡ διάνοιά μου πεφώτισται [ἐπὶ] πάσας τὰς ἐντολάς σου.

7. Ἐκδῶ ἐμαυτόν σοι ἐν ἀληθινῇ καρδίᾳ, ἐν τῷ ἀκοῦσαί

1. Ἱερ. 31, 10.

με καὶ πιστεῦσαι περὶ τῆς μελλούσης δικαίας ἀνταποδόσεως.

8. Τὰ δικαιώματά σου οὐκ ἐάσω, μόνον μή με ἐγκαταλίπῃς ἕως τέλους.

9. Πῶς τῶν νεωτερικῶν ἐπιθυμιῶν ἐπελάθετό τις; Ἐν τῷ μνημονεύειν αὐτὸν τῶν εἰρημένων παρὰ σοῦ, ὅτι μέλλουσιν ἀκούειν οἱ ἁμαρτωλοί· «Ὑπάγετε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον[1]», καὶ τὰ ἑξῆς.

10. Ἐξ ὅλης τῆς ψυχῆς μου ἐπεπόθησά σε, μὴ ἀνάξιον ἡγήσῃς με τῆς χάριτός σου.

11. Ἐν πάσῃ φυλακῇ ἐτήρουν ἑαυτόν, μὴ ἐλθὼν ὁ πονηρὸς λάβῃ ἀπὸ τῆς καρδίας μου τὰ λόγιά σου καὶ μείνω χέρσος.

12. Δεδοξασμένος εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

13. Οὐχ ὑπεστειλάμην τοῦ μὴ διδάξαι καὶ διαμαρτύρασθαι πάντα τὰ θελήματά σου.

14. Οὕτως χαρᾶς πληροῦμαι, ὅταν ποιῶ τὰς ἐντολάς σου, ἅπαξ ὡς πλοῦτον θησαυρίζων ἑαυτῷ ἐν τῷ οὐρανῷ.

15. Ἐν ταῖς Γραφαῖς σου ἀναγνῶ, καὶ τοῖς ὀφθαλμοῖς τῆς διανοίας μου ἐπιγνῶ τὴν δύναμιν αὐτῶν.

16. Νυκτὸς καὶ ἡμέρας καὶ πληρώσω αὐτοὺς ἔργοις.

17. Δός μοι τὴν χάριν τοῦ ἁγίου Πνεύματος καὶ ζωοποιηθήσομαι δι' αὐτῆς καὶ πληρώσω τοὺς λόγους σου δι' ἔργων.

18. Διαχώρισον τὸ σκότος ἐκ τῆς καρδίας μου καὶ τὸ φῶς σου λάμψον καὶ ἐπιγνῶ τὰ προστάγματα τοῦ νόμου σου.

19. Οὐκ ἔχω πόλιν ὧδε μένουσαν, ἀλλὰ τὴν μέλλουσαν ἐν τοῖς οὐρανοῖς ἐπιζητῶ, ἧς τεχνίτης καὶ δημιουργὸς αὐτὸς ὑπάρχεις· μὴ ἄξιον ἡγήσῃ με τοῦ γνῶναι τὸ θέλημά σου.

20. Ἐπιποθεῖ ἡ ψυχή μου καὶ οὐκ ὀρέννυται [ἀρνεῖται] τὰ κρίματά σου ποιεῖν νυκτὸς καὶ ἡμέρας.

21. Τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· Ἐπὶ ἀπωλείᾳ τετήρηνται οἱ ἀπὸ τῶν ἐντολῶν σου λαβόντες ἑαυτοὺς καὶ εἰς τὰς προτέρας αὐτῶν πονηρίας ἀναστροφὰς πορευόμενοι.

22. Ἄφελε ἀπ' ἐμοῦ τὴν παλαιὰν ἐκείνην ἐπιθυμίαν τὴν πονηράν, ὅτι ἡδέως ἔχω τὰ προστάγματά σου, τὰ δι' οὗ μεμαρτύρηται ἕκαστος τῶν ἀνθρώπων.

23. Καὶ γὰρ οἱ ἄρχοντες τοῦ σκότους τούτου βουλεύσονται κατ' ἐμοῦ, ἐγὼ δὲ ὃν ἐξηγόρασας τῷ τιμίῳ σου αἵματι ἐπεσκεπτόμην τὰς Γραφάς σου.

24. Καὶ γὰρ μελετῶν νυκτὸς καὶ ἡμέρας, ἃ διεμαρτύρω μοι, καὶ αὐτὰ συμβουλεύω τῇ ψυχῇ μου.

25. Ἐταπεινώθην ἐνώπιόν σου, ζωοποίησόν με καθὼς θέλει ἡ χάρις σου.

---

1. Ματθ. 25, 41.

26. Ἐξωμολογησάμην τὰς πρότερον ἐν τῇ ἀγνοίᾳ μου ἁμαρτίας καὶ εὐθὺς ἠλέησάς με· δώρησαι οὖν μοι τὴν χάριν σου.

27. Τὸν φωτισμὸν τῶν Γραφῶν σου συνέτισόν με διὰ τῆς χάριτός σου, ἀπὸ τῆς τέρψεως [οὐ] παύσομαι λέγειν ἐν τῇ μεγαλειότητι τῶν λόγων σου.

28. Βεβύθισται ἡ ψυχή μου ἀπὸ τῆς ἁμαρτίας, ἀλλὰ διέγειρόν με τῇ χάριτί σου ἐν τοῖς λόγοις σου.

29. Ἀπέλασον τὰς ἐπιθυμίας τοῦ κόσμου ἀπ' ἐμοῦ καὶ ἐλέησόν με ὁδηγῶν με ἐν τῷ νόμῳ σου.

30. Πεπόθηκα τὸν Υἱὸν τοῦ Θεοῦ, τὴν ὁδὸν τῆς ἀληθείας· ἐμνημόνευον γὰρ τὸ βῆμά σου τὸ φοβερόν.

31. Ἀκολουθεῖν ἠρξάμην τοῖς προστάγμασί σου, Κύριε, μὴ ἀδόκιμόν με ἐάσῃς ἐν αὐτοῖς.

32. Προθύμως ποιῶ τὸ θέλημά σου, ὅταν ἀνοίξῃς τὴν καρδίαν μου ἐγγράψας ἐν αὐτῇ τὸν νόμον σου.

33. Στήριξον ἐν τῇ διανοίᾳ μου τὸ πῶς ἐπιτελέσω τὰ δικαιώματά σου καὶ ἐπιποθήσω ἀεὶ αἰτεῖσθαι παρὰ σοῦ τὴν χάριν ταύτην.

34. Φώτισόν με καὶ ἐπιζητήσω τὴν ἑρμηνείαν τῶν Γραφῶν σου καὶ σπουδάσω πληρῶσαι αὐτὴν δι' ἔργων ἀγαθῶν.

35. Ἐπεὶ νήπιός εἰμι καὶ οὐκ οἶδα βαδίζειν ἐν ταῖς ἐντολαῖς σου, ζητῶν καὶ τὴν ὁδὸν αὐτῶν· κράτησον τῇ χάριτί σου τὴν ψυχήν μου καὶ ποίησόν με πατεῖν ἐν αὐταῖς.

36. Ὑπόταξον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου καὶ [οὐκ] εἰς τὴν πλεονεκτοῦσάν με ἁμαρτίαν, ἵνα μὴ ὦ δεδουλωμένος.

37. Φώτισον τοὺς ὀφθαλμοὺς τῆς διανοίας μου, τοῦ μὴ προσχεῖν εἰς τὴν ἀπόλαυσιν τοῦ κόσμου· ἐν τῷ Υἱῷ σου ζωοποίησόν με.

38. Στήριξον εἰς τὴν καρδίαν μου τὸ λόγιόν σου μετὰ τοῦ φόβου σου.

39. Ἄφελε ἀπ' ἐμοῦ τὴν αἰσχύνην [ἣν] προσεδόκησα ἔχειν ἐπὶ τοῦ βήματός σου, ὅτι αἱ ἐπαγγελίαι σου ἀγαθαί.

40. Ἰδοὺ ἐδίψησα ποιεῖν τὰς ἐντολάς σου, πότισόν με τὴν χάριν σου.

41. Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ Πνεῦμά σου τὸ ἅγιον τὸ ζωοποιοῦν, καθὼς ἐπήγγειλάς μοι.

42. Καὶ δός μοι τὴν χάριν τοῦ λέγειν με ἀπὸ τῶν ἁγίων Γραφῶν σου πρὸς πάντας αἱρετικούς, Ἰουδαίους τε καὶ Ἕλληνας, ὅτι ἐπεπόθειν [ἐπεπόθησα] ἐπὶ τοὺς λόγους σου.

43. Καὶ μὴ ἀφέλῃς ἀπ' ἐμοῦ τὴν χάριν σου ἕως τέλους, ὅτι ἐν τοῖς προστάγμασιν ὅλως ἐκκέχυμαι.

44. Καὶ ποιήσω ἀδιαλείπτως τὸν νόμον σου ἔχων αὐτὸν ἐν ἑαυτῷ καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι.

45. Καὶ ἠγαλλιάσατο ἡ καρδία μου, ὅτι μεριμνῶν [ἐμερίμνησα] τοῦ ποιεῖν τὸ θέλημά σου.

46. Καὶ ἐμνημόνευον ἐν τῇ διανοίᾳ μου ἀπὸ τῶν προσταγμάτων σου καὶ ἀνθιστάμην τοῖς τοῦ σκότους βασιλεῦσι καὶ οὐκ ἐκυριευόμην ὑπ᾽ αὐτῶν.

47. Καὶ ἐν τῇ καρδίᾳ μου ἐπέλυον τὰς Γραφάς, ὅτι ἐκκέχυμαι ποθεῖν αὐτάς.

48. Καὶ ἐνέτεινον τὴν διάνοιαν τῆς καρδίας μου εἰς τὴν θεωρίαν τῶν Γραφῶν σου, ἃς ἠγάπησα καὶ ἐπέμενον δοκιμάζων καὶ ἀνακρίνων τὰ ἐν ταῖς Γραφαῖς σου.

49. Μνήσθητι, ὅτι ἐπήγγειλας ἐλεεῖν με, ἐὰν ἐπιστρέψω ἐν τοῖς λόγοις σου.

50. Αὕτη ἡ ἐπαγγελία σου παρεμυθήσατό με, ὅταν ἤμην ἐν τῇ ἁμαρτίᾳ μου, ὅτι εἴρηκας· «Οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέφειν, καὶ ζῆν αὐτόν.[1]»

51. Οἱ ἐξουδενοῦντες τὰ προστάγματά σου ἀσεβοῦσιν ἕως τέλους· ἐγὼ δὲ ἀπὸ τοῦ νόμου σου οὐκ ἀφιστάμην.

52. Μόνον ἐν νῷ λαβὼν τὰ προστάγματά σου, τὰ ἐξ ἀρχῆς, Κύριε, χαίρεται ἡ καρδία μου.

53. Πολλὴ θλῖψις εἶχέ με, ὅταν ἑώρων τοὺς ἁμαρτάνοντας καταφρονοῦντας τοὺς νόμους σου.

54. Ἀεὶ ἐν τοῖς δικαιώμασί σου ἐτερπόμην, [ἐν] παντὶ τόπῳ τῆς γῆς ὑπάρχων.

55. Ἁμαρτίας μοι ὑπεισελθούσης, ἐμνήσθην, ὅτι Θεός μου εἶ, καὶ ἀπέστην ἀπ᾽ αὐτῆς· τοῦτο γὰρ ἐνετείλω μοι [ἐνετείλω μοι].

56. Αὕτη μοι βοήθεια ὑπῆρξεν, ὅτι τὰ δικαιώματά σου ἐπεπόθησα μᾶλλον ἢ τὴν ἁμαρτίαν.

57. Σὺ εἶ ἡ ζωή μου, Κύριε· συνεθέμην γὰρ τοῦ πληρῶσαι τὸν νόμον σου.

58. Ἐδεήθην ἐλθεῖν [τὴν χάριν σου], ἐν ὅλῃ καρδίᾳ μου, ἐλέησόν με, καὶ ἀπόστειλον αὐτὴν καθὼς εἴρηκας· «Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν.[2]»

59. Ἐν νῷ ἔλαβον, ὅτι ἐν ἁμαρτίαις πορεύομαι, καὶ μετανοήσας κατέφυγον εἰς τὰ παθήματά σου.

60. Ἕως θανάτου ηὐτρέπισα τὴν ψυχήν μου εἰς τὸ θέλημά σου, καὶ οὐκ ἦν μοι δυσχερὲς τὸ πληροῦν τὰς ἐντολάς σου.

61. Λογισμοὶ τῶν ἐναντίων δυνάμεων εἰς ἐπιθυμίας ὑπεισήρχοντό μοι· ἐμνημόνευον γάρ, ὅτι οἱ πορνεύσαντες ἐν τοῖς κατακλυσμοῖς ἀπώλοντο καὶ οἱ Σοδομῖται ἐθραύσθησαν [συνεκαύθησαν].

62. Ὅταν πάντες ὕπνῳ κατείχοντο, ἐγὼ νηφούσῃ τῇ διανοίᾳ παριστάμενος ἐλάτρευόν σοι ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς.

63. Ὁρῶν ἕκαστον τῶν εὐαρεστούντων σοι, σημειοῦμαι, πῶς

---

1. Ἰεζ. 33, 11. 2. Ματθ. 7, 7.

ἕκαστος αὐτῶν πολιτεύεται καὶ ἀφ' ἑκάστου κρατῶ παρ' ἐμαυτῷ, ἐκτελῶν αὐτὸ ὡς ἐκεῖνος.

64. Οὐκ ἔστιν ἄνθρωπος, ὃν οὐκ ἐλεεῖς, κἀμὲ ἐλεήσεις καὶ διδάξεις με τὰ δικαιώματά σου.

65. Πᾶσαν τὴν ἀγαθωσύνην σου ἐπλήρωσας εἰς ἐμέ, καθὼς ἐπηγγείλω μοι.

66. Ἀγάπην καὶ ταπείνωσιν καὶ τὴν δύναμιν τῶν Γραφῶν σου εἰδέναι με διὰ τῆς χάριτός σου δώρησαί μοι, ὅτι ἐπίστευσα, ὅτι ἔστιν ἀνταπόδοσις δικαίων καὶ ἀδίκων.

67. Πρὸ τοῦ με ὑποταγῆναί σοι, ἐγὼ εἰς σὲ πολλὰ ἥμαρτον, διὰ τοῦτο νῦν ὅπερ ἐνετείλω μοι, ἐφύλαξα.

68. Ἀγαθὸς εἶ, Κύριε, καὶ ἐν τῷ Πνεύματί σου τῷ ἀγαθῷ δίδαξόν με τὰ δικαιώματά σου, καὶ γινώσκειν καὶ ποιεῖν.

69. Πλῆθος ἐπιθυμιῶν καὶ ἐνθυμήσεων διαβολικῶν ἐπέστη μοι· ἐγὼ δὲ οὐδὲ ὅλως ἐξέδωκα εἰς αὐτὰ τὴν καρδίαν μου· τὴν γὰρ διάνοιάν μου εἶχον εἰς τὰς ἐντολάς σου.

70. Ἐσκλήρυται ἡ καρδία αὐτῶν, ἐγὼ δὲ τὴν διάνοιάν μου εἰς τὸν φόβον σου ἔχω.

71. Ἀγαθόν μοι, ὅτι ἐπράϋνας τὴν καρδίαν μου, ὅπως ἂν δέξωμαι τὴν χάριν σου.

72. Ἀγαθός μοι ὁ πλοῦτος ὃν ἔδωκάς μοι λέγων· «Λάβετε Πνεῦμα ἅγιον [1]» ὑπὲρ πάντα πλοῦτον, ὃν ἐάν τις ἐνθυμηθῇ.

73. Σὺ ἐν ἀρχῇ πηλὸν ὄντα με καὶ γῆν, ἔπλασας κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ νῦν φθαρείσης τῆς καρδίας μου ὑπὸ τῶν γηίνων ἐπιθυμιῶν ἀνακαίνισον αὐτήν, καὶ ποίησον, ὡς σὴν οὖσαν εἰκόνα, τὰς ἐντολὰς ἔχειν ἐν αὐτῇ ἐγγεγραμμένας.

74. Οἱ ἅγιοί σου καὶ πάντες οἱ ἄγγελοί σου ἀγαλλιάσονται ὁρῶντες, ὅτι μετενόησα.

75. Φωτισθεὶς ὑπὸ τῆς χάριτός σου ἔγνων, ὅτι δίκαιά εἰσι τὰ προστάγματά σου, καὶ ἅπερ ἀπεφήνω ἐν αὐτοῖς κατ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ δικαίως ὥρισας.

76. Ἀλλὰ πάλιν γένοιτο τὸ ἔλεός σου παραμυθούμενόν με, ὅτι οὕτως εἶπας· «Οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν.[2]»

77. Ἐπισκηνώσει ἡ χάρις σου εἰς ἐμὲ καὶ νεκρωθέντα με ὑπὸ τῆς ἁμαρτίας ζωοποιήσει, ὅτι ἠρξάμην μελετᾶν τὸν νόμον σου.

78. Αἰσχυνθήτωσαν αἱ ἐναντίαι δυνάμεις, ὅτι αὗταί με ἐξῃχμαλώτισαν· ἐγὼ δὲ ἐπιστήσω τὴν διάνοιάν μου εἰς τὰ θελήματά σου.

97. Κατηχήσουσι καὶ διδάξουσιν οἱ ἔχοντες τὴν χάριν σου καὶ εἰδότες τὴν δύναμιν τῶν ἁγίων σου Γραφῶν.

80. Καθαρισθήτω ἡ καρδία μου ὑπὸ τῆς χάριτός σου εἰς τὰ δικαιώ-

---

1. Ἰω. 20, 22. 2. Ἰεζ. 33, 11.

ματά σου, μὴ ἔχουσα ἐν ἑαυτῇ ἐπιθυμίαν ἢ φροντίδα γηίνην, ἵνα μὴ πάλιν αἰσχυνθῶ εἰς τὸ βῆμά σου.

81. Διψᾷ ἡ ψυχή μου τὴν σωτηρίαν σου [τὸ σωτήριόν σου], πότισόν με τὰ λόγιά σου.

82. Ἐξετάκην ὅλος ἀπ' ἐπιθυμίας μεριμνῶν, πότε ποτίσεις με τὴν χάριν σου.

83. Ὅτι ἐνεκρώθην καὶ ἐξηράνθην ἐν τῇ ἁμαρτίᾳ μου, οἶδα, καὶ μνημονεύω, ὅτι εἶπας ἐν τοῖς δικαιώμασί σου τὸν ἁμαρτωλὸν ἀντιλαμβάνεσθαι.

84. Πόσας ἄλλας ἔχω ζῆσαι ἡμέρας; πότε τοσοῦτον χρόνον δώσει [δώσεις] μοι ἐξουσίαν πατεῖν ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ [τῶν ἐχθρῶν], ὅσον αὐτοί μοι κατεδυνάστευσαν;

85. Ὑπέθεντό μου τὸ πρότερον οἱ δαίμονες τὰς ἑαυτῶν ἀπάτας, ἀλλ' οὐχ ὡς σὺ θέλεις, Κύριε.

86. Οἶδα, ὅτι δίκαιος κριτὴς εἶ εἰς πάντας· φεύγοντός μου ἀπ' αὐτῶν καὶ θέλοντος ἐλθεῖν πρὸς σὲ τὸν κατὰ φύσιν μου Δεσπότην, καταδιώκουσί με ζητοῦντες ἁρπάσαι με· βοήθησόν μοι.

87. Οὕτως ἰσχυρῶς ἐπέβησάν με, ὅτι παρὰ μικρὸν ἐθανάτωσάν με ἐν τῇ ἁμαρτίᾳ· ἐγὼ δὲ ἐν τῇ καρδίᾳ μου ἔλεγον τῇ ψυχῇ μου· Μνημόνευε τί σοι ἐντέταλται ὁ Θεός.

88. Καθὼς τὸ ἔλεός σου ἀμέτρητον καὶ ἀνεξιχνίαστόν ἐστιν, οὕτω τὴν χάριν σου δός μοι τὴν ζωοποιοῦσάν με, καὶ πληρώσω τὰ προστάγματα, ἃ ἐνετείλω μοι.

89. Εἰς τὴν καρδίαν, ἐν ᾗ οἰκείως ἐμπεριπατεῖς, ἀπαύστως ἐστὶ τὸ θέλημά σου.

90. Εἰς τοὺς ἁγίους τοὺς καθ' ἑκάστην εὐαρεστήσαντάς σοι ὄντως ἐστὶν ἡ πίστις σου· ἐθεμελίωσας τὸν κόσμον ἐν τῇ πίστει σου, «καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.[1]»

91. Τῇ δωρεᾷ τῶν χαρισμάτων σου διαμένει τὸ φῶς σου, ὅτι ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων αὐτὸς δεσπόζεις.

92. Εἰ μὴ κἂν νῦν ἠρξάμην μανθάνειν τὸν νόμον σου, ἀλλ' ἔμεινον οὕτως ὡς τὸ πρότερον, παντὶ τρόπῳ εἶχον ἀπολέσθαι ἐν τῇ ἁμαρτίᾳ μου.

93. Οὐκ ἂν ἐπιλάθωμαί ποτε τῶν παθημάτων σου, ὅτι νεκρόν με ὄντα ἐν τῷ αἵματί σου ἐζωοποίη [ἐζωοποίησας].

94. Ἐξηγόρασάς με τῷ τιμίῳ σου αἵματι τελείως· σῶσόν με, ὅτι, ἀκούσας τὸ κήρυγμά σου, ἐπίστευσα.

95. Ἐμὲ ἐζήτησαν αἱ ἐναντίαι δυνάμεις ἀπολέσαι ἐν τῇ εἰδωλολατρείᾳ· τὰ δὲ λεχθέντα παρὰ σοῦ περὶ τῆς εἰς σὲ πίστεως καὶ ἐλπίδος ἀκοῦσαι [ἀκούσας] ἐπίστευσα.

96. Πάσης δόξης, καὶ ἀπολαύσεως σαρκικῆς εἶδον τέλος· οἱ δὲ

---

1. Ματθ. 16, 18.

τὴν ἐντολήν σου φυλάττοντες ἀτελευτήτου δόξης καὶ ἀπολαύσεως ἀξιοῦνται.

97. Ὡς μόνος ἠρξάμην ἀγαπᾶν τὸν νόμον σου, ἀδιαλείπτως λοιπὸν φωτίζομαι καὶ προσκόπτω ἐν αὐτῷ.

98. Ταῖς γὰρ ἐναντίαις δυνάμεσι καὶ πᾶσι τοῖς αἱρετικοῖς οὐκ ἔδωκας τοιαύτην χάριν, ὡς ἐμοί, τοῦ εἰδέναι τὰς ἐντολάς σου, ὅτι ἐμοὶ ἀδιαλείπτως ἐδωρήσω τὴν χάριν αὐτήν.

99. Ὑπὲρ τοὺς παλαιοτέρους μου τῇ ἡλικίᾳ ἐφωτίσθην τὰ λόγιά σου, ὅτι νυκτὸς καὶ ἡμέρας ἐν αὐτοῖς μελετῶ.

100. Ὑπὲρ τοὺς πρὸ ἐμοῦ ὄντας τῇ γνώσει συνῆκα τὴν δύναμιν τῶν Γραφῶν, ὅτι τὰς ἐντολάς σου ἐπόθησα.

101. Ἀπὸ πάσης ἁμαρτίας πονηρᾶς ἐπαυσάμην, ὅπως πληρώσω εἰς σὲ καὶ τὸν πλησίον ἀγάπην.

102. Ἐν τοῖς προστάγμασί σου πλαγεὶς οὐκ ἐπορεύθη, ὅτι σὺ τῆς χάριτός σου [ἐπορεύθην, ὅτι σὺ τῇ χάριτί σου] ὁδηγήσεις με.

103. Τὸ μὲν πρῶτον ἰδικὸν τοῦτό ἐστι, ὅτι ὑπὲρ τὸ μέλι γλυκύτερά εἰσι τὰ λόγιά σου· ἐκεῖνο γὰρ οὔτε εἰς τὴν καρδίαν μου εἰσέρχονται [εἰσέρχεται], καὶ μετὰ λαβεῖν αὐτό, εὐθέως ἡ γλυκύτης αὐτοῦ παύεται· ταῦτα δὲ διαμένοντα εἰς τὴν καρδίαν μου πλεονάζουσιν εἰς ἐμὲ τὴν γλυκύτητα αὐτῶν· τὸ δὲ ἀλληγορῆσαι τοῦτό ἐστιν, ὅπερ ὑπὲρ πᾶσαν ἡδύτητα τοῦ κόσμου γλυκύτερά εἰσι τὰ λόγιά σου, ὅτι τῆς αἰωνίου ἀπολαύσεως ἔχουσι τὴν προσδοκίαν.

104. Ἀπὸ τῶν δικαιωμάτων σου συνεπείσθην· διὰ τοῦτο ἀπεστράφην πᾶσαν ἁμαρτίαν.

105. Ὅταν σκότος ἐπέλθῃ μοι τῆς ἁμαρτίας, φαίνει μοι ὄνομά σου, μὴ προσκόψαι [προσκόψαντά με] τῇ ἁμαρτίᾳ πεσεῖν, ἢ πληγῆναι ἔτι τῆς διανοίας μου [τῇ διανοίᾳ μου], καὶ φωτίζει με, τί ποιήσω.

106. Ὁ ὅρκος πίστις ἐστί· πιστεύσας οὖν εἰς σέ, ἐστήριξα τὴν καρδίαν μου, τοῦ πληρῶσαι τὸ θέλημα τῆς ἀγαθότητός σου.

107. Κυριευθεὶς τὸ πρότερον ὑπὸ τῆς ἁμαρτίας πολλὰ ἠνόμησα ἐνώπιόν σου· καθὼς εἰρήκαμεν [ζῆσόν με, καθὼς εἴρηκας]· «Ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον.[1]»

108. Καὶ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου φώτισόν με.

109. Σὺ ἐξέδωκας ἑαυτὴν ἕως θανάτου, καὶ τῆς εἰς σὲ ἀγάπης καὶ τοῦ πλησίον οὐκ ἐπελαθόμην.

110. Οἱ δαίμονες ἐνέβαλόν μοι φιλαργυρίαν καὶ οὐκ ἐπλανήθην· ἐμνημόνευον γάρ σου εἰπόντος, πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰσελεύσονται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.[2]

111. Κατεκρύφησα ἐν τῷ εἰδέναι με τὴν φανέρωσιν τῶν μαρτυρίων σου, ὅτι χαρὰ ἀνεκλάλητός ἐστι τῇ καρδίᾳ μου.

---

1. Ἰω. 6, 47. 2. Πρβλ. Μάρκ. 10, 23.

112. Εἰς τὸν αἰῶνα ἐξέδωκα ἐμαυτὸν ὅλον εἰς τὸ εὐαρεστῆσαι διὰ παντὸς διὰ τὴν αἰωνίαν ἀνταπόδοσιν τῶν ἀγαθῶν σου.

113. Τοὺς θέλοντάς με ἀποστῆσαι τῆς ἀληθείας ἀπεστρεφόμην, τὰ δὲ προστάγματά σου περιεπυσσόμην [περιεπηξάμην] ἐν τῇ καρδίᾳ μου.

114. Σὺ ἐν πᾶσιν ὑπερασπίζεις μου· ἐπίστευσα γὰρ τοῖς εἰρημένοις παρὰ σοῦ περὶ τῆς μακαρίας ἐλπίδος.

115. Ἀναχωρήσατε ἀπ' ἐμοῦ, αἱ ἐναντίαι δυνάμεις, καὶ ἐπιστήσω τὸν νοῦν μου, πῶς πληρώσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου.

116. Ῥῦσαί με ἐκ τῶν παγίδων τοῦ διαβόλου καθὼς ἐπηγγείλω λέγων· Θάνατος ὑμῶν οὐ μὴ κυριεύσει, καὶ μὴ συγχωρήσῃς ἡττηθέντα με στερηθῆναι τῆς αἰωνίου ζωῆς.

117. Κύκλωσον τῇ χάριτί σου τὴν καρδίαν μου, καὶ φυλαχθήσομαι, καὶ εἰρήνης οὔσης ἐν ἐμοί, οὐδεμία μοι ἄχλη [ἄλλη] ἔσται φροντίς, ἢ μὴ τοῦ ποιεῖν τὸ θέλημά σου διὰ παντός.

118. Ὅτι οἱ μὲν ἐπίστευσαν εἶναί σε Θεόν, οἱ δὲ τῇ ἀσελγείᾳ καὶ τῇ πλεονεξίᾳ καὶ τοῖς λοιποῖς ἐξέδωκαν ἑαυτούς.

119. Ἐλογισάμην, ὅτι ἀπολλύμενοί εἰσι πάντες οἱ τῇ ἀσελγείᾳ κεκολλημένοι· διὰ τοῦτο ποθῶ τὰ μαρτύριά σου· ὅτι ζωὴ αἰώνιός εἰσιν.

120. Πεπηγέναι ποίησον ἀσάλευτον ἐν τοῖς μέλεσί μου τὸν φόβον σου, ἵνα νενεκρωμένος ὑπάρχω τῇ ἁμαρτίᾳ· ἤκουσα γὰρ περὶ τῶν αἰωνίων κολάσεων καὶ ἐφοβήθην.

121. Ἐπίστευσα καθὼς ἐνετείλω μοι καὶ τὸ θέλημά σου πεπλήρωκα· μὴ συγχωρήσῃς κυριευθῆναί με ὑπὸ τῶν ἐναντίων δυνάμεων.

122. Μακροθύμησον εἰς τὴν μετάνοιάν μου, μὴ εὕρωσιν αἱ ἐναντίαι δυνάμεις ἀφορμήν τινα κατηγορεῖσθαί με πρὸς σέ.

123. Ὅλος ὁ πόθος μοί ἐστι τὸ δέξασθαι τὴν χάριν σου καὶ πληρῶσαι ἅπερ ἐνετείλω μοι.

124. Καὶ τὰ δικαιώματά σου ποίησον μετ' ἐμοῦ, ὡς εἴωθε τὸ ἔλεός σου, καὶ κατὰ τὸ μέγεθος τοῦ ἐλέους καὶ τῇ χάριτί σου κατάρτισαι τὴν καρδίαν μου ἐπιτελεῖν τὰ δίκαια μετὰ σοῦ.

125. Ἐξηγόρασάς με τῷ τιμίῳ αἵματι, καὶ ὑπέταξά σοι ἐμαυτόν· δός μοι τὴν χάριν, ἵνα ἐπιγνῶ πῶς ἐπιτελεῖν ἅπερ ἐνετείλω μοι.

126. Νῦν ἐστιν ὑπὲρ τῆς ἀληθείας σου ἀγωνίσασθαι ἕως θανάτου, ἐπειδὴ ἠρνήσαντο τὴν πίστιν σου.

127. Διὰ τοῦτο μᾶλλον τὰς ἁγίας σου Γραφὰς ἐκράτησα ὑπὲρ τὸ χρυσίον τὸ ἐξαίρετον. «Τοπάζιον» γὰρ «ἀγαθὸν» ἑρμηνεύεται· ἐπεὶ οὖν οὗτος ὁ πλοῦτος πρόσκαιρός ἐστιν, οὐδὲ διὰ τῶν ἐντολῶν σου αἰώνιος ὑπάρχεις, διὰ τοῦ [τοῦτο] μᾶλλον ἠγάπησα τὰς ἐντολάς σου.

128. Διὰ τοῦτο πρὸς πάντα τὰ θελήματά σου ἕτοιμος ἤμην καὶ πᾶσαν ἁμαρτίαν ἀπεστρεφόμην, ἐπειδὴ εἰς τὴν μισθαποδοσίαν ἀποβλέπω.

129. Πάσης ἐκπλήξεως μετὰ [μεστά] εἰσι τὰ μαρτύριά σου δυναμένῳ αὐτὰ νοῆσαι· διὰ τοῦτο ἐπεθύμησα γνῶναι τὴν δύναμιν τῶν Γραφῶν σου.

130. 'Η ἑρμηνεία τῶν Γραφῶν σου φωτίζει καὶ εἰς σύνεσιν ἄγει τοὺς νηπίους ὄντας περὶ τοῦ νοῆσαι.

131. Διψῶν τὴν χάριν σου ἐδεήθην σου, καὶ ἔδωκάς μοι τὸ Πνεῦμά σου τὸ ἅγιον, ἐπειδὴ ἐπεπόθουν τὴν ἑρμηνείαν γνῶναι τῶν Γραφῶν.

152. Καθὼς ἐφορᾷς τοὺς ἀγαπῶντάς σε μετὰ ἐλέους καὶ οἰκτιρμῶν, οὕτως καμὲ ἔπιδε και ἐλέει με.

133. Τὴν προθυμίαν τῆς καρδίας μου ποίησον ἐξακολουθεῖν τῷ θελήματί σου, καὶ μὴ ἰσχύσῃ πᾶσα δύναμις τοῦ διαβόλου ἀποστῆσαί με τῆς πρὸς σὲ ἀγάπης.

134. Λύτρωσαί με ἀπὸ πάσης ἀφορμῆς τῶν δαιμόνων, καὶ πληρώσω τὰς ἐντολάς σου.

135. Τὸ φῶς τῆς χάριτός σου ἀνάτειλον ἐν τῇ καρδίᾳ μου καὶ δίδαξόν με νοεῖν καὶ ποιεῖν τὰ δικαιώματά σου.

136. Ποταμοὺς δακρύων κατήγαγον ἀπὸ τῶν ὀφθαλμῶν μου κλαίων καὶ ἐνθυμούμενος, ὅτι οὐκ ἐφύλαξα τὸν νόμον σου.

137. Δικαιοκρίτης εἶ, Κύριε, καὶ οὐκ ἔστι προσωποληψία παρὰ σοί.

138. Προσέταξας εἰς μαρτυρίαν σου δικαιοσύνην ποιεῖν καὶ μηδὲν καθ' ὑπόκρισιν.

139. 'Εμαράνθην ὅλος ἀπὸ τοῦ ζήλου περὶ σέ, ὅτι ὁρῶ τοὺς αἱρετικοὺς ἐναντία τῶν Γραφῶν σου λαβόντας περὶ τῆς πίστεώς σου.

140. 'Επειδὴ πῦρ αὐτὸς ὑπάρχει [ὑπάρχεις], πεπυρακτωμένα καὶ τὰ λόγιά σού εἰσι πρὸς τὸ κατακαίειν ξύλα, χόρτον, καλάμου [καλάμην[1]], τουτέστι ταῖς πονηραῖς πράξεσι [τὰς πονηρὰς πράξεις]. 'Ο δὲ δοῦλός σου ὑπάρχων ἀγαπᾷ τὸ λόγιόν σου, ἐπειδὴ πεπυρωμένον ὑπάρχον καταφθείρει τὰς ἀκάνθας τοῦ βίου.

141. 'Εγὼ νῦν ἠρξάμην τοῦ ἐπιστρέψαι πρὸς σὲ ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάντες ὄνειδός με ἔχουσιν ὡς ἁμαρτωλόν· ἐγὼ δὲ ὀνειδιζόμενος ὑπ' αὐτῶν τὰ δικαιώματά σου ἐφύλαττον.

142. 'Ο ποιῶν τὴν δικαιοσύνην δίκαιός ἐστιν εἰς τὸν αἰῶνα, καὶ πάντα ὅσα ἐπηγγείλω περὶ τῶν μελλόντων ἀγαθῶν ἀλήθειά ἐστιν.

143. Ἔνδεια καὶ διωγμὸς εὕροσάν με, ἐγὼ δὲ ὑπεμνησκόμην, ὅτι περιεῖπας· «Μακάριοι οἱ πεινῶντες [καὶ διψῶντες τὴν δικαιοσύνην][2]», καὶ «μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι.[3]»

144. Δικαιοσύνη ἐστὶ τὰ μαρτύριά σου καὶ εἰς τὸν νῦν καὶ εἰς μέλλοντα αἰῶνα· συνέτισόν με αὐτά, καὶ ζήσομαι δι' αὐτῶν.

145. Κύριε, μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα σοι ἀποδώσω· ἐπιβλέψω γὰρ εἰς τὰς Γραφάς σου καὶ ἐπὶ γνῶσιν τί [καὶ ἐπέγνωκα τί] οὐκ ἐπλήρωσα ἐν αὐταῖς καὶ τοῦτό σοι ἀποπληρώσω.

---

1. Πρβλ. Α' Κορ. 3, 12. 2. Ματθ. 5, 6. 3. Ματθ. 5, 11.

146. Ἐν ὀδύνῃ τῆς καρδίας μου πρὸς σέ· βεβυθισμένον ὄντα με ὑπὸ τῆς ἁμαρτίας σῶσον, ὡς ἔσωσας τὸν Πέτρον ἐν τῷ κλύδωνι τῆς θαλάσσης, καὶ οὐκ ἂν ἐάσω τὰ μαρτύριά σου.

147. Ὡς ἑώρακα ἡσυχάζουσαν τὴν ψυχήν μου ἀπὸ τῶν ἐνοχλουσῶν αὐτήν, ἐξωμολογούμην σοι τὰς ἁμαρτίας μου· ἤλπισα γὰρ εἰς τοὺς λόγους σου, ὅτι ἧς εἰρηκώς· «Δεῦτε πρός με οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.[1]»

148. Ἀνῆψαν οἱ ὀφθαλμοὶ τῆς καρδίας μου τὸ ἡδέως δέξασθαι τὸ φῶς τῶν Γραφῶν σου.

149. Καθὼς ἀμέτρητόν ἐστι τὸ ἔλεός σου, οὕτως ἄκουσόν μου, καὶ καθὼς θέλεις, οὕτως ζῆσόν με.

150. Προσέφερον αἱ ἐναντίαι δυνάμεις ἐπιθυμίας πονηράς· ὡσεὶ [ὡς δὲ] εἶδον ἐν ἐμοὶ ὄντα τὸν νόμον σου, ἀφανεῖς ἐγένοντο.

151. Πλησίον εἶ σύ, Κύριε, τῶν θελόντων προσφεύγειν σοι καὶ πᾶσαι αἱ ἐντολαί σου οὐκ εἰσὶ βαρεῖαι.

152. Ἐξ ἀρχῆς συνετίσθην ἐκ τῶν Γραφῶν σου, ὅτι ἀνίκητά [ἀκίνητά] εἰσι τὰ προστάγματά σου.

153. Μνήσθητι, ὅτι γῆ καὶ σποδός εἰμι, καὶ ἐξελοῦμαι [ἐξελοῦ με] ἐκ τῶν ἐναντίων δυνάμεων, ὅτι μεριμνῶ ἀδιαλείπτως τὸ πῶς πληρώσω τὸν νόμον σου.

154. Ὡς δικαιοκρίτης ὑπάρχεις, ἀδικούμενόν με ὑπὸ τῶν δαιμόνων λύτρωσαι καὶ διὰ τὸν λόγον σου ἔτισόν με [ζῆσόν με].

155. Ὅτι εἶπας· Οὐδὲν [οὐδεὶς] ὑμῶν οὐ μὴ ἀδικήσῃ· τεθανατωμένοι εἰσὶν οἱ ἁμαρτωλοί, ὅτι τὴν ἐπαγγελίαν τῆς ζωῆς τῆς μελλούσης οὐκ ἠθέλησαν.

156. Οἶδα ὅτι ἀμέτρητοί εἰσιν οἱ οἰκτιρμοί σου, ὡς θέλεις, ζῆσόν με.

157. Αἱ ἐναντίαι δυνάμεις. Ἐμεμνήμην γὰρ εἰπόντος σου· «Ἐν ὑπομονῇ κτήσασθε τὰς ψυχὰς ὑμῶν[2]», καὶ «ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται.[3]»

158. Προσεῖχον τοὺς ἀπολλυμένους, ἐξετηκόμην ἀπὸ τῆς θλίψεως, ὅτι τῷ βουλήματί σου ἀνθίσταντο.

159. Καρδιογνῶστα πάντων, οἶδας, ὅτι ἡδέως ἔχω πληρῶσαι τὰς ἐντολάς σου, Κύριε· ἐλεῶν με καὶ βοηθῶν με, ζῆσον με διὰ τῆς χάριτός σου.

160. Ἀρχὴ τῶν προσταγμάτων σου τὸ πιστεύειν εἰς σὲ καὶ ἐν τῷ μέλλοντι αἰῶνι ἀπόδοσις ἑκάστου κατὰ τὰ ἔργα αὐτοῦ.

161. Αἱ ἐναντίαι δυνάμεις ἦλθον κατέχειν με εἰς ματαιότητα ματαιοτήτων, καὶ ἐπιμνησθεὶς τῆς αἰωνίου κρίσεως ἐφοβήθη ἡ καρδία μου εἶναι σὺν αὐτοῖς.

162. Οὕτως χαίρω εἰς τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων θησαυρὸν ἀμέτρητον.

---

1. Ματθ. 11, 28. 2. Λουκ. 21, 19. 3. Μάρκ. 13, 13.

163. Πᾶσαν ἁμαρτίαν ἐμίσησα καὶ βδελύσσομαι· τὸ δὲ ἀγαπᾶν σε καὶ τὸν πλησίον, χαρά μού ἐστιν.
164. Τὸ μὲν πρῶτον· ἀπαύστως ᾔνεσά σοι, ἐπιτελῶ διεγείρων ἀγαθὴν τὴν δικαιοσύνην σου· καὶ ἑτέρως πάλιν δὲ νοεῖται· ὅτι διὰ τῶν ἑπτὰ χαρισμάτων τοῦ φωτός σου ἐν τοῖς προστάγμασι τῆς δικαιοσύνης σου ᾔνεσά σε καὶ λόγῳ.
165. Οἱ πόθον ἔχοντες πληρῶσαι τὸν νόμον σου οὐ πολεμοῦνται ὑπό τινος, οὐδέ ἐστιν ἐν αὐτοῖς ἐπιθυμία τις πονηρά· ἔχοντες γὰρ ἐν ἑαυτοῖς τὴν ἀμέτρητον χάριν σου, ἣν ἠγάπησας, βοηθοῦσι καὶ διδάσκουσιν αὐτούς.
166. ᾿Απέβλεπον εἰς τὴν αἰώνιον ζωήν, Κύριε, καὶ διὰ τοῦτο ἅπερ προσέταξάς μοι, ἡδέως εἶχον.
167. Μέμνηται ἀεὶ τῶν παθημάτων σου ἡ ψυχή μου καὶ ἐγκείμενά ἐστιν ἀεὶ διὰ τῆς μνήμης εἰς τὴν διάνοιαν αὐτῆς πάνυ.
168. ᾿Εφύλαξα ἐν ἐμαυτῷ ὅπερ προσέταξάς μοι καὶ διεμαρτύρουν μοι πάντες σφόδρα, ὥσπερ ἐπιτελῶν [ὅπερ ἐπετέλουν] ἔργῳ καὶ λόγῳ.
169. Οὕτως ἰσχυρὰν καὶ δυνατὴν ποίησον τὴν δέησίν μου, ὥστε δυνηθῆναι αὐτὴν ἀνελθοῦσαν πλησίον σου εὑρεθῆναι. Ἢ πάλιν· Αὐτὸς ἑαυτὸν κλίνας διὰ τῆς φιλανθρωπίας πλησίον αὐτῆς γένου [γενοῦ], ἵνα οὕτε [οὕτως] ἐγγίσῃ μου, καὶ καθὼς εἶπας, «Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν [1]», δός μοι αἰτουμένῳ τὴν χάριν σου καὶ ἐν αὐτῇ συνέτισόν με.
170. Ἄνοιξον τὰς πύλας τῶν οὐρανῶν σου καὶ τὴν παράκλησίν μου δέξαι, καθὼς εἶπας· «᾿Επικαλέσεταί με [ἐπικάλεσαί με] ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με· [2]» οὕτως νῦν, δεξαμένου μου τὴν παράκλησιν, ῥῦσαί με.
171. ᾿Ανέπεμψα [᾿Αναπέμψω] ὕμνον δοξάζων σε, ὅταν φωτίσῃς με τὰ δικαιώματά σου καὶ νοεῖν καὶ πράττειν.
172. Λαλήσω τὸν λόγον σου μετὰ παρρησίας, ὅτι ἀπ᾿ ἀρχῆς ἕως τέλους δικαιοσύνη εἰσίν, ἅπερ ἐνετείλω ὑμῖν [ἡμῖν].
173. Εὐτρέπισον τὴν χάριν σου [εἰς τὸ] φυλάττειν με, ὅτι τὰς ἐντολάς σου ἐξελεξάμην.
174. ᾿Επεπόθησα γνῶναι, Κύριε, τὴν φανέρωσιν τῶν προσταγμάτων σου· διὰ τοῦτο ἐπιζητῶ ἑκάστης Γραφῆς τὴν ἐπίλυσιν.
175. Ζωοποίησον τὴν ψυχήν μου διὰ τῆς χάριτός σου, καὶ αἰνέσει [σε] δι᾿ αὐτῆς· καὶ τὰ κρίματά σου ὅπλα μοι γένοιντο κατὰ τῶν ἐναντίων δυνάμεων.
176. ᾿Επλανήθην καταλιπών σε τὸν ἀληθινὸν ποιμένα· ἀλλὰ γινώσκεις ποῦ εἰμι· θέλησον εὑρεῖν με, ὅτι καὶ πεπλανημένος ὢν ὡς πρόβατον ἀναβοῶν ζητῶν [ζητῶ] σε καὶ τὴν σὴν ποίμνην, φοβούμενος, μήποτε διὰ τῆς ἁμαρτίας μου καὶ θηριάλωτος γένωμαι ὑπὸ τῶν ἐναντίων δυνάμεων.

1. Ματθ. 7, 7. 2. Ψαλμ. 49, 15.

ΨΑΛΜ. ΡΙΗ΄.

1. Μακάριοι, κ.λ.π.
2. Οἱ πορευόμενοι, κ.λ.π.
3. Μακάριοι, κ.λ.π.
4. Ἐν ὅλῃ, κ.λ.π.
5. Οὐ γάρ, κ.λ.π.
6. Σύ, τοῦ κ.λ.π.
7. Ὄφελον, κ.λ.π.
8. Τότε, κ.λ.π.
9. Ἐξομολογήσομαι, κ.λ.π.
10. Ἐν τῷ μεμαθηκέναι, κ.λ.π.
11. Τὰ δικαιώματά σου, κ.λ.π.
12. Ἐν τίνι, κ.λ.π.
13. Ἐν τῷ φυλάξασθαι, κ.λ.π.
14. Ἐν ὅλῃ, κ.λ.π.
15. Ἐν τῇ καρδίᾳ, κ.λ.π.
16. Εὐλογητός, κ.λ.π.
17. Ἐν τοῖς χείλεσί μου, κ.λ.π.
18. Ἐν τῇ ὁδῷ, κ.λ.π.
19. Ἐν ταῖς ἐντολαῖς, καὶ κατανοήσω τὰ θαυμάσιά σου, κ.λ.π.
20. Ἐν τοῖς δικαιώμασί σου, κ.λ.π.
21. Οὐκ ἐπιλήσομαι, κ.λ.π.
22. Ἀνταπόδος, κ.λ.π.
23. Ἀποκάλυψόν, κ.λ.π.
24. Πάροικος, κ.λ.π.
25. Μὴ ἀποκρύψῃς, κ.λ.π.
26. Ἐπεπόθησεν, κ.λ.π.
27. Ἐπετίμησας, κ.λ.π.
28. Ἐπικατάρατοι, κ.λ.π.
29. Περίελε, κ.λ.π.
30. Καὶ γάρ, κ.λ.π.
31. Καὶ γὰρ τὰ μαρτύριά σου, κ.λ.π.
32. Ἐκολλήθη, κ.λ.π.
33. Τὰς ὁδούς μου, κ.λ.π.
34. Ὁδόν, κ.λ.π.
35. Ἐνύσταξεν, κ.λ.π.
36. Ὁδόν, κ.λ.π.
37. Ὁδὸν ἀληθείας, κ.λ.π.
42. Ὁδήγησόν με, κ.λ.π.
43. Κλῖνον, κ.λ.π.
44. Ἀπόστρεψον, κ.λ.π.
45. Ἐν τῇ ὁδῷ, κ.λ.π.

46. Στῆσον, κ.λ.π.
47. Περίελε, κ.λ.π.
48. Ἰδού, κ.λ.π.
49. Καὶ ἔλθοι, κ.λ.π.
50. Καὶ ἀποκριθήσομαι, κ.λ.π.
51. Ὅτι ἤλπισα ἐπὶ τοὺς λόγους σου, κ.λ.π.
52. Καὶ μή, κ.λ.π.
53. Καὶ φυλάξω, κ.λ.π.
45. Καὶ ἐπορευόμην, κ.λ.π.
55. Καὶ ἐλάλουν, κ.λ.π.
56. Καὶ ἐμελέτων, αἷς ἠγάπησα, κ.λ.π.
57. Καὶ ἦρα, κ.λ.π.
58. Καὶ ἠδολέσχουν, κ.λ.π.
59. Μνήσθητι, κ.λ.π.
60. Αὕτη, κ.λ.π.
61. Ὅτι τὸ λόγιόν σου, κ.λ.π.
62. Ὑπερήφανοι παρηνόμουν, κ.λ.π.
63. Ἐμνήσθην, κ.λ.π.
64. Ἀθυμία, κ.λ.π.
65. Ψαλτά, κ.λ.π.
66. Ἐμνήσθην, κ.λ.π.
67. Αὕτη, κ.λ.π.
68. Μερίς μου, φυλάξασθαι τὰς ἐντολάς σου, κ.λ.π.
69. Ἐδεήθην, κ.λ.π.
70. Διελογισάμην, κ.λ.π.
71. Ἡτοιμάσθην, κ.λ.π.
72. Σχοινία, κ.λ.π.
73. Καὶ τοῦ νόμου, κ.λ.π.
74. Μεσονύκτιον, κ.λ.π.
75. Μέτοχος, κ.λ.π.
76. Τοῦ ἐλέους, κ.λ.π.
77. Χρηστότητα, κατὰ τὸ λόγιον σου κ.λ.π.
81. Ἐπληθύνθη, κ.λ.π.
82. Ἐτυρώθη, κ.λ.π.
85. Αἱ χεῖρές σου, κ.λ.π.
86. Συνέτισόν με, κ.λ.π.
87. Οἱ φοβούμενοί σε, κ.λ.π.
88. Ἔγνων, κ.λ.π.
89. Καὶ ἀληθείᾳ, κ.λ.π.
90. Γενηθήτω, κ.λ.π.
91. Ἐλθέτωσαν, κ.λ.π.
92. Αἰσχυνθήτωσαν, κ.λ.π.
93. Ἐπιστρεψάτωσάν με, κ.λ.π.

94. Γενηθήτω, κ.λ.π.
95. Ἐκλείπει, καὶ εἰς τοὺς λόγους, κ.λ.π.
96. Ἐξέλιπον, κ.λ.π.
97. Ὅτι, κ.λ.π.
98. Τὰ δικαιώματά σου, κ.λ.π.
99. Πόσαι, κ.λ.π.
100. Διηγήσαντό μοι, ἀδολεσχίαν, κ.λ.π.
101. Πᾶσαι, κ.λ.π.
102. Ἀδίκως, βοήθησόν με, κ.λ.π.
103. Παρά, κ.λ.π.
104. Κατά, κ.λ.π.
105. Εἰς τὸν αἰῶνα, κ.λ.π.
106. Εἰς γενεάν, κ.λ.π.
107. Ἐθεμελίωσας, κ.λ.π.
108. Τῇ διατάξει, κ.λ.π.
109. Εἰ μή, κ.λ.π.
110. Εἰς τόν, κ.λ.π.
111. Σός εἰμ, κ.λ.π.
112. Ἐμέ, κ.λ.π.
113. Πάσης, κ.λ.π.
114. Πλατεῖα, κ.λ.π.
115. Ὡς, κ.λ.π.
116. Ὅλην, κ.λ.π.
117. Ὑπὲρ τούς, ἐμή ἐστιν, κ.λ.π.
118. Ὑπὲρ πάντας, κ.λ.π.
119. Ὑπέρ, κ.λ.π.
120. Ἐκ πάσης, κ.λ.π.
121. Ἀπὸ τῶν, κ.λ.π.
122. Ὡς, κ.λ.π.
123. Ἀπὸ τῶν, κ.λ.π.
124. Λύχνος, κ.λ.π.
125. Ὤμοσα, κ.λ.π.
126. Ἐταπεινώθην, κ.λ.π.
127. Τὰ ἑκούσια, κ.λ.π.
128. Καὶ τὰ κρίματα, κ.λ.π.
129. Ἡ ψυχή μου, κ.λ.π.
130. Ἔθεντο, κ.λ.π.
131. Ἐκληρονόμησα, κ.λ.π.
132. Ἔκλινα, κ.λ.π.
133. Παρανόμους, κ.λ.π.
134. Βοηθός μου, κ.λ.π.
135. Ἐκκλίνατε ἀπ' ἐμοῦ, κ.λ.π.
136. Ἀντιλαβοῦ, κ.λ.π. καὶ ζήσομαι, κ.λ.π.

137. Βοήθησόν μοι, κ.λπ.
138. 'Εξουδένωσας, κ.λ.π.
139. Παραβαίνοντας, κ.λ.π.
140. Καθήλωσον, κ.λ.π.
141. 'Εποίησα, κ.λ.π.
142. ῎Εκδεξαι, κ.λ.π.
143. Οἱ ὀφθαλμοί μου, κ.λ.π.
144. Ποίησον, κ.λ.π.
145. Δοῦλός σου, κ.λ.π.
146. Καιρός, κ.λ.π.
147. Διὰ τοῦτο, κ.λ.π.
148. Διὰ τοῦτο, κ.λ.π.
149. Θαυμαστά, κ.λ.π.
150. 'Η δήλωσις, κ.λ.π.
151. Τὸ στόμα, κ.λ.π.
152. 'Επίβλεψον τὸ ὄνομά σου, κ.λ.π.
153. Τὰ διαβήματά μου, κ.λ.π.
154. Λύτρωσαί με, κ.λ.π.
159. 'Εξέτηξέ με, κ.λ.π.
160. Πεπυρωμένον, κ.λ.π.
161. Καὶ ὁ δοῦλός σου, κ.λ.π.
162. Νεώτερός εἰμι ἐγώ, καί, κ.λ.π.
166. 'Εξέκραξα, κ.λ.π.
167. Τὰ δικαιώματά σου, κ.λ.π.
168. 'Εξέκραξα, κ.λ.π.
169. Προέφθασα, κ.λ.π.
170. Εἰς τοὺς λόγους, κ.λ.π.
171. Προέφθασαν, κ.λ.π.
172. Τῆς φωνῆς μου, κατὰ τὸ λόγιόν σου, κατὰ τό, κ.λ.π.
175. Προσήγγισαν, κ.λ.π.
177. Κρῖνον, κ.λ.π.
178. Μακράν, κ.λ.π.
179. Οἱ οἰκτιρμοί σου, κ.λ.π.
180. Πολλοί, καὶ ἐκ τῶν, κ.λ.π.
181. Εἶδον, κ.λ.π.
182. ῎Ιδε, ὅτι, κ.λ.π.
183. 'Αρχή, κ.λ.π.
184. ῎Αρχοντες, κ.λ.π.
185. Καὶ ἀπὸ τῶν λόγων, κ.λ.π.
186. 'Αγαλλιάσομαι, κ.λ.π.
187. 'Αδικίαν, κ.λ.π.
188. 'Επτάκις, κ.λ.π.
189. Εἰρήνη, κ.λ.π.

192. 'Εφύλαξα, κ.λ.π.
193. 'Εγγισάτω, κ.λ.π.
194. Κατὰ τὸ λόγιόν σου, κ.λ.π.
195. Εἰσέλθοι, κ.λ.π.
196. 'Εξερεύξονται, κ.λ.π.
197. Φθέγξαιτο, κ.λ.π.
198. Γενέσθω, κ.λ.π.
200. Ζήσεται, κ.λ.π.
201. 'Επλανήθην, κ.λ.π.

'Αθανασίου 'Ερμηνεία.

'Η προκειμένη ἐπιγραφὴ ἡ διὰ τῆς κινναβάρεως περιέχει, κ.λ.π. 'Ερμηνεύεται διαφόρως καὶ πολυτρόπως εἰς, κ.λ.π. ἡμᾶς προτρεπόμενον.

1. Μακάριοι οἱ κατὰ τὸν 'Ιώβ. Τὸ «"Αλεφ», τὸ διὰ τῆς κινναβάρεως παρακείμενον, ἑρμηνεύεται «ἀρχὴ στόματος», τουτέστιν ὁ δυνάμενος «μὴ πταίειν ἐν λόγῳ, οὗτος τέλειος ἀνήρ.[1]»
2. Οἱ ἀπεχόμενοι, κ.λ.π.
3. Μακάριοι, κ.λ.π.
4. Θερμοί, κ.λ.π., τὸ πῶς, κ.λ.π., ἔνοικον ἐν αὐτοῖς.
5. Οἱ γὰρ λεγόμενοι, κ.λ.π., τοῖς προστάγμασιν αὐτοῦ οὐ πείθονται.
6. Σύ εἶπας, κ.λ.π., τὰ ἔργα Κυρίου ἀμελῶς.
7. Δώῃ, κ.λ.π.
8. 'Εν τῇ ἡμέρᾳ τῆς κρίσεώς σου μή, κ.λ.π.
9. 'Εκδῶ, κ.λ.π.
10. 'Εν τῷ ἀκοῦσαί με, κ.λ.π.
11. Τὰ δικαιώματά σου, κ.λ.π.
12. Πῶς τῶν νεωτερικῶν ἐπιθυμιῶν ἐπιλάθεταί τις; Τὸ διὰ τῆς κινναβάρεως παρακείμενον ὄνομα, τὸ «Βήθ», ἑρμηνεύεται «οἶκος.» Δηλοῖ δέ, ὅτι οὕτω κατορθοῖ νεώτερος τὴν ὁδὸν αὐτοῦ ἐν τῷ εἶναι τὴν ψυχὴν καὶ τὰ μέλη αὐτοῦ οἶκον Θεοῦ.
13. 'Εν τῷ, κ.λ.π., «τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.[2]»
14. 'Εξ ὅλης, κ.λ.π., ἡγήσῃ
17. Οὐχ ὑπεστειλάμην τοῦ διδάξαι, κ.λ.π.
18. Οὕτως χαρᾶς, κ.λ.π.
19. 'Εν ταῖς Γραφαῖς σου, τῆς καρδίας μου, κ.λ.π.
20. Νυκτὸς καὶ ἡμέρας, κ.λ.π.
21. Καὶ πληρώσω αὐτοὺς ἔργῳ, κ.λ.π.
22. Δός, κ.λ.π. τοῦ ἁγίου σου, κ.λ.π.

---

1. 'Ιάκ. 3, 2. 2. Ματθ. 25, 41.

23. Διαχώρισον τὸ σκότος σου, κ.λ.π.
24. Οὐκ ἔχω, κ.λ.π.
25. Μὴ ἀνάξιον ἡγήσῃ με τοῦ γνῶναί με τό, κ.λ.π.
26. Ἐπιποθεῖ, κ.λ.π., καὶ οὐ κορέννυται τά, κ.λ.π.
27. Τῷ διαβόλῳ, κ.λ.π.
28. Ἐπὶ ἀπωλείᾳ, κ.λ.π., πονηρὰς ἀναστροφὰς πορευόμενοι.
29. Ἄφελε, κ.λ.π., μεμαρτύρησαι ἕκαστον τῶν, κ.λ.π.
30. Καὶ γάρ, κ.λ.π., ἐπεσκεπτόμην, κ.λ.π.
31. Καὶ γὰρ μελετῶν, κ.λ.π.
32. Ἐταπεινώθην, κ.λ.π.
33. Ἐξωμολογησάμην σοι, κ.λ.π., καὶ εὐθέως ἠθελήσάς με, κ.λ.π.
34. Τὸν φωτισμόν, κ.λ.π., καὶ ἀπὸ τῆς τέρψεως οὐ παύσομαι μελετῶν ἐν τῇ, κ.λ.π.
35. Βεβύθισται, κ.λ.π.
36. Ἀπέλασον, κ.λ.π.
37. Ἐπεπόθησά σε τόν, κ.λ.π. Μνημονεύω γὰρ τό, κ.λ.π.
42. Ἐπειδὴ νήπιος, βαδίσαι, κ.λ.π., ζητήσω δὲ τήν, κ.λ.π., μὲ περιπατεῖν.
43. Ὑπόταξον, κ.λ.π., καὶ μή, εἰς τήν, κ.λ.π., ἵνα εἰμί, κ.λ.π.
44. Φώτισον κ.λ.π., προσχεῖν με εἰς, κ.λ.π.
45. Ἐν τῷ Υἱῷ σου ζῆσόν με.
47. Ἄφελε, κ.λ.π., τὴν αἰσχύνην, καὶ δός μοι παρρησίαν σχεῖν ἐπὶ τοῦ, κ.λ.π.
49. Καὶ ἔλθοι, κ.λ.π., ζωοποιοῦν με καθὼς ἐπηγγείλω μοι.
50. Καὶ δός μοι, κ.λ.π.
51. Ὅτι ἐπεπόθησα ἐπί, κ.λ.π.
52. Καὶ μή, προστάγματί σου ἐκκέχυμαι.
53. Καὶ ποιήσω, κ.λ.π., τὸν νόμον κ.λ.π., ἔχων, καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι.
54. Καὶ ἠγαλλιάσατο, κ.λ.π., ὅτι μεριμνῶ τοῦ, κ.λ.π.
56. Καί, ἐπέλυον ἐν ἑαυτῷ τάς, κ.λ.π., ἐκκέχυμαι πόθῳ ἐν αὐταῖς.
57. Καὶ ἀνέτεινον, κ.λ.π., ὧν ἠγάπησα.
58. Καὶ ἐπέμενον, κ.λ.π.
59. Μνήσθητι, ὅτι ἐπηγγείλω μοι, κ.λ.π., ἐὰν ἐπιστρέψω ἐν, κ.λ.π.
60. Αὕτη, κ.λ.π.
61. Ὅτι ἧς εἰρηκώς, κ.λ.π., τὸ ἐπιστρέψαι, καί, κ.λ.π.
62. Οἱ ἐξουδενοῦντες, κ.λ.π.
63. Μόνον, κ.λ.π.
64. Πολλή, κ.λ.π., ὅταν ἐθεώρουν τούς, κ.λ.π., τοῦ νόμου σου.
65. Ἀεί, κ.λ.π., ἐν παντὶ τόπῳ, κ.λ.π.
66. Ἁμαρτίας, κ.λ.π. Τοῦτο γὰρ ἐνετείλω μοι.
69. Ἐδεήθην ἐλθεῖν ἐν ὅλῃ, κ.λ.π., καὶ ἀπόστειλον τὴν βοήθειάν σου, καθὼς εἶπας· Αἰτεῖτε, κ.λ.π.

72. Λογισμοί, κ.λ.π., εἰς ἐπιθυμίαν, κ.λ.π.

73. Ἐμνημόνευον γάρ, κ.λ.π., ἐν τῷ κατακλυσμῷ, κ.λ.π., ἐκεραυνοβολήθησαν.

74. Ὅταν, κ.λ.π., παριστάμην λατρεύων σοι, κ.λ.π.

76. Οὐκ ἔστιν, κ.λ.π., κἀμὲ ἐλέησον, καὶ δίδαξόν με, κ.λ.π.

81. Πλῆθος, κ.λ.π., εἰς αὐτὰς τήν, κ.λ.π. ἔσχον εἰς τάς, κ.λ.π.

82. Ἐσκλήρυνται αἱ καρδίαι αὐτῶν κατ' ἐμοῦ. Ἐγὼ δέ, κ.λ.π., εἰς τὸν νόμον σου ἔχω.

85. Σὺ ἐν ἀρχῇ ἔπλασάς με κατ', κ.λ.π.

86. Καὶ νῦν, κ.λ.π., ἀνακαίνισον αὐτήν, ὡς σὴν οὖσαν, κ.λ.π., τὰς ἐντολάς σου ἔχειν ἐν ἑαυτῇ, κ.λ.π.

87. Οἱ ἅγιοί σου, κ.λ.π., ὁρῶντές με, κ.λ.π.

88. Φωτισθείς, κ.λ.π.

89. Καὶ ἅπερ, κ.λ.π.

90. Ἀλλὰ πάλιν γένοιτο τό, κ.λ.π.

91. Ἐπισκηνώσει, κ.λ.π., ζωοποίησον, ὅτι, κ.λ.π.

93. Κατηχήσουσι, κ.λ.π., καὶ ἰδόντες τῶν ἁγίων Γραφῶν, κ.λ.π.

94. Καταρτισθήτω, κ.λ.π.

95. Διψᾷ, κ.λ.π.

96. Ἐξετάκη ὁ λόγος, κ.λ.π. Ἐξετάκην ὅλος.

97. Ὅτι, κ.λ.π.

98. Οἶδα, καὶ μνημονεύω, κ.λ.π., τῶν ἁμαρτωλῶν ἀντιλαμβάνεσθαι.

99. Πόσας, κ.λ.π., δώσεις μοι, κ.λ.π., μοῦ κατεδυνάστευσαν;

100. Ὑπέθεντό μοι τό, κ.λ.π., ἀλλ' οὐχ οὕτως, οὐ θέλεις, Κύριε.

101. Οἶδα, ὅτι δικαιοκρίτης εἶ εἰς πάντα.

102. Φεύγοντός μου, κ.λ.π.

103. Οὕτως, κ.λ.π., ἐπέβησάν μοι, ἐν τῇ ἁμαρτίᾳ μου, κ.λ.π., ἐγώ, κ.λ.π.

104. Καθώς, κ.λ.π., τὰ προστάγματά σου, κ.λ.π.

105. Εἰς τὴν καρδίαν, ἐν ᾗ οἰκεῖς, καὶ ἐμπεριπατεῖς, κ.λ.π.

106. Εἰς τοὺς ἁγίους σου τοὺς καθ' ἑκάστην γενεάν, κ.λ.π.

107. Ἐθεμελίωσας πάντα τὸν κόσμον, κ.λ.π.

110. Οὐκ ἄν, ἐζωοποίησας, κ.λ.π.

112. Ἐμέ, κ.λ.π., παρὰ σοῦ περὶ τῆς σῆς ἐλπίδος ἀκούσας ἐπίστευσα.

113. Πάσης, κ.λ.π., εἶδον πέρας.

114. Οἱ δέ, κ.λ.π.

115. Ὡς μόνον, ἀγαπᾶν τὸ ὄνομά σου.

116. Ἀδιαλείπτως, κ.λ.π., καὶ προκόπτω ἐν αὐτῷ.

117. Ταῖς γάρ, κ.λ.π., τὴν χάριν ταύτην.

118. Ὑπέρ, κ.λ.π.

119. Ὑπὲρ τοὺς πρό, κ.λ.π.

120. 'Από πάσης, κ.λ.π.

121. 'Εν τοῖς, κ.λ.π., πλάγιος οὐκ ἐπορεύθην, ὅτι σὺ τῇ χάριτί σου, κ.λ.π.

122. Τὸν μὲν πρῶτον τὸ ἰδικόν, κ.λ.π., ἐστί μοι τὰ δικαιώματά σου· καὶ μετὰ τὸ παραλαβεῖν αὐτό, κ.λ.π., αὐτοῦ δέεται, κ.λ.π. Τοῦτο δηλοῖ, ὅτι ὑπὲρ πᾶσαν, κ.λ.π.

123. 'Από τῶν, κ.λ.π., συνετίσθην.

124. "Οταν, κ.λ.π. φαίνει μοι ὁ νόμος σου τῷ μὴ προσκόψαντί μοι [προσκόψαι με] τῇ ἁμαρτίᾳ μου πεσεῖν ἢ πληγῆναί τι τῆς, κ.λ.π.

125. 'Ο ὅρκος, κ.λ.π.

126. Κυριευθείς, κ.λ.π., ἐνώπιόν σου· καὶ ζῆσόν με, καθὼς εἴρηκας· ὅ, κ.λ.π.

127. Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου.

128. Καὶ τὰ ἄδηλα, κ.λ.π.

129. Σὺ ἐξέδωκας, κ.λ.π.

130. Οἱ δαίμονες ἐπέβαλόν μοι, κ.λ.π.

131. Κατετρύφησα ἐν, κ.λ.π., ἔστιν ἐν τῇ, κ.λ.π.

132. 'Εξέδωκα, κ.λ.π., εὐαρεστῆσαί σοι διά, κ.λ.π.

133. Τούς, κ.λ.π., περιεπτυσσόμην ἐν, κ.λ.π.

134. Σύ, κ.λ.π., τοῖς εἰρημένοις μοι, κ.λ.π.

135. 'Αναχωρήσατε, κ.λ.π., τὸ πῶς, κ.λ.π.

136. 'Ρῦσαί με, κ.λ.π.

137. Κύκλωσόν, κ.λ.π., οὐδέν μοι ἄλλη ἔσται, κ.λ.π.

138. "Οτι οἱ μὲν οὐκ ἐπίστευσαν, κ.λ.π.

139. 'Ελογισάμην, κ.λ.π., οἱ τῆς ἀσελγείας κεκολλημένοι, κ.λ.π., ἐστίν, κ.λ.π.

140. Πεπηγέναι, κ.λ.π.

141. 'Επίστευσα εἰς σὲ καθώς, κ.λ.π.

142. Μακροθύμησον, κ.λ.π., κατηγορῆσαί μου πρὸς σέ.

143. "Ολος ὁ πόθος μοί ἐστι τὸ δέξασθαί με τήν, κ.λ.π.

144. Ποίησον μετ' ἐμοῦ, κλ.π., τοῦ ἐλέους σου, κ.λ.π., τὰ δικαιώματά σου, κ.λ.π.

145. 'Εξηγόρασας, κ.λ.π., τιμίῳ σου, τὴν χάριν σου, κ.λ.π., τὸ πῶς, κ.λ.π.

146. Νῦν ἐστιν, κ.λ.π.

147. Διὰ τοῦτο, κ.λ.π., 'Επειδὴ οὖν οὗτος ὁ πλοῦτος πρόσκαιρος, ὁ δὲ διὰ τῶν ἐντολῶν σου πλοῦτος αἰώνιος ὑπάρχει, διὰ τοῦτο μᾶλλον, κ.λ.π.

148. Διὰ τοῦτο, κ.λ.π., ἀπέβλεπον.

149. Πάσης ἐκπλήξεως μεστά εἰσι, κ.λ.π., τῷ δυναμένῳ, κ.λ.π., Διὰ τοῦτο οὖν, κ.λ.π., τῶν Γραφῶν.

150. 'Η ἑρμηνεία περὶ τὸ νοῆσαι.

151. Διψῶν, κ.λ.π., ἐπειδὴ ἐπεθύμουν ἐπιγνῶναι τὴν ἑρμηνείαν τῶν Γραφῶν σου.
152. Καθὼς ἐφόρεσας τούς, κ.λ.π., καὶ ἐλέησόν με.
153. Τὴν προθυμίαν, κ.λ.π.
154. Λύτρωσαί με ἀπὸ πάσης συκοφαντίας καὶ ἀφορμῆς, κ.λ.π.
159. Ἐμαράνθην, κ.λ.π., λαλοῦντας περί, κ.λ.π.
160. Ἐπειδή, κ.λ.π., ὑπάρχεις, κ.λ.π., καλάμην, τουτέστιν αἱ πράξεις αἱ πονηραί.
161. Ὁ δὲ δοῦλός σου, κ.λ.π., τὰς ἐν ἑαυτῷ ἀκάνθας τοῦ βίου.
162. Ἐγὼ νῦν, κ.λ.π., καὶ πάντες εἰς ὄνειδός με, κ.λ.π.
164. Ἔνδεια, κ.λ.π., ὅτιπερ εἶπες· Μακάριος, κ.λ.π., ὅταν διώξωσιν ὑμᾶς καὶ ὀνειδίσωσιν ὑμᾶς.
165. Δικαιοσύνη, κ.λ.π., καὶ εἰς τὸν αἰῶνα μέλλοντα συνετισόν με, κ.λ.π.
166. Κύριε, κ.λ.π.
167. Ἐπιβλέψω, κ.λ.π., καὶ ἐπιγνῶ τί, κ.λ.π.
168. Ἐν ὀδύνῃ, κ.λ.π., βοῶ πρὸς σέ, κ.λ.π.
169. Ὡς ἑώρακα, κ.λ.π., ἐξομολογοῦμαί σοι, κ.λ.π.
170. Ἤλπισα, κ.λ.π.
171. Ἀνένηψαν οἱ, κ.λ.π., τοῦ ἡδέως, κ.λ.π.
172. Καθώς, κ.λ.π., καὶ καθὼς θέλεις, ζῆσόν με.
173. Προσέφερόν μοι αἱ, κ.λ.π., ὡς δὲ εἶδον ἐν ἐμοί, κ.λ.π.
177. Ὡς δικαιοκρίτης, ὑπάρχων, κ.λ.π., λύτρωσαί με, καὶ διὰ λόγον σου συνέτισόν με, ὅτι εἶπας· «Οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ.»
178. Τεθανατωμένοι, κ.λ.π.
179. Οἶδα, κ.λ.π.
180. Ἐμεμνήμην, κ.λ.π.
181. Προσεῖχον, κ.λ.π., καὶ ἐτηκόμην, κ.λ.π.
182. Οἶδας, ὅτι, κ.λ.π., καὶ βοηθῶν μος, κ.λ.π.
183. Ἀρχή, κ.λ.π., πιστεύειν σοι, ἀποδώσεις, κ.λ.π.
184. Αἱ ἐναντίαι, κ.λ.π.
185. Καὶ ὑπομνησθείς, κ.λ.π.
186. Οὕτως χαίρω ἐγώ, κ.λ.π.
187. Πᾶσαν, κ.λ.π., χαρά μοί ἐστιν.
188. Τὸ μὲν πρῶτον, κ.λ.π., ᾔνεσά σε, ἐπιτελῶν διὰ ἔργων ἀγαθῶν τήν, κ.λ.π.
189. Οἱ πόθον, κ.λ.π., ἣν ἠγάπησαν βοηθοῦσαν, καὶ διδάσκουσαν αὐτούς.
192. Ἐφύλαξα ἐν αὐτῷ ἅπερ προσέταξάς μοι, καὶ διεμαρτύρω μοι, ὅτι πάντα ἐφορᾷς ἅπερ ἐπιτελῶ ἔργῳ καὶ λόγῳ.
193. Οὕτως, κ.λ.π., γενοῦ, ἵνα οὕτως ἐπισίσῃς μοι [ἐγγίσῃς μου].
194. Καὶ καθώς, κ.λ.π.
195. Ἄνοιξον, κ.λ.π., ἐπικάλεσαί με, κ.λ.π.

197. Λαλήσω, ἐνετείλω ἡμῖν.
198. Εὐτρέπισον, κ.λ.π., τοῦ φυλάττειν, κ.λ.π.
200. Ζωοποίησον, κ.λ.π., καὶ αἴνεσαι δι' αὐτῆς γένονται, κ.λ.π.
201. Ἐπλανήθην, κ.λ.π., εἰμὶ νῦν. Θέλησον οὖν, κ.λ.π., ἀναβοῶ ἐπιζητῶν σε, κ.λ.π.

«Ὠδὴ τῶν Ἀναβαθμῶν.» ΨΑΛΜ. ΡΙΘ΄.

1. Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐξέκραξα, καὶ εἰσήκουσέ μου·
2. Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων,
3. Καὶ ἀπὸ γλώσσης δολίας.
4. Τί δοθείη σοι καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν;
5. Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα
6. Σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς.
7. Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη,
8. Κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ·
9. Πολλὰ παρῴκησεν ἡ ψυχή μου.
10. Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός·
11. Ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ὠδὴ τῶν Ἀναβαθμῶν», ὅπερ ἑρμηνεύεται «ἐξομολόγησις τῶν ἐρχομένων ἀπὸ τῶν ἁμαρτιῶν», ἀνιέναι εἰς τὴν τοῦ Κυρίου πίστιν, καὶ τὰς τούτου ἐντολάς. Ἀναβαθμοὶ οὖν διὰ τοῦτο εἴρηται, ὅτι, ὥσπερ ὑδάτων, οὕτως ἀπὸ τῆς εἰδωλολατρείας καὶ τῶν ἔργων ταύτης ἄρχονται οἱ ἐπιστρέφοντες ἀπὸ τοῦ πρώτου ψαλμοῦ τῶν Ἀναβαθμῶν ἐξομολογεῖσθαι καὶ καθεξῆς καθ' ἕκαστον βαθμὸν ἀνίεντο [ἀνιόντες] ὑψηλοτέρους δείκνυσθαι τούτοις· τελειοτέρους δὲ καὶ τελειοτέρας ἐξομολογήσεις καὶ εὐχαριστίας ἀναπέμπειν.

1. Ἐν τῷ εἶναί με δεδουλωμένον τῇ ἁμαρτίᾳ πρὸς Κύριον ἀνεβόησα μετὰ δακρύων, καὶ εἰσήκουσέ μου.

2, 3. Κύριε, δεόμενός σου, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ τῶν ἐναντίων δυνάμεων καὶ τοῦ διαβόλου.

4. Ὁ δὲ Θεός, ἀκούσας αὐτοῦ, λέγει πρὸς αὐτόν· Τί σοι δωρήσομαι καὶ μετὰ ποίας βοηθείας πρὸς τὸ ῥυσθῆναί σε ἀπὸ τῆς εἰδωλολατρείας;

5, 6. Ἀποστελῶ σοι τοὺς ἀποστόλους τῷ Υἱῷ μου μετὰ τῶν λόγων αὐτοῦ τῶν ἐρημούντων τὴν εἰδωλολατρείαν καὶ πᾶσαν δύναμιν τοῦ ἐχθροῦ.

7. Ἐξομολογεῖται λοιπὸν οὗτος λέγων· Οὐαί μοι, ὅτι πάντα τὸν βίον μου ἀνήλωσα ζῶν ἀσώτως.

8. Καὶ διέμενον κωφὸς καὶ σεβόμενος τὰ εἴδωλα τῶν τοῦ σκότους δυνάμεων· ἑρμηνεύεται γὰρ «Κηδὰρ σκότος.»

9. Ἀπονηπιόθεν [ἀπενοήθην] τὴν ἐλπίδα μου πᾶσιν ἐν ἑαυτοῖς εἶχον.

10. Φίλος ἤμην τῶν τοῦ διαβόλου δυνάμεων τῶν ἐχθρῶν τῆς εἰρήνης.

11. Ὅταν ἐλάτρευον αὐτοῖς, κατεδυνάστευόν μου αἰχμαλωτίζοντες εἰς ἐπιθυμίας ἀνωφελεῖς καὶ ματαίας.

«Ὠδὴ τῶν Ἀναβαθμῶν.» ΨΑΛΜ. ΡΚ'.

1. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.
2 Ἡ βοήθειά μου παρὰ Κυρίου,
3. Τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.
4. Μὴ δώης εἰς σάλον τὸν πόδα σου,
5. Μηδὲ νυστάξῃ ὁ φυλάσσων σε.
6. Ἰδοὺ οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ.
7. Κύριος φυλάξοι σε.
8. Κύριος σκέπη σοι [σου] ἐπὶ χεῖρα δεξιάν σου.
9. Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε·
10. Οὐδὲ ἡ σελήνη τὴν νύκτα.
11. Κύριος φυλάξοι σε ἀπὸ παντὸς κακοῦ·
12. Φυλάξοι τὴν ψυχήν σου ὁ Κύριος.
13. Κύριος φυλάξοι τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου.
14. Ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ὠδὴ τῶν Ἀναβαθμῶν·» ἐξομολόγησις τῶν ἀνιέντων ἀπὸ τοῦ πρώτου βαθμοῦ ἐπὶ τὸν δεύτερον, τουτέστιν ἀπὸ τῆς ἐξομολογήσεως τῶν ἁμαρτιῶν ἅμα νήφειν τῇ διανοίᾳ, καὶ τὴν βοήθειαν αὐτοῦ ἐπιγινώσκειν, ὅτιπερ παρὰ Θεοῦ ἐστιν.

1. Ἀνέτεινα τοὺς ὀφθαλμοὺς τῆς διανοίας μου ἀκοῦσαι παρὰ τῶν ἁγίων Γραφῶν, πόθεν ἐλεύσεται ἡ βοήθειά μου.

2, 3. Καὶ ἤκουσα ἐν αὐταῖς, ὅτι ἡ βοήθειά μου παρὰ Κυρίου ἔσεται τοῦ δημιουργοῦ πάντων τῶν ὁρατῶν καὶ τῶν ἀοράτων.

4. Παραγγελεῖ αὐτῷ λοιπὸν ὁ Θεός· Μηκέτι εἰς τὸν ὄλισθον τῶν προτέρων ἁμαρτημάτων περιπάτει [περιπατεῖν]. «Σάλος» γὰρ «πειρασμὸς» ἑρμηνεύεται.

5. Μηδὲ δὲ ὑπνώσῃ ὁ νοῦς σου τοῦ λοιποῦ εἰς τὴν ἁμαρτίαν, ἀλλὰ γρηγορείτω, καὶ προσευχέσθω τοῦ μὴ ἐμπεσεῖν εἰς πειρασμόν.

6. Ἰδοὺ [οὐδὲ] στιγμήν, οὐδὲ χρόνον παραλείπει ὁ Θεὸς ἐφορῶν καὶ φυλάσσων τὸν νοῦν τὸν ὁρῶντα αὐτόν. «Ἰσραήλ» γὰρ ἑρμηνεύεται «ὁρῶν Θεόν».

7, 8. Κύριος ἐκ δεξιῶν σού ἐστιν φυλάσσων καὶ σκέπων εἰς τὰ ἔργα δικαιοσύνης.

9. Ἐν τῷ φωτὶ ὢν [ὄντα] πᾶσα θέρμη πειρασμοῦ οὐ ξηρανεῖ σε· ἔχεις γὰρ ἐν ἑαυτοῖς τὴν πηγὴν τῆς ζωῆς.

10. Οὐδὲ ἡ ἀπάτη τοῦ βίου τούτου ἐν τῷ σκότει κυριεύσει σου.

11, 12. Ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ὁ Κύριος οὐ συγκαύσει σε· οὐ γὰρ μέλλεις ἔχειν τοιαῦτα ἔργα, μεθ' ὧν ὀφείλεις τῷ πυρὶ παραδοθῆναι, οὐδὲ ἡ πρόσκαιρος δόξα τῶν ἀρχόντων τοῦ κόσμου τούτου ἡ κατ' ὀλίγον φθίνουσα, ὥσπερ ἡ σελήνη, καταδυναστεύσει σου.

13. Ὁ Κύριος φυλάξοι τὴν ἀκοήν σου τοῦ μὴ ὑπακοῦσαι τῇ ἁμαρτίᾳ καὶ τὴν καρδίαν τοῦ μὴ ἐξαγαγεῖν πονηρὰς καὶ ἐπιθυμίας βλαβεράς.

14. Ἀπὸ τοῦ νῦν καὶ ἕως τῆς συντελείας.

«Ὠδὴ τῶν Ἀναβαθμῶν.» ΨΑΛΜ. ΡΚΑ'.

1. Εὐφράνθην ἐπὶ τοῖς εἰρήκόσι μοι·
2. Εἰς οἶκον Κυρίου πορευσόμεθα.
3. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ.
4. Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις
5. Ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό.
6. Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί.
7. Φυλαὶ Κυρίου, μαρτύριον τοῦ Ἰσραήλ.
8. Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου [ὀνόματί σου, Κύριε].
9. Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν,
10. Θρόνοι ἐπὶ οἶκον Δαυίδ.
11. Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ,
12. Καὶ εὐθήνια τοῖς ἀγαπῶσί σε.
13. Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου,
14. Καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου.
15. Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου,
16. Ἐλάλουν δὴ εἰρήνη [εἰρήνην] περὶ σοῦ.
17. Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐξεζήτησα ἀγαθά σοι.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ὠδὴ τῶν Ἀναβαθμῶν», ὅπερ ἑρμηνεύεται ἐξομολόγησις τῶν ἀπὸ τοῦ πρώτου βαθμοῦ τῆς

καθ' ἑαυτὸν ἐξομολογήσεως καὶ τοῦ δευτέρου βαθμοῦ τῆς κατηχήσεως ἀνιέντων ἐπὶ τὸν τρίτον βαθμὸν τοῦ σπουδάζειν λοιπὸν ἐλθεῖν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ καὶ τοῖς ἱερεῦσι τοῦ Θεοῦ ἐξομολογεῖσθαι καὶ παρ' αὐτῶν ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ θέλοντες φωτισθῆναι.

1, 2. Ἐπληρώθην χαρᾶς ἀκούσας παρὰ τῶν συμβουλευόντων μοι· Εἰς τὴν Ἐκκλησίαν Θεοῦ ἀπέλθοιμεν.

3. Εἶτα εἰσελθὼν ἀποκρίνεται πρὸς αὐτὸν [ἑαυτόν]. Ἐπέβησαν οἱ πόδες μου ἐν ταῖς αὐλαῖς σου, ἔνθα τὸ Πνεῦμα τῆς χάριτος τοῦ Κυρίου ἐστί· τοῦτο γὰρ ἑρμηνεύεται «Ἱερουσαλήμ, Πνεῦμα αὐτοῦ χάριτος.»

4. Ἡ Ἐκκλησία τοῦ Θεοῦ οἰκοδομουμένη καὶ τειχιζομένη ὑπὸ τῆς χάριτος τοῦ Θεοῦ· «Πύλαι γὰρ ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.[1]»

5. Τῆς χάριτος οἱ ἅγιοί σου μετέχουσιν, ἧς καὶ αὐτός.

6, 7. Ἐν αὐτῇ γὰρ ἀνέβησαν οἱ ἀπόστολοι, οἱ ἀπόστολοι Κυρίου οἱ μάρτυρες, οἱ ἑωρακότες τὸν Θεόν· «Ἰσραὴλ» γὰρ ἑρμηνεύεται, ὡς προεῖπον, «ὁρῶν Θεόν.»

8. Τοῦ κηρύξαι ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου ἄφεσιν ἁμαρτιῶν.

9. Ὅτι ἐν τῇ Ἐκκλησίᾳ ἐκάθισαν οἱ ἀπόστολοι σὺν ἐπισκόποις καὶ πρεσβυτέροις.

10. Καθὼς εἴπαμεν, οἱ ἀπόστολοι ἐν τῇ Ἐκκλησίᾳ τοῦ «ἱκανοῦ τῇ χειρί·» τοῦτο γὰρ ἑρμηνεύεται «Δαυὶδ ἱκανὸς χειρί», ὅπερ ἐστὶν οἱ Υἱοὶ τοῦ Θεοῦ.

11. Λοιπὸν οἱ ἐλθόντες ἐπὶ τὸ φωτισθῆναι δέονται λέγοντες τοῖς ἀποστόλοις· Παρακαλέσατε ἱκανῶς καταλλαγῆναι ἡμῖν τὸν Θεόν, ἵνα καὶ ἡμεῖς δεξώμεθα τὴν χάριν αὐτοῦ· ὡς γὰρ προείπαμεν, «Ἱερουσαλὴμ» ἑρμηνεύεται «Πνεῦμα αὐτοῦ χάριτος.»

12. Καὶ εὐθηνήσει ἡ καρδία αὐτῶν ἐν ταῖς ἐντολαῖς τῶν ἁγίων.

13-15. Ὁ χορὸς τῶν ἀποστόλων λέγει πρὸς τὸν Θεόν· Ἕνεκεν τῆς σωτηρίας ἡμῶν ἀδελφῶν ἡγουμένων καὶ τῶν πλησίον ἡμῶν γενομένων διὰ τῆς πίστεως.

16. Ἐλαλήσαμεν αὐτοῖς τὸν λόγον σου καὶ τὴν εἰς σὲ ἐλπίδα.

17. Ἕνεκα τοῦ καταρτισμοῦ τῶν ἁγίων ἤτησα [ἠτήσαμεν] χαρίσματα τοῦ Πνεύματός σου ἁγίου.

«Ὠδὴ τῶν Ἀναβαθμῶν.» ΨΑΛΜ. ΡΚΒ'.

1. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου,
2. Τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ.
3. Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν·
4. Ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς·

---

1. Ματθ. 16, 18.

5. Οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν,
6. Ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς.
7. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς·
8. Ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως.
9. Ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν.
10. Τὸ ὄνειδος τοῖς εὐθηνοῦσι,
11. Καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ὠδὴ τῶν Ἀναβαθμῶν», ὅπερ ἑρμηνεύεται ἐξομολόγησις τῶν ἀναβαινόντων ἀπὸ τοῦ τρίτου βαθμοῦ τῆς θεοσεβείας ἐπὶ τὸν τέταρτον εἰς σύνεσιν ἐρχομένων καὶ γινωσκόντων ἑαυτοὺς ἐπὶ ταῖς ἁμαρτίαις, ταπεινουμένων ἐνώπιον τοῦ Θεοῦ καὶ δεομένων αὐτοῦ, ὥστε ἐλεηθῆναι.

1, 2. Οὐκ ἔτι τὴν ἐλπίδα μου ἔχω ἐπὶ τῇ ματαιότητι τῶν εἰδώλων· ἀνένευσα γὰρ τοὺς ὀφθαλμοὺς τῆς διανοίας μου πρὸς σὲ τὸν ἐν οὐρανῷ κατοικοῦντα.

3. Ὥσπερ ἕκαστος τῶν δούλων ἀφορᾷ καὶ τὸ ζῆν καὶ τὸ θανεῖν αὐτὸν ἐν τῷ Δεσπότῃ αὐτοῦ, οὕτω καὶ ἡμεῖς ἐνώπιόν σου παριστάμεθα ἴο [οἷον] βούλημα σόν ἐστι ποιῆσαι εἰς ἡμᾶς· ἀπολογίαν γὰρ οὐκ ἔχομεν ἐνώπιόν σου.

4. Καὶ ὡς ἑκάστη παιδίσκη, ἡμαρτηκυῖα, μετὰ φόβου καὶ τρόμου παρίσταται τῇ κυρίᾳ αὐτῆς ἐκδεχομένη ἢ θανατῶσαι, ἢ χαρίσεται [χαρίσασθαι] αὐτῇ τὸ ζῆν·

5, 6. Οὕτω καὶ ἡμεῖς ἀπεκδεχόμεθα νῦν ἢ τὴν ζωὴν δοθῆναι ἡμῖν παρὰ Θεοῦ, ἢ τὴν δικαίαν ἀνταπόδοσιν τῶν ἁμαρτιῶν ἡμῶν.

7. Δεόμεθά σου, Κύριε, ἐλέησον ἡμᾶς.

8. Πεπληρωμένοι γάρ ἐσμεν πάσης ἀνομίας καὶ ἁμαρτίας.

9. Ἀνήκαστόν [Ἀνήκεστόν] ἐστι τὸ πλῆθος τῶν ἁμαρτιῶν ἡμῶν.

10, 11. Ὁ δὲ Κύριος πρὸς αὐτούς· Μὴ φοβεῖσθε, ἀνθ' ὧν ἐπεστρέψατε πρός με· οἱ ἀνομίαι ὑμῶν ἐπὶ τὰς ἐναντίας δυνάμεις καὶ τὸ κατάκριμα ὑμῶν ἐπὶ τὰς τοῦ διαβόλου ἀρχὰς καὶ ἐξουσίας.

«Ὠδὴ τῶν Ἀναβαθμῶν.» ΨΑΛΜ. ΡΚΓ'.

1. Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν,
2. Εἰπάτω δὴ Ἰσραήλ·
3. Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν,
4. Ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς
5. Ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς.
6. Ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτοῦ ἐφ' ἡμᾶς,

7. Ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς.
8. Χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν·
9. Ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον.
10. Εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν.
11. Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη
12. Ἐκ τῆς παγίδος τῶν θηρευόντων.
13. Ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν.
14. Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου.
15. Τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ὠδὴ τῶν Ἀναβαθμῶν», ὅπερ ἑρμηνεύεται ἐξομολόγησις τῶν ἀναβαινόντων ἀπὸ τετάρτου βαθμοῦ τῆς θεοσεβείας ἐπὶ τὸν πέμπτον· τουτέστι μετὰ τὴν ἐξομολόγησιν φωτισθέντες καὶ μεμνημένοι πῶς ἐκυριεύοντο ὑπὸ τῶν ἐναντίων δυνάμεων τὸ πρότερον· καὶ ὅτι μὴ ὁ Θεὸς διὰ τοῦ βαπτίσματος ἐρρύσατο αὐτοὺς ἐξ αὐτῶν, ἤμελλον ἀποθνήσκειν ἐν τῇ ἁμαρτίᾳ αὐτῶν.

1. Εἰ μὴ Ἰησοῦς ὁ Υἱὸς τοῦ Θεοῦ ὁ Κύριος ἡμῶν ἦλθε καὶ ὤφθη ἐπὶ τῆς γῆς καὶ τοῖς ἀνθρώποις συνανεστράφη.

2. Εἰπάτω δὴ ὁ λαὸς ὁ φωτισθεὶς τὴν διάνοιαν.

3. Ὅτι εἰ μὴ αὐτὸς ὁ Κύριος παρεγένετο.

4. Ἐν τῷ τὰς ἐναντίας δυνάμεις ἐπέρχεσθαι καθ' ἡμῶν.

5. Παντὶ τρόπῳ, ὡς ἔτι ἦμεν ἐπὶ τῆς γῆς, ζῶντες ἂν ἐθανατώθημεν.

6. Ἐν τῷ τὰς ἀρχὰς καὶ ἐξουσίας καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους βρύχειν ἐφ' ὑμᾶς.

7. Πάντως ἡ ὁρμὴ τῆς δυναστείας αὐτῶν κατήγαγεν ἂν ἡμᾶς εἰς τὰ κατώτατα τῆς ἀβύσσου.

8. Τὰς ὁρμὰς τῆς ἡδονῆς καὶ τῶν ἐπιθυμιῶν τοῦ διαβόλου, δι' ὧν κατασύρει πάντας.

9. Ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὴν τυραννίδα τοῦ διαβόλου τὴν ἀκράτητον.

10. Εὐλογητὸς Κύριος, ὃς οὐ συνεχώρησεν ἕως τέλους ἀπολέσαι ἡμᾶς ὑπὸ τῶν διδασκομένων αὐτῶν.

11, 12. Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν ἐναντίων δυνάμεων· θηρευθεὶς γὰρ ὑπάρχει ὑπ' αὐτῶν διὰ τὰς γηΐνας ἐπιθυμίας, ὡς στρουθίον.

13. Ἀλλ' ὁ Κύριος ἐλθὼν συνέτριψε τὴν ἁμαρτίαν διὰ τοῦ βαπτίσματος, καὶ ἡμεῖς ἐρρύσθημεν.

14, 15. Καὶ τοῦ λοιποῦ βοήθεια ἡμῶν ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ἐστι τοῦ δημιουργοῦ πάντων.

«Ὠδὴ τῶν Ἀναβαθμῶν.» ΨΑΛΜ. ΡΚΔ'.

1. Οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ὄρος Σιών.
2. Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ.
3. Ὄρη κύκλῳ αὐτῆς,
4. Καὶ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ.
5. Ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.
6. Ὅτι οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν.
7. Ἐπὶ τὸν κλῆρον τῶν δικαίων.
8. Ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν.
9. Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ.
10. Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλίας.
11. Ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν.
12. Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ὠδὴ τῶν Ἀναβαθμῶν», ὅπερ ἑρμηνεύεται ἐξομολόγησις τῶν ἀπὸ τοῦ πέμπτου βαθμοῦ τῆς εἰς Χριστὸν ἐλπίδος ἀνελθὼν [ἀνελθόντων] ἐπὶ τὸν ἕκτον βαθμόν· τουτέστιν ἐξομολόγησις τῶν μετὰ τὸ βάπτισμα ἐπιγινωσκόντων τὴν δύναμιν τοῦ Χριστοῦ· τὸ πῶς ἀντιλαμβάνεται τῶν πιστευόντων εἰς αὐτὸν καὶ τοὺς ἀπειθοῦντας αὐτῷ πῶς παραδίδωσιν εἰς κόλασιν αἰωνίαν.

1. Οἱ πιστεύοντες εἰς τὸν Υἱὸν τοῦ Θεοῦ δυνατοὶ ἰσχύϊ ὑπάρχουσιν, ὡς ἡ ἐντολὴ τοῦ Θεοῦ. «Σιὼν» ἑρμηνεύεται «ἐντολή».

2. Ἀμετακίνητοι ἔσονται οἱ διαμένοντες ἐν τῷ Πνεύματι τῆς χάριτος αὐτοῦ· ἑρμηνεύεται γὰρ «Πνεῦμα αὐτοῦ χάριτος.»

3. Ὄρη ὑπάρχουσι κύκλῳ τῆς Ἱερουσαλήμ.

4, 5. Καὶ ὁ Κύριος Ἰησοῦς, τὸ ὄρος τὸ πληροῦν τὴν οἰκουμένην, κύκλῳ ἐστὶ τοῦ λαοῦ αὐτοῦ καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι.

6. Οὐ γὰρ συγχωρήσει Κύριος κατ' ἐξουσίαν καὶ τὴν ἐναντίαν δύναμιν.

7. Τῶν ἁγίων αὐτοῦ.

8. Ἵνα μὴ οἱ δίκαιοι, κυριευθέντες ὑπὸ τῶν δαιμόνων, ἐκδώσωσι τὰς ψυχὰς αὐτῶν ταῖς ἐπιθυμίαις τοῦ βίου.

9. Ἀγαθὰ δώρησαι, ὁ Θεός, τοῖς ἀγαθοῖς καὶ τοῖς ὑπακούουσι ταῖς ἐντολαῖς σου ἐκ καρδίας.

10, 11. Τοὺς δὲ εἰς ἀσελγείας ἐκδεδωκότας ἑαυτοὺς τῇ φθορᾷ παραδώσει Κύριος τῷ αἰωνίῳ πυρὶ μετὰ τοῦ διαβόλου καὶ τῶν ἀγγέλων αὐτοῦ.

12. Ἡ χάρις τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐπὶ τοὺς καθαροὺς τῇ καρδίᾳ.

«Ὠδὴ τῶν Ἀναβαθμῶν.» ΨΑΛΜ. ΡΚΕ΄.

1. Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιών,
2. Ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι.
3. Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν,
4. Καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως.
5. Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν·
6. Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ᾿ αὐτῶν.
7. Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ᾿ ἡμῶν·
8. Ἐγενήθημεν εὐφραινόμενοι.
9. Ἐπίστρεψον, Κύριε, τὴν αἰχμαλωσίαν ἡμῶν,
10. Ὡς χειμάρρους ἐν τῷ νότῳ.
11. Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι.
12. Πορευόμενοι ἐπορεύοντο καὶ ἔκλαιον.
13. Βάλλοντες τὰ σπέρματα αὐτῶν.
14. Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει,
15. Αἴροντες τὰ δράγματα αὐτῶν.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ὠδὴ Ἀναβαθμῶν», ὅπερ ἑρμηνεύεται ἐξομολόγησις τῶν ἀπὸ τοῦ πέμπτου βαθμοῦ [ἀπὸ τοῦ ἕκτου βαθμοῦ τῆς γνώσεως τοῦ Χριστοῦ ἀνιέντων ἐπὶ τὸν ἕβδομον βαθμὸν] τῆς εἰς Χριστὸν ἐλπίδος ἀνιέντων ἐπὶ τὸν ἕκτον βαθμόν, τουτέστιν ἐξομολόγησις τῶν μετὰ τὸ βάπτισμα ἐπιγινωσκόντων τὴν δύναμιν τοῦ Χριστοῦ· τὸ πῶς ἀντιλαμβάνεται τῶν πιστευόντων εἰς αὐτὸν καὶ τοὺς ἀπειθοῦντας αὐτῷ παραδίδωσιν εἰς κόλασιν αἰώνιον.

1. Ἐν τῷ καιρῷ ὅταν ἐπέστρεψεν ὁ Κύριος Ἰησοῦς τὴν δουλείαν τῆς καρδίας ἡμῶν, ὅταν ἐβουλεύσαμεν ταῖς ἐναντίαις δυνάμεσι. «Σιὼν» γὰρ ἑρμηνεύεται «σκοπευτήριον», ὅπερ ἐστὶν ἡ καρδία.

2. Ἐγενόμεθα ὡς ἀνάπαυσιν· «Ὁ γὰρ παρακαλῶν τοὺς ταπεινοὺς παρεκάλεσεν ἡμᾶς Θεός.[1]»

3. Τότε ἐπλήσθημεν Πνεύματος ἁγίου·

4. Καὶ ἠρξάμεθα λαλεῖν ἑαυτοῖς «ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς ᾄδοντες καὶ ψάλλοντες ἐν ταῖς καρδίαις ἡμῶν τῷ ὀνόματι αὐτοῦ.[2]»

5. 6. Τότε ἔλεγον αἱ ἐναντίαι δυνάμεις· Εὐδόκησεν ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ σῶσαι αὐτούς.

7. Ἡμεῖς δὲ πάλιν καυχώμενοι ἐν Κυρίῳ λέγομεν·
Ἥπλωσεν ἐπὶ πάντας καὶ εἰς ἡμᾶς τὸ ἔλεος αὐτοῦ.

8. Εὑρέθημεν πλησθέντες τῇ χάριτι αὐτοῦ.

---

1. Β΄ Κορ. 7, 6. 2. Ἐφ. 5, 19.

9. 10. Ὁ χειμάρρους οὗτος, περὶ οὗ λέγει ὁ Προφήτης, ἐν τῷ νότῳ ἐστὶν ἐν τῇ Ῥινοκουρούρᾳ ἥτις ἐστὶν ἀρχὴ τῆς Αἰγύπτου· διὸ καὶ ὁ Προφήτης εἴρηκεν, «ὡς χειμάρρους ἐν τῷ νότῳ.» Τοῦτο οὖν μεμαθήκαμεν παρὰ πλειόνων, ὅτιπερ οἱ Σαρακηνοὶ κατήρχοντο εἰς τὴν Ῥινοκουρούραν, ἢ [ὡς] καὶ κατέρχονται μέχρι τοῦ νῦν καὶ παιδεύουσιν ὥσπερ [πορθοῦσιν ὅπερ] εὑρίσκουσι καὶ ἀνέρχονται εἰς τοὺς τόπους αὐτῶν. Ὁ δὲ χειμάρρους οὗτος, περὶ οὗ εἶπεν ὁ Προφήτης, ἐκ τῶν Σαρακηνῶν κατέρχεται· κατὰ βούλησιν οὖν Θεοῦ, ἡνίκα γένηται ὑετὸς λάβρος, πληθύνει ὁ χειμάρρους, ὥστε κατέρχεσθαι αὐτὸν σφοδρῶς, λαμβάνοντα τὰς σκηνὰς τῶν Σαρακηνῶν, καὶ αὐτοὺς δὲ ἀπόλλυσιν, ἅπερ δὲ διήρπασαν λαβὼν φέρει εἰς τὴν Ῥινοκουρούραν, ὅθεν καὶ ἐλήφθησαν ἀπὸ τῶν Σαρακηνῶν τὸ πρότερον· καὶ ἡμεῖς δέ, γενόμενοι ἐν αὐτῇ τῇ πόλει, ἐθεασάμεθα τὸν χειμάρρουν. Τοῦτο οὖν ἐστιν ὃ λέγει ὁ Προφήτης ἐκ προσώπου τῶν πεπιστευκότων· ὅτι, ὥσπερ ἐκεῖνος ὁ χειμάρρους τοὺς μὲν αἰχμαλωτίζοντας ἀπόλλυσι, τὰ δὲ ληφθέντα παρ' αὐτῶν σκῦλα ἀποκαθίστησιν, ἐξ ὧν καὶ ἐλήφθησαν, οὕτω ποίησον καὶ αὐτός, καὶ τὰς μὲν ἐναντίας δυνάμεις τὰς αἰχμαλωτισάσας ἡμᾶς θανάτωσον τῷ ὕδατι τοῦ βαπτίσματος, δι' αὐτοῦ δὲ τοῦ ὕδατος ἀπόδος ἡμῖν τὴν δόξαν καὶ τὴν ἐλευθερίαν, ἣν ἀφείλαντο ἡμῖν αἱ τοῦ ἐχθροῦ δυνάμεις. Αὕτη οὖν ἡ διήγησις τοῦ «χειμάρρου», καὶ αὕτη ἡ αἰτία τοῦ εἰρηκέναι τὸν Προφήτην.

11. Μακάριοι οἱ πενθοῦντες ἐν τῷ νῦν καιρῷ τὰς ἁμαρτίας αὐτῶν ἐν καρδίᾳ καθαρᾷ, ὅτι παρακληθήσονται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

12, 13. Τὸν βίον αὐτῶν πάντα ἐπετέλουν μετὰ φόβου, νυκτὸς καὶ ἡμέρας μετὰ δακρύων κατεργαζόμενοι τὴν ἑαυτῶν σωτηρίαν.

14, 15. Ἐν τῇ ἀναστάσει ἐρχόμενοι ἐλεύσονται ἐν ἀγαλλιάσει ἀπολαμβάνοντες τὴν αἰώνιον ζωήν.

«Ὠδὴ τῶν Ἀναβαθμῶν τῷ Σολομών.» ΨΑΛΜ. ΡΚϚ'.

1. Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον,
2. Εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες.
3. Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν.
4. Εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων.
5. Εἰς μάτην ὑμῖν ἐστι τὸ [τοῦ] ὀρθρίζειν·
6. Ἐγείρεσθε μετὰ τὸ καθῆσθαι,
7. Οἱ ἐσθίοντες ἄρτον ὀδύνης.
8. Ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον.
9. Ἰδοὺ ἡ κληρονομία Κυρίου, υἱοί·
10. Ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός.
11. Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ·
12. Οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων.
13. Μακάριος, ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν·

14. Οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτοῦ [αὐτῶν] ἐν πύλαις.

'Αθανασίου 'Ερμηνεία.

'Η προκειμένη ἐπιγραφὴ περιέχει· «'Ωδὴ τῶν 'Αναβαθμῶν τῷ Σολομών», ὅπερ ἑρμηνεύεται τῶν σωθέντων διὰ τοῦ βαπτίσματος τῷ εἰρηνικωτάτῳ, τουτέστιν 'Ιησοῦ ἡμῶν·[1] τοῦτο οὖν λέγω, λοιπὸν μετὰ τὸν ἕβδομον βαθμὸν τῆς γνώσεως [τῆς δυνάμεως] τοῦ Χριστοῦ εἰς ὑψηλότερον βαθμὸν ἀνέρχονται εἰς τὸν ὄγδοον ὡσανεὶ εἰς τὰ χαρίσματα τοῦ Χριστοῦ, τῷ διδάσκοντι αὐτούς, ὅτιπερ οὐκ ἦν δυνατὸν σωθῆναι ἡμᾶς διὰ τοῦ λόγου τοῦ λαληθέντος δι' ἀγγέλων καὶ τῶν προφητῶν, εἰ μὴ αὐτὸς ὁ Κύριος, αὐταῖς ὄψεσι παραγενόμενος, ἔσωσεν ἡμᾶς· καὶ ὅτι αὐτοὶ προφῆται ἐν ὀδύνῃ διῆγον, ὅτι οὐκ ἠδύναντο ἐπιστρέψαι τὸ γένος τῶν ἀνθρώπων, ἵνα σωθῇ, εἰ μὴ ὡς προεῖπον, ὁ Κύριος παραγέγονεν, ὡς καὶ αὐτὸς ὁ στίχος τοῦ ψαλμοῦ.

1, 2. 'Εὰν μὴ αὐτὸς ὁ Κύριος τῇ ἑαυτοῦ παρουσίᾳ ᾠκοδόμησε τὴν 'Εκκλησίαν, καθὼς εἴρηκε τῷ Πέτρῳ· «Σὺ εἶ Πέτρος καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν 'Εκκλησίαν[2]», ὀφελεῖς ὑπῆρχον οἱ κόποι τῶν προφητῶν ἐν γένει τῶν ἀνθρώπων.

3, 4. 'Εὰν μὴ Κύριος φυλάξῃ ἄνθρωπον, εἰς μάτην ἐκόπιεν ἕκαστος τῶν δοκούντων εἶναί τι.

5. 'Υμῖν τοῖς προφήταις εἰς μάτην ἐστὶ τὸ ὀρθρίζειν ὑμᾶς καὶ λαβεῖν τὸν λόγον τοῦ Θεοῦ διὰ τὴν ἀπείθειαν τῶν ἀνθρώπων.

6. Ὅμως μετὰ τὴν κοίμησιν ὑμῶν ἀνίστασθε· ὁ λόγος γὰρ ὑμῶν μέλλει κηρύσσεσθαι καὶ ἄγειν πάντας εἰς τὴν πίστιν τοῦ Θεοῦ.

7. Οἱ νῦν, διὰ τὸ μηδένα ὑμῶν ἀκούειν, μετ' ὀδύνης ἐσθίοντες τὸν ἑαυτῶν ἄρτον.

8. Πότε διεγείρεσθε, ὅταν ὁ Κύριος μέλλων συλλαμβάνεσθαι ὑπὸ τῶν 'Ιουδαίων ἐπὶ τοῖς ἀγαπητοῖς αὐτοῦ, τουτέστι τοῖς ἀποστόλοις· «Καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύσεσθε·[3] ἤγγικε γὰρ ὁ παραδιδούς με.[4]»

9. 'Ιδοὺ ἡ κληρονομία Κυρίου υἱοὶ ὑμῶν τῶν προφητῶν, οἱ ἀπόστολοι.

10. Καὶ ὁ μισθὸς τοῦ πόνου ὑμῶν καὶ τῆς ὀδύνης, ἧς ἔχετε τότε κυριεύσοντες, τούτους τοὺς ἀποστόλους ἡμῖν ἔτεκεν.

11. 'Ως βέλη πεμπόμενα παρά τινος εὐστόχου καὶ ἰσχυροῦ, οὕτως εἰσὶν οἱ ἀπόστολοι ὑπὸ Κυρίου πεμπόμενοι εἰς τὸ κήρυγμα.

12. Οἱ υἱοὶ τῶν προφητῶν, τῶν μὴ ἐχόντων ἐν αὐτοῖς σῖτα, ἢ βρῶσιν τὴν ἀφανίζουσαν.

---

1. Πρβλ. 'Εφ. 2, 14. 2. Ματθ. 16, 18. 3. Ματθ. 26, 45. 4. Ματθ. 26, 46.

13. Μακάριος, ὅτι [ὅστις] τὴν ἐπιθυμίαν ἔχων εἰς τὰ εἰρημένα ὑπὸ τῶν ἀποστόλων καὶ μαθὼν αὐτὰ καὶ πληρῶν.

14. Οἱ τοιοῦτοι γὰρ οὐ καταισχύνονται, ὅταν μεταβαίνωσιν ἐκ τοῦ κόσμου τούτου, καὶ ἐναντίαι δυνάμεις ἑστῶσαι ἔξωθεν τῶν πυλῶν τοῦ οὐρανοῦ ζητοῦσι κατ' αὐτῶν εὑρεῖν τινα πρᾶξιν πονηρὰν εἰς αὐτούς, ἵνα κατηγορήσωσιν αὐτῶν πρὸς τὸν Θεὸν ὡς ἡμαρτηκότων.

«'Ωδὴ τῶν 'Αναβαθμῶν.» ΨΑΛΜ. ΡΚΖ'.

1. Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον,
2. Οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ.
3. Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι·
4. Μακάριος εἶ, καὶ καλῶς σοι ἔσται.
5. 'Η γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα
6. 'Εν τοῖς κλίτεσι τῆς οἰκίας σου.
7. Οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν
8. Κύκλῳ τῆς τραπέζης σου.
9. 'Ιδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον.
10. Εὐλογήσαι σε Κύριος ἐκ Σιών,
11. Καὶ ἴδοις τὰ ἀγαθὰ 'Ιερουσαλὴμ
12. Πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.
13. Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου·
14. Εἰρήνη ἐπὶ τὸν 'Ισραήλ.

'Αθανασίου 'Ερμηνεία.

'Η προκειμένη ἐπιγραφὴ περιέχει· «'Ωδὴ τῶν 'Αναβαθμῶν», ὅπερ ἑρμηνεύεται ἐξομολόγησις τῶν ἀπὸ τῆς γνώσεως [τῶν χαρισμάτων] τοῦ Χριστοῦ, τουτέστιν ἀπὸ τοῦ ὀγδόου βαθμοῦ ἀνιόντων εἰς τὸν Θεόν, λέγω δὴ τοῦ εἰδέναι αὐτούς, ὅτι πληρῶν τὰς ἐντολὰς τοῦ Χριστοῦ πῶς ἡ μισθαποδοσία αὐτῶν [τῆς μισθαποδοσίας αὐτὸς] ἀξιοῦται ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ὑπὸ τοῦ Θεοῦ.

1. Μακάριοι οἱ ὑπακούοντες τὸν λόγον τοῦ Θεοῦ.

2. Οἱ ἐξακολουθοῦντες τοῖς ἴχνεσιν αὐτοῦ.

3. Τοὺς καρποὺς τῆς δικαιοσύνης, οὓς μετὰ θλίψεως τῆς ἐν τῷ κόσμῳ ἐκτελεῖς, ὕστερον ἐμπλησθήσῃ αὐτῶν ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

4. Τοῦ μακαρισμοῦ τῶν ἁγίων ἀξιωθήσῃ, εἰς τὴν χαρὰν τοῦ Θεοῦ σὺ εἰσελεύσεις.

5, 6. 'Η ψυχή σου, ὡς ἄμπελος, γέμουσα ἁπάσης εὐφροσύνης· οὕτως ἐστὶν ἐν τοῖς μέλεσι τοῦ σώματός σου, ἔνθεν αὐτῆς, καὶ ἔνθεν ἔχουσα καρποὺς δικαιοσύνης, «Διὰ τῶν ὅπλων τῆς δικαιοσύνης

τῶν δεξιῶν καὶ ἀριστερῶν, διὰ δόξης καὶ ἀτιμίας [1]», καὶ τῶν λοιπῶν.

7, 8. Τὰ ἔργα τῆς δικαιοσύνης σου μετὰ ἐλέους καὶ καρπῶν εἰρηνικῶν εἰσι συσφίγγοντα καὶ σκέποντα τὴν καρδίαν σου.

9. Ἰδοὺ οὕτως μακαρισθήσεται ἄνθρωπος (ὡς μέλλων λέγειν) ὁ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ.

10. Ἐρεῖ γὰρ παντὶ τοιούτῳ ἀνθρώπῳ ὁ Κύριος, ἐν τῇ ἐπουρανίῳ πόλει· «Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου [2]», καὶ τὰ ἑξῆς.

11, 12. Καὶ ἀπολαύσει ἕκαστος τῶν αἰωνίων ἀγαθῶν, ὧν ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν [3] εἰς τοὺς ἀτελευτήτους αἰῶνας.

13. Τὴν ἀνταπόδοσιν τῶν ἔργων σου.

14. Καὶ οὐκ ἔτι ἔστιν ἐν τῇ ἄνω Ἱερουσαλὴμ ὁ πολεμῶν τινα· εἰρήνη γάρ ἐστι· ἐπειδὴ καὶ τεχνίτης καὶ δημιουργὸς αὐτῆς ὑπάρχει Ἰησοῦς [4], καὶ εἰρήνη ἡμῶν.

«Ὠδὴ τῶν Ἀναβαθμῶν.» ΨΑΛΜ. ΡΚΗ΄.

1. Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου·
2. Εἰπάτω δὴ Ἰσραήλ·
3. Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου·
4. Καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι.
5. Ἐπὶ τὸν νῶτόν μου [τοῦ νώτου μου] ἐτέκταινον οἱ ἁμαρτωλοί·
6. Ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν.
7. Κύριος δίκαιος [ὁ Κύριος δικαίως] συνέκοψεν αὐχένας ἁμαρτωλῶν·
8. Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών.
9. Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων,
10. Ὃς πρὸ τοῦ ἐκσπασθῆναι [ἐκσπασθῆναι αὐτὸν] ἐξηράνθη.
11. Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων,
12. Καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων.
13. Καὶ οὐκ εἶπον [εἶπαν] οἱ παράγοντες· Εὐλογία Κυρίου ἐφ' ὑμᾶς·
14. Εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ὠδὴ Ἀναβαθμῶν», ὅπερ ἑρμηνεύεται ἐξομολόγησις τῶν ἀπὸ [ἐνάτου] τοῦ Θεοῦ βαθμοῦ ἀναβαινόντων ἐπὶ τὸν Ἰησοῦν, τουτέστι μετὰ τὴν γνῶσιν τοῦ εἰδέναι τὰ τῆς μελλούσης μισθαποδοσίας, μέμνηνται δὲ ἅπερ ὑπέμειναν ὑπὸ τῶν ἐναντίων δυνάμεων, καὶ πῶς ὑπὸ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν

1. Β΄ Κορ. 6, 7-8. 2. Ματθ. 25, 34. 3. Πρβλ. Α΄ Κορ. 2, 9. 4. Πρβλ. Ἑβρ. 11, 10.

ἐρρύσθησαν, ἔτι γε μὴν εἰς ὑψηλοτέραν γνῶσιν ἀνιόντες τοῦ προγινώσκειν ἅπερ συνέβη τοῖς ἁμαρτωλοῖς ἐξιοῦσι τὸν βίον τοῦτον.

1. Ἐπὶ πολὺν χρόνον ἐζήτουν αἰχμαλωτίζειν με οἱ δαίμονες, ὅτε ἤμην νήπιος τῇ κατὰ Θεὸν φρονήσει.

2, 3. Ἐν ὅλῃ τῇ καρδίᾳ αὐτῶν διηγησάσθωσαν οἱ φωτισθέντες τὴν διάνοιαν ἐπιγνῶναι τὸν Θεόν, τὸ πῶς ἐπολεμοῦντο ὑπὸ τῶν ἐναντίων δυνάμεων.

4. Ἐπειδὴ ὁ Κύριος ἀντελαμβάνετό μου.

5, 6. Ἔτι μὲν τοὺς δύο στίχους λαβεῖν εἰς τὸν Κύριον, τουτέστιν ἡνίκα ἐφραγελλώθη ὑπὸ τῶν Ἰουδαίων· ὅμως καὶ πρὸς τὰ ἄνω δεδομένα [λεγόμενα] θεωροῦνται ἐκ τῶν ἀπορριφέντων ὀπίσω μου πονηρῶν πράξεων καὶ πάλιν ἐπετίθουν μοι αὐτὰς καὶ ἐπέμενον ἐπὶ χρόνον ἱκανὸν ἐπικείμενοί μοι.

7. Ἀλλ' ὁ Κύριος, ὁ μηδένα παρορῶν πιστευόντων εἰς αὐτόν, ἐθανάτωσε τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τοῦ σκότους.

8. Ἐν τῇ μελλούσῃ ἡμέρᾳ τῆς κρίσεως ὁ διάβολος καὶ οἱ ἄγγελοι αὐτοῦ καὶ πάντες οἱ πειθόμενοι αὐτοῖς καταδικασθήτωσαν τῷ αἰωνίῳ πυρί, οἱ ἀποστρεφόμενοι πᾶσαν ἐντολὴν τοῦ Κυρίου. «Σιὼν» γὰρ «ἐντολὴ» ἑρμηνεύεται.

9. Οὕτως εἰς πῦρ βαλλόμενοι.

10. Οἱ πρὸ τοῦ τέλους ὄντες ἐν τῷ κόσμῳ νεκρωμένοι ὑπῆρχον ὑπὸ τῆς ἁμαρτίας.

11, 12. Ἀπὸ τῶν τοιούτων οὐχ εὗρεν ἕκαστος τῶν ἀγγέλων τῶν τὰς ψυχὰς αὐτῶν λαμβανόντων, ὡσεὶ μίαν δραχμὴν δικαιοσύνης, καὶ ἕκαστος ἄγγελος τῶν συνόντων αὐτοῖς ἐν τῇ ζωῇ αὐτῶν, καὶ τὰ ἔργα αὐτῶν προσφέρων τῷ Θεῷ, οὐχ εὗρεν ἐν αὐτοῖς σπέρμα δικαιοσύνης ἀνενεγκεῖν τῷ Θεῷ.

13. Καὶ οἱ ἅγιοι ἄγγελοι ἀποστελλόμενοι ἐν τῷ κόσμῳ διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν, θεωροῦντες αὐτοὺς ἀπαγομένους ἐκ τοῦ κόσμου τούτου, οὐκ ἠσπάσαντο αὐτούς.

14. Οὐδὲ εἶπον αὐτοῖς, Εἰρήνη ὑμῖν· τοῦτο γάρ ἐστι τὸ ὄνομα Κυρίου.

«Ὠδὴ τῶν Ἀναβαθμῶν.» ΨΑΛΜ. ΡΚΘ'.

1. Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε·

2. Κύριε, εἰσάκουσον τῆς φωνῆς μου.

3. Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.

4. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε,

5. Κύριε, τίς ὑποστήσεται;

6. Ὅτι παρὰ σοὶ ἱλασμός ἐστιν.

7. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε.
8. Ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου [εἰς τοὺς λόγους σου]·
9. Ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.
10. Ἀπὸ φυλακῆς πρωίας μέχρι νυκτός.
11. Ἀπὸ φυλακῆς πρωίας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.
12. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος,
13. Καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις·
14. Καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ὠδὴ τῶν Ἀναβαθμῶν», ὅπερ ἑρμηνεύεται ἐξομολόγησις ἀπὸ τοῦ δεκάτου βαθμοῦ τῆς γνώσεως τοῦ εἰδέναι τὰ τῆς μελλούσης κρίσεως· λοιπὸν ἀδιαλείπτως νυκτὸς καὶ ἡμέρας ἐκ τῆς καρδίας αὐτῶν μετὰ ὀδυρμῶν δεόμενοι τοῦ Θεοῦ πρὸ τοῦ ἀφεθῆναι αὐτοῖς εἴ τι πάρεστιν αὐτῶν ἁμάρτημα πεπραγμένον.

1. Ἐκ τῆς καρδίας μου στεναγμὸν ἀλάλητον ἀνεβόησα πρὸς σέ.

2, 3. Ὑποκλίνας μοι ἑαυτόν, παράσχου μοι τὰ ὦτά σου ἕτοιμα εἰς τὸ ἀκοῦσαι, ἅπερ μέλλω ἐξομολογεῖσθαί μοι.

4, 5. Ἐὰν προσχῇς ταῖς ἀνομίαις ἡμῶν καὶ πρὸ αὐτῆς οὕτω ποιήσῃς ὑμῖν, Κύριε, Κύριε, τίς περιλειφθήσεται;

6. Ὅτι σὺ εἶ «ὁ ἱλασμὸς τῶν ἁμαρτιῶν ἡμῶν· οὐ μόνον δὲ περὶ τῶν ἡμετέρων, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου.[1]»

7. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος ὑπάρχεις, διὰ τοῦτο κἀγὼ ἀπεκδέχομαι παρὰ σοῦ ἐλεηθῆναι.

8. Καὶ ὑπομένει ἡ ψυχή μου εἰς τὰς ἐντολάς σου.

9. Ἔλπισον, ἡ ψυχή μου, εἰς τὸν Κύριον, ὅτι οὐκ ἂν ἀπερρίφης ἀπ' αὐτοῦ.

10. Φυλάττων τοῦ μὴ ἁμαρτῆσαι ἡμέρας καὶ νυκτός.

11. Καὶ συντηρῶν ἑαυτὸν ἐν τοῖς ἔργοις τοῦ φωτός, ἐλπισάτω πᾶς ἀνὴρ τῶν ὁρώντων τὸν Θεὸν τῇ διανοίᾳ· τοῦτο γὰρ ἑρμηνεύεται Ἰσραήλ, «ἀνὴρ ὁρῶν Θεόν.»

12. «Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος[2]» δίδοται τοῖς ἀνθρώποις.

13. Καὶ αὐτὸς διὰ τοῦ τιμίου αἵματος πάντας ἐξαγοράσει τοὺς πιστεύοντας εἰς αὐτόν.

14. Καὶ τὰς ἀνομίας πάντων ἐξαλείψει.

---

1. Α' Ἰω. 2, 2. 2. Ψαλμ. 129, 7.

«Ὠδὴ τῶν Ἀναβαθμῶν τῷ Δαυίδ.» ΨΑΛΜ. ΡΛ'.

1. Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου·
2. Οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου·
3. Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις.·
4. Οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ.
4. Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ψυχήν μου·
6. Ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ·
7. Ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου.
8. Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.
9. Ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ὠδὴ τῶν Ἀναβαθμῶν τῷ Δαυίδ», ὅπερ ἑρμηνεύεται ἐξομολόγησις «τῷ ἱκανῷ τῇ χειρί», τουτέστι τῷ Υἱῷ τοῦ Θεοῦ, τῶν ἀναβαινόντων ἀπὸ τοῦ ἑνδεκάτου βαθμοῦ ἐπὶ τὸν Ἰησοῦν, ὡσανεὶ ἀπὸ τῆς ἐξομολογήσεως καὶ τῆς ἐλπίδος καὶ τελειότητος τῆς εἰς τὸν Χριστὸν ἀναβέβηκεν εἰς τὸ τῆς ταπεινοφροσύνης ὕψος.

1. Κύριε, οὐκ ἐλογισάμην εἶναί σου ἄξιος.

2. Οὐδὲ ἡ διάνοιά μου ἔχει τι τοιοῦτον.

3, 4. Οὐδὲ ἐπεθύμησα ἱερατικοῦ τινος ἀξιώματος ἐντὸς γενέσθαι.

5-7. Εἰ μή, ὡς τὸ παιδίον τὸ γνῶσιν ἔχον ταπεινοῦται ὑπὸ τὴν μητέρα αὐτοῦ, οὕτω κἀγὼ ἐταπείνουν ἐμαυτὸν ἐνώπιόν σου, ἀλλ' ἐλογισάμην, ὅτιπερ εὐηρέστησά σοι· γένοιτο ἀνταπόδοσις τῇ ψυχῇ μου ἐν τοῖς ὑπερηφάνοις.

8, 9. Ἡ χάρις δὲ τοῦ Θεοῦ λέγει τοῖς τοιούτοις· Μὴ φοβεῖσθε, ἐλπίσατε ἐπὶ τὸν Κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τῆς συντελείας.

«Ὠδὴ τῶν Ἀναβαθμῶν.» ΨΑΛΜ. ΡΛΑ'.

1. Μνήσθητι, Κύριε, τοῦ Δαυὶδ καὶ πάσης τῆς πραότητος αὐτοῦ.
2. Ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ.
3. Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου·
4. Εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου.
5. Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου,
6. Καὶ τοῖς βλεφάροις μου νυσταγμόν,
7. Καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου,
8. Ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ,
9. Σκήνωμα τῷ Θεῷ Ἰακώβ.

10. 'Ιδοὺ ἠκούσαμεν αὐτὴν ἐν 'Εφραθά·
11. Εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ.
12. Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ·
13. Προσκυνήσομεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ.
14. 'Ανάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου,
15. Σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου.
16. Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην,
17. Καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται [ἀγαλλιάσει ἀγαλλιάσονται].
18. Ἕνεκεν Δαυὶδ τοῦ δούλου σου.
19. Μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ Χριστοῦ σου.
20. Ὤμοσε Κύριος τῷ Δαυὶδ ἀλήθειαν,
21. Καὶ οὐ μὴ ἀθετήσει αὐτὴν [αὐτόν]·
22. 'Εκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.
23. 'Εὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου,
24. Καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτούς,
25. Καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου.
26. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών·
27. Ἡρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.
28. Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος·
29. Ὧδε κατοικήσω, ὅτι ἡρετισάμην αὐτήν.
30. Τὴν χήραν αὐτῆς εὐλογῶν εὐλογήσω·
31. Τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων.
32. Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν,
33. Καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται.
34. 'Εκεῖ ἐξανατελῶ κέρας τῷ Δαυίδ.
35. Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου.
36. Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην.
37. 'Επὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

'Αθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ὠδὴ τῶν 'Αναβαθμῶν», ὅπερ ἑρμηνεύεται ἐξομολόγησις τῶν ἀναβαινόνων ἀπὸ τοῦ κυρίου βαθμοῦ ἐπὶ τὸν 'Ιησοῦν, τουτέστιν ἀπὸ τῆς ταπεινοφροσύνης εἰς πλείονα φωτισμὸν ἀναβέβηκεν. 'Εκδέδωκε γὰρ ἑαυτὸν ἀποτάξασθαι πᾶσι τοῖς ἐν τῷ κόσμῳ, ἐκδοῦναι δὲ αὐτὸν ὅλον τῷ Θεῷ, ἐν ταῖς ὑψηλοτέραις ὡσανεὶ μείζοσιν ἐντολαῖς λοιπὸν ἀνιὼν εὑρίσκεται· ὥσπερ γὰρ ἀπὸ τοῦ κυρίου βαθμοῦ ἀνιών τις ἐπιφαίνεται, οὕτω καὶ οὗτος ἐπὶ τὸν μείζονα τοῦ Χριστοῦ ἀναβέβηκεν.

1. Μνήσθητι, Κύριε, τοῦ κατὰ τὸν Δαυὶδ λαοῦ σου τοῦ ποιοῦντος οὕτως τὰ θελήματά σου.

2. Ὡς ἐπίστευσε τῷ Κυρίῳ, ἐτάξατο ἑαυτὸν τῷ Θεῷ τῆς ὑπακοῆς· ἑρμηνεύεται γὰρ «Ἰακὼβ ἀκοή.»

3. Εἰ πρόνοιαν τοῦ λοιποῦ ποιήσομαι τοῦ σώματός μου.

4. Εἰ μὴ ἐπ' ἐδάφους ὕπνωσα τοῦ λοιποῦ.

5, 6. Εἰ παύσομαι ἀγρυπνῶν καὶ προσευχόμενος καὶ μελετῶν νυκτὸς καὶ ἡμέρας ἐν τῷ νόμῳ σου.

7. Καὶ εἰ δώσω ἄνεσιν τῇ διανοίᾳ τῆς καρδίας μου περὶ τὰ νοήματα τῶν Γραφῶν.

8, 9. Ἕως οὗ διὰ τῆς χάριτος αὐτοῦ οἰκοδομήσω ἐμαυτὸν οἶκον τῷ Κυρίῳ καὶ ἀνάπαυσιν τῷ Θεῷ ὑπακοῆς· εἴπαμεν γάρ, «Ἰακὼβ» ἑρμηνεύεται «ὑπακοή.»

10. Ἰδοὺ ἠκούσαμεν ἐν Εὐαγγελίῳ, ὅτι αὕτη ἐστὶν ἡ ἀνάπαυσις τοῦ Θεοῦ, ὅταν τις πωλήσῃ τὰ ὑπάρχοντα αὐτοῦ καὶ δῷ πτωχοῖς, καὶ ἀπέλθῃ καὶ ἀποτάξηται· «Ἐφραθὰ » γὰρ ἑρμηνεύεται παραδιδόντος «καρποφορίαν.»

11. Εὕρομεν τὴν ἀνάπαυσιν ταύτην εἰς τὴν ἔρημον, ἔνθα τὸ πλῆθός ἐστι τῶν ἀνδρῶν τῶν ἐχόντων ἡπλωμένας τὰς καρδίας πρὸς τὸν Θεόν· δῆλον, τοὺς μοναχοὺς λέγει.

12. Εἰσελευσόμεθα εἰς τὰ μοναστήρια πρὸς τὸ ἀποτάξασθαι.

13. Τὸν σταυρὸν αὐτοῦ προσκυνήσομεν, ἔνθα ἐπάγησαν οἱ πόδες αὐτοῦ.

14. Προσεύχονται οἱ ἡγούμενοι ὑπὲρ τῶν ἀποτασσομένων, λέγοντες· Ἐλθέ, Κύριε, εἰς τὴν καρδίαν τούτων τῶν τὴν ἀνάπαυσίν σου τελούντων.

15. Σὺ ἐλθὲ καὶ ἡ χάρις σου σὺν τοῖς ἁγίοις σου πᾶσιν.

16. Ἡμεῖς οἱ ἱερεῖς σου ἐνδυσόμεθα διὰ τῆς διδασκαλίας τούτους τοὺς τῆς δικαιοσύνης υἱούς.

17. Καὶ πάντες οἱ ἄγγελοί σου καὶ πᾶσα ἡ ἀδελφότης ἀγαλλιάσονται ἐπὶ τῇ ἀποταγῇ τούτων τῶν προελθόντων.

18. Διὰ τὸν χορὸν τὸν πεποθημένον τῶν ἁγίων σου· «Δαυὶδ» γὰρ ἑρμηνεύεται «πεποθημένος.»

19. Μὴ ἀντανέλῃς ἀφ' ἡμῶν τὴν χάριν τοῦ Υἱοῦ σου.

20, 21. Ἃ ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν, οὐ μὴ στερήσῃ αὐτούς. «Δαυὶδ» γὰρ ἑρμηνεύεται «ἀγαπητός.»

22. Τὰ τέκνα ὑμῶν, ἃ τίκτετε διὰ τῆς χάριτός μου, αὐτὰ κληρονομήσουσι τὴν βασιλείαν τῶν οὐρανῶν· ταῦτα πρὸς ἕκαστον τῶν ἡγουμένων λέγει.

23, 24. Ἐὰν οἷόν τε ὑπὸ τὴν χεῖρα ἑνὸς ἑκάστου ὑμῶν ἔχωσιν ἐν τῇ καρδίᾳ αὐτῶν τὴν διαθήκην μου καὶ τὰ παθήματά μου ταῦτα, ἃ φωτίσω αὐτοὺς εἰδέναι διὰ τῆς χάριτός μου.

25. Καὶ τὰ ἔργα τῆς δικαιοσύνης αὐτῶν βασιλεύσουσι ἀτελευτήτως.

26. Ὅτι ἐξελέξατο Κύριος καρδίαν τὴν ποιοῦσαν τὰς ἐντολὰς αὐτοῦ· «Σιὼν» γὰρ ἑρμηνεύεται «σκοπευτήριον», ὅπερ ἐστὶν ἡ καρδία.

27. Ἐν τῇ τοιαύτῃ καρδίᾳ ἡδέως ἐνοικήσει ὁ Θεός.

28. Ἀναπαύσομαι ἐν τῇ τοιαύτῃ καρδίᾳ καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι.

29. Ἐν αὐτῇ ἐνοικήσω καὶ ἐμπεριπατήσω, ὅτι ἠγάπησα αὐτήν.

30. Τὸ φιλόξενον αὐτῆς εὐλογῶν εὐλογήσω.

31. Τὸ πρᾶον αὐτῆς καὶ ἡσύχιον χορτάσω τῶν λογίων μου.

32. Τὰς δεήσεις αὐτῆς καὶ ἱκεσίας περιβαλῶ σωτηρίαν.

33. Καὶ τὰ ἔργα αὐτῆς τὰ ἄμωμα ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἀγαλλιάσονται.

34. Ἐν τῇ ἄνω Ἱερουσαλὴμ ἐξανατελῶ τὴν βασιλείαν τῷ λαῷ τῷ πεποθημένῳ· «Δαυὶδ» γὰρ ἑρμηνεύεται «πεποθημένος.»

35. Θεωρεῖται μὲν εἰς τὸν Ἰωάννην τὸν Βαπτιστὴν καὶ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ· καὶ πρὸς τὰ δεδομένα [λεγόμενα] δὲ ἀλληγορεῖται τό, «Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου», τουτέστιν· Ηὐτρέπισα φῶς ἀΐδιον τῷ λαῷ μου τῷ χρισθέντι τὴν χάριν τοῦ ἁγίου Πνεύματος διὰ τοῦ βαπτίσματος.

36. Τὰς ἐναντίας δυνάμεις καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τοῦ διαβόλου καὶ τοὺς πειθομένους αὐταῖς καὶ ἐχθροῖς οὖσι τοῦ λαοῦ μου, ἐνδύσω αἰσχύνην αἰώνιον ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

37. Ἐπὶ δὲ τὸν χορὸν τῶν ἁγίων ἐπελεύσεται ἡ χάρις μου, καὶ ἐκλάμψουσιν ὡς ὁ ἥλιος.

«Ὠδὴ τῶν Ἀναβαθμῶν τῷ Δαυίδ.» ΨΑΛΜ. ΡΛΒʹ.

1. Ἰδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν,
2. Ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό;
3. Ὡς μύρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα,
4. Τὸν πώγωνα τὸν Ἀαρών.
5. Τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ·
6. Ὡς δρόσος Ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών.
7. Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν,
8. Ζωὴν ἕως τοῦ αἰῶνος.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ὠδὴ τῶν Ἀναβαθμῶν τῷ Δαυίδ», τουτέστι τέρψις ὑπάρχουσι καὶ ἀγαλλίασις τῷ Υἱῷ τοῦ Θεοῦ οἱ ἀναβαίνοντες εἰς τὴν τελείαν γνῶσιν τῆς ἀποταγῆς· ἐπειδὴ γὰρ ὁ πρὸ αὐτοῦ ψαλμὸς ἐκ προσώπου τῶν ἀποτασσομένων τῷ κόσμῳ εἴρηται, διὰ τοῦτο ἐν τούτῳ τῷ ψαλμῷ οὐ λέγει μόνον, ὡς ἐν τοῖς πρὸ αὐτοῦ ἀναβαθμοῖς, «Ὠδὴ τῶν Ἀναβαθμῶν», ἀλλὰ προστίθησι τὸ «τῷ Δαυίδ», ἵνα δῆλον ᾖ, ὅτι τούτου τοῦ ἀναβαθμοῦ ἡ ᾠδὴ «τῷ ἱκανῷ τῇ χειρί», ὡσανεὶ τῷ Υἱῷ τοῦ Θεοῦ, εἴρηται. Ὠδὴ γὰρ τέρψις ἐστίν· εἶτα τῶν «Ἀναβαθμῶν», λέγω δὴ τῶν ἀνελθόντων ἀπὸ

τοῦ τρισκαιδεκάτου ἀναβαθμοῦ ἐπὶ τὸν τεσσαρεσκαιδέκατον. Εἶτα «τῷ Δαυΐδ», ὡς προεῖπον, ἑρμηνεύεται «τῷ ἱκανῷ τῇ χειρί», φημὶ δὴ τῷ Υἱῷ τοῦ Θεοῦ· ὡς προεῖπον οὖν, τέρψεις ὑπάρχουσι τῷ Υἱῷ τοῦ Θεοῦ οἱ ἀναβαίνοντες εἰς τὴν τελείαν γνῶσιν τῆς ἀποταγῆς, ὡς καὶ ὁ πρῶτος στίχος δηλοῖ, ἀπὸ τούτου Κυρίου λέγοντος.

1, 2. Τί τοιοῦτο καλόν, ἢ τί τερπνὸν ὡς τοὺς ἀποταξαμένους τῷ κόσμῳ ὁμοῦ εἶναι συμψύχως καὶ ἓν φρονοῦντες;

3-5. Ὡς τὸ μύρον τὸ πνευματικόν, ᾧπερ ἐχρίσθη Ἀαρών, οὕτως εἰσὶ καὶ οἱ ἀποταξάμενοι τῷ κόσμῳ καταθανόντες καὶ οἱ ὄντες ὁμόψυχοι. Ἐκεῖνο γὰρ τὸ μύρον κατεσκεύαστο ἀπὸ σμύρνης καὶ κινναμώμου καὶ καλάμου εὐώδους καὶ ἴρεως· ἐμίγνυτο γὰρ ταῦτα ἐν ἐλαίῳ καὶ ἐγίνετο μύρον μυρεψικόν· καὶ τούτῳ ἐχρίσατο ὁ ἱερεύς, ὅταν προεχειρίζετο ἱερατεύειν τῷ Θεῷ· οὕτω γὰρ ἦν προστάξας ὁ Θεὸς τῷ Μωϋσεῖ ἐν τῇ βίβλῳ τῆς Ἐξόδου.[1] Ἑρμηνεύεται οὖν «σμύρνα μελῳδία αὐτῶν·» «κιννάμωμον» δὲ ἑρμηνεύεται «κτίσις ἄμωμος·» «κάλαμος» δὲ «εὐώδης» ἐστὶ τὸ «Πνεῦμα τὸ ἅγιον·» ὁ γὰρ Κύριός φησιν· «Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου[2]», τουτέστι τὸ Πνεῦμα· «ἱερέως» [ἶρις] δὲ ἑρμηνεύεται «γρηγόρευσις». Οὕτως οὖν καὶ οὗτοι ὑπάρχουσι συγκείμενοι, λέγω δὴ οἱ ἀποταξάμενοι κατὰ Θεὸν διὰ μελῳδίας αὐτῶν, ὅπερ ἑρμηνεύεται «σμύρνα·» καὶ διὰ τῆς κτήσεως τῶν ἔργων αὐτῶν τῶν ἀμώμων, ὅπερ ἑρμηνεύεται «τὸ κιννάμωμον·» καὶ διὰ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος, ὅπερ ἐστὶν «ὁ κάλαμος ὁ εὐώδης·» καὶ διὰ τῆς ἐγρηγόρσεως τῆς ψυχῆς, ὅπερ ἡρμηνεύθη τὸ τοῦ ἱερέως ὄνομα. Ταῦτα οὖν ἔχοντες οἱ ἀποταξάμενοι, τὴν μελῳδίαν αὐτῶν καὶ τὴν κτῆσιν τῶν ἔργων τῶν ἀμώμων καὶ τὴν εὐωδίαν τῆς χάριτος καὶ τὴν ἐγρήγορσιν, μίσγουσιν αὐτὰ ἐλεημοσύνῃ, καὶ ἔστι μύρον τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας. Διὰ τοῦτο οὖν ἀπηκλ.... [ἀπεικάζει] αὐτοὺς τῷ μύρῳ τῷ βληθέντι ἐπὶ τὴν κεφαλὴν τοῦ ἱερέως. Καὶ ἄλλην δὲ ἑρμηνείαν ἔχουσιν οἱ αὐτοὶ στίχοι. Ἡνίκα γὰρ ἐπέχεε τὸ μύρον τὸ προλεχθὲν ἐπὶ τὴν κεφαλὴν τοῦ ἱερέως, ἀναγκαίως κατῄει ἐπὶ τὸν πώγωνα αὐτοῦ τὸ μύρον, καθὼς εἴρηκεν ὁ ψαλμός, καὶ ἐπὶ τὸ περιστόμιον τὸ κυκλοῦν τὸν τράχηλον, καὶ ἐπληροῦντο ἀναγκαίως τοῦ μύρου τὰ ἀμφότερα, ὅ τε πώγων καὶ ἡ ᾤα τοῦ ἐνδύματος αὐτοῦ. Οὕτως οὖν, λέγει, εἰσὶ καὶ οἱ ὁμοψύχως κατὰ Θεὸν ἀποταξάμενοι· ἐπιχέεται γὰρ αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ Θεοῦ, ὅπερ ἐστὶ τὸ μύρον, καὶ κατελθὸν ἐπὶ τὴν κεφαλήν, τουτέστι εἰς διάνοιαν, πληροῖ τῆς χάριτος αὐτοῦ καὶ τὰ λεπτὰ νοήματα τῆς καρδίας, ὡσανεὶ τὸν πώγωνα. Πληροῖ καὶ κύκλῳ γλυκύτητος τὴν διδασκαλίαν τῆς ψυχῆς [τῆς διδασκαλίας τὴν ψυχήν], ὅπερ ἐστὶν ἡ ᾤα τοῦ ἐνδύματος ἵνα λέγει· «Χριστοῦ εὐωδία ἐσμὲν ἐν τοῖς

1. Πρβλ. Ἔξ. 30, 23. 2. Ψαλμ. 44, 2.

σῳζομένοις.[1]» Καὶ πάλιν ἔστι συνιδεῖν, ὅτι διὰ τοῦτο τὸ μύρον ἐκεῖνο τὸ μύρον [ἐκείνῳ τῷ μύρῳ] ἀπείκασεν αὐτούς, ἐπειδὴ ἐκ τῶν τεσσάρων ἐκείνων, ὧν εἰρήκαμεν, κατεσκεύαστο εἰς ἔλαιον ἐκεῖνο τὸ μύρον· οὕτως οὖν καὶ οὗτοι ἐκ τῶν τεσσάρων Εὐαγγελίων κατεσκευάσθησαν εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, ἥτις ὑπάρχει μεστὴ ἐλαίου καὶ καρπῶν εἰρηνικῶν. Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἄλλως ἔστιν ἐπιστῆσαι τὸν νοῦν· διὰ ποίαν αἰτίαν τῷ μύρῳ ἐκείνῳ τῷ πνευματικῷ ἀφωμοίωσε τοὺς τοιούτους· ἐπειδὴ ὄντως οἱ τοιοῦτοι Χριστοῦ μέλη τυγχάνουσι, περὶ οὗ ὁ προφήτης λέγει· «Μύρον ἐκκενωθὲν ὄνομά σοι·» ἀναγκαίως οὖν ὡς τοῦ θείου μύρου, ὡσανεὶ Χριστοῦ, κατὰ χάριν μέλη ὄντες, εἰκότως καὶ αὐτοὶ μύρῳ ἀπεικάσθησαν.

6. «Δρόσος Ἀερμὼν» ἑρμηνεύεται «δρόσος, ἐνδοξαζόμενος·» τοῦτο οὖν λέγει, ὅτι οὕτως ὑπάρχουσι, περὶ ὧν ἄνω εἰρήκαμεν, ὡς ἡ χάρις τοῦ Πνεύματος ἡ πολυποίκιλος, ἡ κατιοῦσα ἐπὶ τοὺς προφήτας, καὶ ἐπουρανίου πόλεως· «ἡ δρόσος» γὰρ «ἡ ἐνδοξαζομένη», δῆλον, ὅτι τὰ χαρίσματά εἰσι τοῦ ἁγίου Πνεύματος διὰ τὸ λεπτότατον αὐτῶν, καὶ ὠφέλιμον· τὰ δὲ ὄρη δηλονότι οἱ προφῆταί εἰσιν· ἡ δὲ «Σιὼν» σαφῶς ἡ ἄνω Ἱερουσαλὴμ ἐν πολλοῖς ἀποδέδεικται. Οὕτως οὖν ὁμοψύχως ἀποταξάμενοι ἔχουσι διάφορα χαρίσματα, καὶ ὡς ἐν τῇ ἄνω Ἱερουσαλὴμ ὄντες, οὕτως πολιτεύονται.

7, 8. Ὅτι ἐκεῖ εἰς τὴν ἄνω Ἱερουσαλὴμ ἐπηγγείλατο ὁ Κύριος λέγειν· «Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, ἀπολάβετε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου[2] εἰς τοὺς ἀτελευτήτους αἰῶνας.»

«Ὠδὴ τῶν ἀναβαθμῶν.» ΨΑΛΜ. ΡΛΓ΄.

1. Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου.
2. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου.
3. Ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.
4. Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ Ἅγια,
5. Καὶ εὐλογεῖτε τὸν Κύριον.
6. Εὐλογήσαι σε Κύριος ἐκ Σιών,
7. Ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ὠδὴ τῶν ἀναβαθμῶν τῷ Δαυίδ», ὅ ἐστιν, ὅτι ἡ ᾠδὴ αὕτη τῶν ἀναβαθμῶν τοῦ Δαυίδ ἐστι· τουτέστιν, οὐκ ἔτι ἐκ προσώπου τῶν ἐπιστρεψάντων ἐστὶν ἡ ᾠδή, ἀλλὰ «τῷ ἱκανῷ τῇ χειρί», λέγω δὴ τῷ Υἱῷ τοῦ Θεοῦ· οὕτω γὰρ ἑρμηνεύεται τὸ Δαυὶδ ὄνομα «ἱκανὸς χειρί.» Προστάσσει γὰρ αὐτὸς

1. Β΄ Κορ. 2, 15. 2. Ματθ. 25, 34.

ὁ Υἱὸς τοῦ Θεοῦ τοῖς ἀποταξαμένοις καὶ κατοικοῦσιν ἅμα ἐπὶ τὸ αὐτὸ ἐν εἰλικρινεῖ διανοίᾳ.

1. Ὑμῖν λέγω τοῖς ἀποταξαμένοις· ['Ιδοὺ δὴ] Ἱκανῶς «εὐλογεῖτε τὸν Κύριον», τουτέστιν ἐμέ· τὸ γὰρ δὴ ἱκανῶς ἑρμηνεύεται [«ἰδοὺ» δὴ ἑρμηνεύεται], οἱ ἐκδεδωκότες ἑαυτοὺς εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ, οἱ τῇ διανοίᾳ νήφοντες καὶ ἀνιστάμενοι, αὐτὴν παριστῶντες τῷ βουλήματι τοῦ Θεοῦ ἐν τῷ ὕψει τῶν οὐρανῶν.

2, 3. Καὶ ἑδραῖοι ὄντες ἐν ταῖς ἐντολαῖς τοῦ Θεοῦ καὶ ἐν αὐταῖς αὐλιζόμενοι.

4. Ἐν ταῖς ἐπερχομέναις ὑμῖν εἰσβολαῖς τοῦ σκότους, τουτέστι τοῦ ἐχθροῦ, ἀνατείνατε τὰς καρδίας ὑμῶν ἐν τοῖς οὐρανοῖς, ἀποβλέποντες τὰ ἀποκείμενα ὑμῖν ἀγαθά.

5. Καὶ δοξάζετε διὰ τῶν ἔργων τῆς δικαιοσύνης καὶ τῆς εὐχαριστίας τὸν Κύριον.

6, 7. Καταπέμψει σοι Κύριος ἐκ τῶν ἁγίων αὐτοῦ ὑψωμάτων τὴν χάριν αὐτοῦ σκέπουσάν σε καὶ ἁγιάζουσαν.

Διὰ τί δὲ ὁ ἀριθμὸς τῶν Ἀναβαθμῶν δέκα καὶ πέμπτων ψαλμῶν ὑπάρχει, λέξομεν τῇ χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ. Δῆλον πᾶσιν ὑμῖν ἐστιν, ὅτιπερ οἱ κατὰ Θεὸν προκόπτοντες υἱοὶ φωτός εἰσι, καὶ υἱοὶ ἡμῶν [ἡμέρας], ὡς αὐτὸ τοῦτο λέγει ὁ Ἀπόστολος γράφων Θεσσαλονικεῦσιν· «Ὅτι πάντες ὑμεῖς υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας·[1]» καὶ πάλιν μετ' ὀλίγα· «Ἡμεῖς δέ, ἡμέρας ὄντες νήφομεν·[2]» καὶ πάλιν αὐτὸς ὁ Κύριος περὶ ἑαυτοῦ ταῦτα λέγει ἐν Εὐαγγελίῳ, ἡμέραν ἑαυτὸν καὶ φῶς διαγράφων διὰ τοῦ λέγειν· «Ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ προσκόπτει, ὅτι τὸ φῶς τοῦ κόσμου τούτου βλέπει·[3]» καὶ πάλιν· «Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου.[4]» Οὐκοῦν, ὡς προείπαμεν, οἱ τῷ Κυρίῳ κολλώμενοι τῆς ἡμέρας καὶ τοῦ φωτός εἰσιν υἱοί. Οἴδατε καὶ τοῦτο, ἀγαπητοί, ὅτιπερ, ὅταν ἡ νὺξ τὸ τέλειον ἐκλείψει, δέκα καὶ πέμπτων ὡρῶν γίνεται ἐν ἡμέρᾳ. Διὰ τοῦτο οὖν καὶ ἀναβαθμοὶ δέκα καὶ πέμπτοι εἴρηνται, ἵνα δῆλον ᾖ πᾶσιν ὅτι περὶ τῆς τελείας ἡμέρας τοῦ φωτός, τουτέστι τοῦ ἐν Χριστῷ κατὰ πρόσβασιν εἰς τελειότητα φωτὸς ἀνερχομένων ἐν βαθμοῖς. Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ διὰ τοῦτο ἐν τρισκαιδεκάτῳ βαθμῷ, λέγω δὴ εἰς τό, «Μνήσθητι, Κύριε, τοῦ Δαυίδ[5]», εἴρηκε περὶ τῶν ἀποτεσσάρων βαθμῶν τῷ κόσμῳ [ἀποταξάντων τῷ κόσμῳ], ἵνα σημαίνῃ ὅτι πλείονος φωτὸς ἀξιοῦνται οἱ τοιοῦτοι. Ὑπερέβησαν γὰρ τὸν Ἰησοῦν βαθμὸν καὶ εἰς ὑψηλοτέραν γνῶσιν ἀναβεβήκασι τοῦ φωτὸς τοῦ Χριστοῦ. Ἐξέλιπε γὰρ παρ' αὐτοῖς νὺξ τῆς ἁμαρτίας· ἑαυτοὺς γὰρ δεδώκασι ἀναβαίνειν μὲν ἐν τῷ φωτὶ τῆς ἡμέρας, ὡσανεὶ τοῦ Χριστοῦ ἐπὶ τοὺς δέκα καὶ πέμπτους

1. Α' Θεσσ. 5, 5. 2. Α' Θεσσ. 5, 8. 3. Ἰω. 11, 9. 4. Ἰω. 8, 12. 5. Ψαλ. 131, 1.

ἀναβαθμούς, ἵνα δῆλον ᾖ πᾶσιν, ὅτι παρ' αὐτοῖς τὸ τέλειον ἐξέλιπεν ἡ νὺξ καὶ ἀνίσχυρος γίνεται ἡ ἁμαρτία, καθὼς προεῖπον· οἱ ἀναβαθμοὶ οὖν ταῖς ὥραις τῆς τελείας ἡμέρας ἀφωμοιωμένοι εἰσί, διηγούμενοι ἐκ προσώπου τοῦ ἀληθινοῦ φωτὸς καὶ τῶν τούτου υἱῶν.

«Ἀλληλούϊα.» ΨΑΛΜ. ΡΛΔ'.

1. Αἰνεῖτε τὸ ὄνομα Κυρίου,
2. Αἰνεῖτε, δοῦλοι Κύριον.
3. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου,
4. Ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.
5. Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς Κύριος.
6. Ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὅτι καλόν.
7. Ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ Κύριος.
8. Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ [ἑαυτοῦ].
9. Ὅτι ἐγὼ ἔγνωκα, ὅτι ὁ μέγας ὁ Κύριος·
10. Καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς.
11. Πάντα ὅσα ἠθέλησεν ὁ Κύριος ἐποίησεν
12. Ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ,
13. Ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις.
14. Ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς,
15. Ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν.
16. Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ.
17. Ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου,
18. Ἀπὸ ἀνθρώπου ἕως κτήνους.
19. Ἐξαπέστειλε σημεῖα καὶ τέρατα
20. Ἐν μέσῳ σου, Αἴγυπτε.
21. Ἐν Φαραὼ καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ.
22. Ὃς ἐπάταξεν ἔθνη πολλά·
23. Καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς·
24. Τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων,
25. Καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν,
26. Καὶ πάσας τὰς βασιλείας Χαναάν.
27. Καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν,
28. Κληρονομίαν Ἰσραὴλ λαῷ αὐτοῦ.
29. Κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶνα·
30. Καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.
31. Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ·
32. Καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.
33. Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον ἔργα χειρῶν ἀνθρώπων.
34. Στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν·
35. Ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψονται.

36. Ὦτα ἔχουσι καὶ οὐκ ἐνωτισθήσονται [ἀκούσονται]·
37. Οὐδὲ γάρ ἐστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν.
38. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά,
39. Καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς.
40. Οἶκος Ἰσραήλ, εὐλογήσατε τὸν Κύριον·
41. Οἶκος Ἀαρών, εὐλογήσατε τὸν Κύριον·
42. Οἶκος Λευΐ, εὐλογήσατε τὸν Κύριον·
43. Οἱ φοβούμενοι τὸν Κύριον, εὐλογήσατε τὸν Κύριον.
44. Εὐλογητὸς Κύριος ἐκ Σιών,
45. Ὁ κατοικῶν Ἱερουσαλήμ.

Ἀθανασίου Ἑρμηνεία

1. Ἐπαινεῖτε τὴν ὡραιότητα αὐτοῦ.
2. Οἱ ὑποτασσόμενοι αὐτῷ.
3. Οἱ ἀδιαλείπτως παριστάμενοι τῇ διανοίᾳ τῷ Θεῷ.
4. Ἐν τοῖς οὐρανοῖς.

4. Αἰνεῖτε τὸν Κύριον, ὅτι οὐ βούλεταί τινα ἀπολέσθαι, ἀλλὰ πάντας εἰς μετάνοιαν θέλει χωρῆσαι [1] καὶ τῶν αἰωνίων αὐτοῦ ἀγαθῶν ἀπολαῦσαι.

6. Ἀνυμνεῖτε τὸ ὄνομα αὐτοῦ ἐν καρδίᾳ καθαρᾷ, ὅτι τοῦτο ὑμῖν ἀποβήσεται εἰς σωτηρίαν.

7. Ὅτι τὸν λαὸν ὄντα κατὰ τὸν Ἰακὼβ ἄπλαστον τῇ καρδίᾳ ἐξελέξατο ἑαυτῷ ὁ Κύριος.

8. Τῇ καρδίᾳ τὸν Θεὸν [ὁρῶντας] περιεποιήσατο εἰς πλοῦτον ἑαυτῶν διὰ τοῦ ἰδίου αἵματος.

9. Συνετισθεὶς παρ' αὐτοῦ ἐπέγνων τὴν μεγαλειότητα αὐτοῦ διὰ τῆς ἰσχύος τοῦ θανάτου αὐτοῦ.

10. Καὶ αὐτὸς ὁ Κύριος ἡμῶν δυνατώτερός ἐστιν ὑπὲρ πάντας τοὺς θεούς, οἵπερ εἰσὶ λεγόμενοι μέν, οὐκ ὄντες δὲ θεοί, εἴτε ἐν τῷ οὐρανῷ, εἴτε ἐν τῇ γῇ.[2]

11, 12. Τῷ γὰρ βουλήματι αὐτοῦ οὐδεὶς οὔτε ἀντιστῆναι ἐδυνήθη, οὔτε ἀνθίσταται.

13. Καὶ ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ καὶ ἐν τοῖς ὕδασι τοῦ βαπτίσματος ἐν τῷ θανάτῳ ἑαυτοῦ πάντα ὅσα ἠθέλησεν, ἐποίησε, καὶ τὰς ἐναντίας δυνάμεις συνέτριψεν.

14. Ἐπ' ἐσχάτου τῶν ἡμερῶν τοῦ κόσμου ἀνέδειξε προφήτας τοὺς περὶ τὸν Ἄγαβον καὶ Συμεῶνα τὸν καλούμενον Νῆγερ καὶ Λούκιον τὸν Κυρηναῖον καὶ Μαναῆ τὸν Ἡρώδου τοῦ τετράρχου σύντροφον.[3]»

15. Τοὺς ἀποστόλους αὐτοῦ φαίνειν τῷ κόσμῳ ἀπὸ ἀνατολῶν

---

1. Πρβλ. Β' Πέτρ. 3, 9. 2. Πρβλ. Α' Κορ. 8, 5. 3. Πρβλ. Πράξ. 13, 1.

καὶ ἕως δυσμῶν καὶ ὡς ὑετὸν κατιέναι τὸν λόγον αὐτῶν εἰς τὴν καρδίαν τὴν ξηρανθεῖσαν διὰ τῆς ἁμαρτίας.

16. Τοὺς αὐτοὺς ἀποστόλους λέγει, τοὺς καταρτισθέντας ἐκ τῶν προσταγμάτων αὐτοῦ περιοδεῦσαι πᾶσαν τὴν γῆν.

17. Τὰς ἀρχὰς τοῦ σκότους· «Αἴγυπτος» γὰρ «σκότος» ἑρμηνεύεται.

18. Ἀπὸ τοῦ διαβόλου καὶ ἕως τῶν δυνάμεων αὐτοῦ τῶν ὄντων εἰς ἀκουστὴν [ὑπακοήν], καθὼς γέγραπται περὶ αὐτῶν ἐν τῷ Ἰώβ.

19, 20. Ἐξαπέστειλε διὰ τῶν ἀποστόλων αὐτοῦ ἐν τῷ σκότει σημεῖα καὶ τέρατα διὰ τῶν ἰάσεων, ὧν ἐπετέλουν,

21. Ἐπὶ διάβολον καὶ τοὺς ἀγγέλους αὐτοῦ.

22. Τὰς ἐναντίας δυνάμεις ἐν τῷ βαπτίσματι.

23. Τὰς ἐξουσίας καὶ τὰς ἀρχὰς τοῦ διαβόλου.

24. «Σηὼν» γὰρ ἑρμηνεύεται «πειρασμὸς θερμός·» «Ἀμορραίων» ἑρμηνεύεται «πικραινόντων ὑδάτων·» οὐκοῦν τὸν διάβολον σαφῶς λέγει τὸν βασιλέα τῶν δαιμόνων τῶν πικραινόντων πᾶσαν ψυχήν.

25. «Ὢγ» πάλιν ἑρμηνεύεται «ἀθροίζων·» «Βασὰν» δὲ ἑρμηνεύεται «αἰσχύνη ξηρὰ [αἰσχύνη ξηρασίας ἢ ξηρά»]· δῆλον οὖν, ὅτι θάνατον λέγει τὸν βασιλεύοντα τῆς ἁμαρτίας.

26. Καὶ πάσας τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ὡς προεῖπον, τῶν προσκυνούντων τῇ ἀνομίᾳ· τοῦτο γὰρ ἑρμηνεύεται «Χαναὰν προσκυνούντων ἀνομίαν.»

27, 28. Καὶ ἔθνη, ἃ τὸ πρότερον αὐτοὶ εἶχον διὰ τῆς πλάνης, ἔδωκαν αὐτὰ τοῖς ἀποστόλοις κληρονομῆσαι, τουτέστι περιποιήσασασθαι τοῖς ἀνδράσι τοῖς θεασαμένοις αὐτόν· «Ἰσραὴλ» γὰρ ἑρμηνεύεται «ἀνὴρ ὁρῶν Θεόν.»

29. Ἀνεξάλειπτον.

30. Καὶ ἡ μνήμη τῶν παθημάτων σου ἀεὶ διαμένει.

31. Ὅτι ποιήσει Κύριος τὴν ἐκδίκησιν τοῦ λαοῦ αὐτοῦ ἐκ τῶν ἐναντίων δυνάμεων.

32. Καὶ ἐπὶ τοῖς ὑπακούουσι τῷ λόγῳ τοῦ Εὐαγγελίου ἑαυτὸν δυσωπήσας καταλλαγήσεται.

33. Τὰ σώματα καὶ αἱ ψυχαὶ τῶν ἐθνικῶς βιούντων δεδούλωται τῇ φιλαργυρίᾳ· τὸ μὲν ἰδικὸν ὡς καὶ ἀλλαχοῦ εἴρηται δῆλόν ἐστιν, ἡ δὲ θεωρία τοῦτο βούλεται.

34. Οὐδὲν γὰρ εἰρηνικὸν ἐν τῷ στόματι αὐτῶν.

35. Ἐν σκότει γὰρ διαπορευόμενοι οὐκ ἀνανήψουσιν.

36. Οὐχ ὑπακούουσι γὰρ τοῖς τοῦ Θεοῦ προστάγμασιν, ὡς καὶ ὁ Κύριος πρὸς τοὺς τοιούτους ἔλεγεν· «Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.»

37. Οὐδὲ γὰρ ἔχουσι Πνεῦμα ἅγιον.

38. Ὁμοίως τῶν χρημάτων τῷ πυρὶ παραδοθήσονται οἱ θησαυρίζοντες αὐτά.

39. Καὶ πάντες οἱ πεποιθότες ἐπὶ πλούτου ἀδηλότητι.

40. Οἱ εὐθεῖαν ἔχοντες τὴν καρδίαν πρὸς τὸν Θεόν, δοξάσατε τὸν Κύριον· «Ἰσραὴλ» γὰρ ἑρμηνεύεται «εὐθύτης Θεοῦ.»

41. Οἱ ἑδραῖοι ὄντες περὶ τὴν πίστιν καὶ τὰς ἐντολὰς τοῦ Θεοῦ, δοξάσατε τὸν Κύριον· «Ἀαρὼν» γὰρ ἑρμηνεύεται «ὄρος δυνατόν.»

42. Οἱ προσκείμενοι τῷ Θεῷ, δοξάσατε τὸν Κύριον· «Λευὶ» γὰρ ἑρμηνεύεται «προσκείμενος.»

43. Οἱ εὐλαβεῖς τῇ καρδίᾳ, ἐγκωμιάσατε αὐτόν.

44, 45. «Σιὼν» ἑρμηνεύεται «διψῶσα·» «Ἱερουσαλὴμ» ἑρμηνεύεται «ὅρασις εἰρήνης·» ἐκ καρδίας οὖν διψώσης εὐλογητὸς Κύριος ὁ κατοικῶν ἐν αὐτῇ.»

«Ἀλληλούϊα.» ΨΑΛΜ. ΡΛΕ΄.

1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός·
2. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
3. Ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν·
4. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
5. Ἐξομολογεῖσθε τῷ Κυρίῳ τῶν κυρίων·
6. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
7. Τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ·
8. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
9. Τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει·
10. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
11. Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων·
12. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
13. Τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ·
14. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
15. Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας·
16. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
17. Τὴν σελήνην καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός·
18. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
19. Τῷ πατάξαντι Αἴγυπτον σὺν πρωτοτόκοις αὐτῶν·
20. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
21. Καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῶν·
22. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
23. Ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ·
24. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
25. Τῷ καταδιελόντι τὴν Ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις·
26. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
27. Καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς [ἐκ μέσου αὐτῶν]
28. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
29. Καὶ ἐκτινάξαντι Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν Ἐρυθράν.

30. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
31. Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ·
32. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
33. Τῷ πατάξαντι βασιλεῖς μεγάλους·
34. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
35. Καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς·
36. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
37. Τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων·
38. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
39. Καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν·
40. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
41. Καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν·
42. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
43. Κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ·
44. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
45. Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν Κύριος.
46. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
47. Καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν·
48. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
49. Ὁ διδοὺς τροφὴν πάσῃ σαρκί·
50. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
51. Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ·
52. Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ἀλληλούϊα.» Ἔν τισι δὲ ἀντιγράφοις εὕρομεν μετὰ τό, «Ἀλληλούϊα», καὶ «τῆς διπλῆς» [«διττῆς»]· ἐπιγεγραμμένης, ὡς καὶ ἐνταῦθα προγέγραπται. Τὸ «Ἀλληλούϊα», ὡς πολλάκις εἰρήκαμεν, ἑρμηνεία, «αἰνεῖτε τὸν Θεόν·» τὸ δέ, «τῆς διπλῆς», τοῦτο δηλοῖ, ὡς ὅτιπερ τῆς δευτέρας διαθήκης ἐστὶν οὗτος ὁ αἰὼν [αἶνος]. Ἐπειδὴ καθ' ἓν ἕκαστον, ὃ ἐποίησεν εἰς ἡμᾶς, πλουσίως ἐπεδείξατο τὸ ἔλεος αὐτοῦ, καθὼς αὐτὸς ὁ ψαλμὸς τοῦτο δηλοῖ ἐφ' ἑκάστου, ὧν ἐποίησεν ἐπ' ἐσχάτων τῶν ἡμερῶν λέγων· «Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.»

1, 2. Ἐξαγοράσατε τῷ Κυρίῳ τὰς ἁμαρτίας ὑμῶν, ὅτι οὐ μνησικακεῖ, διότι ἐλεήμων ὑπάρχει.

3. Ἐξομολογεῖσθε τῷ Θεῷ τῶν ἁγίων, τῶν κατὰ χάριν αὐτοῦ θεῶν γεγονότων.

5. Ἐξομολογεῖσθε τῷ δεσπόζοντι πάντων τῶν ἐν ὑπεροχῇ ὄντων.

7. Καὶ ἐπὶ τῶν υἱῶν Ἰσραὴλ καὶ ἐπὶ τῇ ἐνδόξῳ αὐτοῦ παρουσίᾳ.

9. Τῷ ἐμπλήσαντι τοὺς ἁγίους αὐτοῦ πνεῦμα συνέσεως, ἐν οἷς

κατοικεῖ καὶ ἐμπεριπατεῖ καὶ καταρτίσαντι αὐτοὺς εἰς σύνεσιν πνευματικήν.

11. Τὰς καρδίας τῶν ἐθνῶν εἰς τὴν πίστιν αὐτοῦ ἐν τοῖς ὕδασι τοῦ βαπτίσματος.

13. Τοὺς ἀποστόλους αὐτοῦ, καθὼς ἔλεγεν αὐτοῖς· «Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κοσμου·[1]» καί, «Οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων[2]», καὶ τὰ ἑξῆς.

15. Τοὺς ἁγίους ἄρχειν τοῦ λαοῦ τοῦ φωτός, αὐτὸς [περὶ αὐτῶν] γὰρ εἴρηται, ὅτι «τότε ἐκλάμψουσιν ὡς ὁ ἥλιος.[3]»

17. Τὴν Παλαιὰν Διαθήκην καὶ τοὺς προφήτας ἄρχειν τῶν τότε Ἰουδαίων.

19. Τῷ πᾶν τὸ πλῆθος τῶν δαιμόνων συντρίψαντι σὺν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις αὐτῶν.

21. Καὶ ῥυσαμένῳ τὸν λαὸν φωτισθέντα τῇ διανοίᾳ ἐκ τῆς δουλείας αὐτῶν.

23. Ἐν τῷ Υἱῷ αὐτοῦ τῷ μονογενεῖ.

25. Τῷ τὸν κόσμον διαμερίσαντι τοῖς ἀποστόλοις ἐν τῷ κηρύγματι αὐτῶν. Τὸ μὲν εἰδικὸν γεγενημένον τότε ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ ἐπὶ Μωϋσέως, ὡς πολλοὶ τῶν παλαιῶν ἱστοροῦσι, ὅτιπερ εἰς δύο καὶ δέκα μέρη διεῖλε τότε τὴν θάλασσαν τὴν Ἐρυθράν, ἵνα ἑκάστη φυλὴ ὁδὸν ὁδεύσῃ δι' αὐτῆς· διὸ καὶ οὕτω λέγει ὁ ψαλμός, «τῷ καταδιελόντι τὴν Ἐρυθρὰν θάλασσαν», καὶ οὐκ εἶπεν «εἰς διαίρεσιν», ἀλλ' «εἰς διαιρέσεις.» Αὕτη οὖν ἡ ἱστορία ἡ γενομένη ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ εἰς τύπον ὑπῆρχε τοῦ κόσμου τοῦ μέλλοντος διαιρεῖσθαι τοῖς δύο καὶ δέκα ἀποστόλοις παρὰ Κυρίου.

27. Καὶ αὐτὸν τὸν χορὸν τῶν ἀποστόλων τῶν θεασαμένων αὐτὸν διαγαγὼν διὰ μέσου τῆς οἰκουμένης.

29. Καὶ συντρίψαντι τὸν διάβολον καὶ τὴν δύναμιν αὐτοῦ ἐν τῷ βαπτίσματι· Ἐρυρθὰν δὲ θάλασσαν διὰ τοῦτο λέγει τὸ βάπτισμα ἐπεὶ ὡς ἐν τῇ θαλάσσῃ ζωογονοῦνται οἱ ἰχθύες αὐτῆς, οὕτω καὶ οἱ ἐν τῷ κόσμῳ τούτῳ νηχόμενοι ἄνθρωποι ζωοποιοῦνται, βαπτιζόμενοι ἐν τῷ αἵματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ· διὰ γὰρ τοῦτο εἴρηται Ἐρυθρά, ἵνα τὸ αἷμα τοῦ Κυρίου σημαίνῃ ἡμῖν.

31. Τῷ ποιμαίνοντι τὸν λαὸν αὐτοῦ ἐν τῷ κόσμῳ.

33. Τὰς ἀρχὰς τοῦ διαβόλου·

35. Καὶ τὰς ἐξουσίας αὐτοῦ.

37. «Σιὼν» ἑρμηνεύεται «πειρασμὸς θερμός», ὅς ἐστιν ὁ διάβολος, ὁ βασιλεὺς τῶν ἡδονῶν τοῦ κόσμου. «Ἀμορραίων» δὲ ἑρμηνεύεται «πικραινόντων ὑδάτων», ὅπερ εἰσὶν αἱ ἐναντίαι δυνάμεις, αἱ πικραίνουσαι πᾶσαν ψυχήν.

39. «Ὢγ» ἑρμηνεύεται «ἀθροίζων·» «Βασὰν» δὲ ἑρμηνεύεται

1. Ματθ. 5, 14. 2. Ματθ. 5, 16. 3. Ματθ. 13, 43.

«αἰσχύνη ξηρά·» τὸν θάνατον οὖν λέγει τὸν συνάγοντα μὲν τοὺς νεκρούς, βασιλεύοντα δὲ τῆς ἁμαρτίας.

41. Καὶ δόντι τῷ λαῷ τῷ πιστῷ τὴν ἄνω Ἱερουσαλήμ, ἐν ᾗ οὗτοι κατῴκουν πρὸ τοῦ ῥιφῆναι ἀπὸ τοῦ οὐρανοῦ.

43. Κληρονομίαν τοῖς ἁγίοις αὐτοῦ.

45. Ὅτι εἶδεν ἡμᾶς δεδουλωμένους ὑπὸ τῶν ἐναντίων δυνάμεων καὶ ἐσπλαγχνίσθη καὶ ἠλέησεν ἡμᾶς.

47. Καὶ ἐλυτρώσατο ἡμᾶς διὰ τοῦ πάθους αὐτοῦ ἐκ τῶν ἀκαθάρτων πνευμάτων.

49. Τὸ μὲν εἰδικὸν δῆλόν ἐστιν, ἡ δὲ ἑρμηνεία τοῦ Προφήτου τοῦτο δηλοῖ· ὁ ἑαυτὸν παρέχων τροφὴν εἰς ζωὴν αἰώνιον παντὶ ἀνθρώπῳ βουλομένῳ.

51, 52. Δοξάζετε τὸν Θεὸν τοῦ χοροῦ [οἱ χοροὶ] τῶν ἁγίων, διηγούμενοι τὰ προλεχθέντα, ὅτι ἀτελεύτητον τὸ ἔλεος αὐτοῦ.

«Ψαλμὸς τῷ Δαυὶδ διὰ Ἱερεμίου.» ΨΑΛΜ. ΡΛϚʹ.

1. Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος,

2. Ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν.

3. Ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιὼν [τὴν Σιών].

4. Ἐπὶ ταῖς ἰτέαις, ἐν μέσῳ αὐτῆς ἐκρεμάσασεν τὰ ὄργανα ἡμῶν.

5. Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς, λόγους ᾠδῶν·

6. Καὶ οἱ ἀπαγαγόντες ἡμᾶς, ὕμνον·

7. Ἄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών.

8. Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;

9. Ἐὰν ἐπιλάθωμαί σου, Ἱερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου.

10. Κολληθείη [Κολληθῇ] ἡ γλῶσσά μου τῷ λάρρυγί μου, ἐὰν μή σου μνησθῶ.

11. Ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλήμ, ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου.

12. Μνήσθητι, Κύριε, τῶν υἱῶν Ἐδώμ, τὴν ἡμέραν Ἱερουσαλήμ.

13. Τῶν λεγόντων· Ἐκκενοῦτε, ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς.

14. Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος·

15. Μακάριος, ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν.

16. Μακάριος, ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου [καὶ ἐδαφιεῖ αὐτὰ] πρὸς τὴν πέτραν.

᾿Αθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Τῷ Δαυὶδ διὰ Ἱερεμίου, ἀνεπίγραφος παρ᾿ Ἑβραίοις.» Αὕτη οὖν ἡ ἑρμηνεία τοῦ ἐπιγράμματος «τῷ ἱκανῷ τῇ χειρί», τῷ Υἱῷ τοῦ Θεοῦ, τουτέστιν «ἐξομολόγησις διὰ τοῦ βαπτίσματος τῶν προτέρων πονηρῶν πράξεων.» Τοῦτο γὰρ ἑρμηνεύεται τὸ «διὰ Ἱερεμίου», παροχὴ ὕδατος ὡσανεὶ τὸ βάπτισμα καὶ μνήμη τῶν προσερχομένων τῷ φωτίσματι ᾿Ιουδαίων, πῶς αἱ ἐναντίαι δυνάμεις ἠνάγκαζον αὐτοὺς λατρεύειν αὐταῖς. Τὸ δέ, «ἀνεπίγραφος παρ᾿ Ἑβραίοις», ἀπρόσδεκτος λέγει τοῖς ἀπειθοῦσι ᾿Ιουδαίοις· οὐ προείλαντο γὰρ τὸ βάπτισμα τοῦ Χριστοῦ.

1. «᾿Εν ταῖς ἐπιθυμίαις τῆς συγχύσεως.» Τοῦτο γὰρ ἑρμηνεύεται «Βαβυλῶνος», ἐν αἷς ἐδελεάσθημεν καὶ ἐξεκλύσθημεν ἐναπομείναντες.

2, 3. ᾿Εκεῖ ἐκλαύσαμεν μνησθέντες τῆς ἐντολῆς τοῦ Θεοῦ. «Σιὼν» γὰρ ἑρμηνεύεται «ἐντολή.»

4. Ἡ ἰτέα τέρψιν μὲν ἔχει τοῦ ἰδεῖν, ἄκαρπον δὲ δένδρον ὑπάρχει. Τοῦτο οὖν λέγει, ὅτι ἐν ταῖς ἀπάταις καὶ ματαιότητι τοῦ βίου ἐπεκρέμαντο τῇ ἐπιθυμίᾳ τὰ μέλη ἡμῶν ἐν μέσῳ τῆς συγχύσεως, τουτέστι ἁμαρτίας.

5-7. Ὅτι ἐκεῖ, ἐν τῇ συγχύσει ὄντων ἡμῶν τῆς ἁμαρτίας, λοιπὸν καὶ ἠπάτων ἡμᾶς αἱ ἐναντίαι δυνάμεις αἰχμαλωτεύσασθαι ἡμᾶς τοῦ λατρεύειν καὶ σέβεσθαι αὐτὰς καὶ λέγειν ἡμῖν· Δοξάσατε ἡμᾶς ὡς τὸν Θεὸν τοῦ οὐρανοῦ. Τὸ γὰρ «Σιὼν» πάλιν ἑρμηνεύεται «τόπος ὅπου ἡ σκηνή», ὡσανεὶ ὁ οὐρανός.

8. Ἡμεῖς δὲ πρὸς τὰς ἐναντίας δυνάμεις ἐλέγομεν· Πῶς ὑμῖν λατρεύσωμεν τοῖς δαίμοσι τοῖς γηίνοις τοῖς ἀλλοτρίοις;

9. Καὶ ἐν ἁμαρτίᾳ ὢν ἐὰν ἐπιλάθω σου, ᾿Ιησοῦ ἡ εἰρήνη ἡμῶν, ἀποπέσω τῆς βοηθείας σου· «Ἱερουσαλὴμ» γὰρ ἑρμηνεύεται «ὅρασις εἰρήνης», τουτέστιν ὁ Υἱὸς τοῦ Θεοῦ. ᾿Εωράθη γὰρ τῷ κόσμῳ εἰρήνη ὑπάρχων.

10. ᾿Εκλείψῃ ἡ ψυχή μου ζητοῦσα τὴν χάριν τοῦ ἁγίου Πνεύματος, καὶ ἡ μὴ τυγχάνουσα, ἐὰν μή σου μνησθῶ καὶ ἐπιστραφῶ πρός σέ.

11. «Ἱερουσαλὴμ» ἑρμηνεύεται «πνεῦμα χάριτος·» τοῦτο οὖν λέγει, ὡς νομίζω, ἐὰν μὴ πάντων τῶν ἐν τῷ κόσμῳ προτιμήσω τὴν χάριν τοῦ ἁγίου Πνεύματος, ἐν τῷ ἀνανήφειν τὴν καρδίαν μου.

12, 13. «᾿Εδὼμ» ἑρμηνεύεται «ἐκλείπων» [ἐκλείπουσα], ὅπερ ἐστὶν ὁ διάβολος. Μνήσθητι οὖν, λέγει, καὶ τοῦ ὀνειδισμοῦ τῶν ἐναντίων δυνάμεων, τῶν υἱῶν τοῦ πονηροῦ τοῦ λέγοντος· ᾿Εκλείπει, ἐκλείπει τὸ γένος τῶν πιστῶν· καὶ πάλιν εἰς τὸν αὐτὸν στίχον· «Τὴν ἡμέραν Ἱερουσαλήμ», τουτέστι τὸν φωτισμὸν τῆς ἄνωθεν γνώσεως διὰ τοῦ λουτροῦ τῆς ἀθανασίας.

14. Ταλαίπωρος ψυχὴ ἡ οὖσα θυγάτηρ τῆς συγχύσεως, ὡσανεὶ τῆς ἁμαρτίας· «Βαβυλὼν» γὰρ ἑρμηνεύεται «σύγχυσις.»

15. Μακάριος, λέγει, ἐστὶν ὃς οὕτως καταδουλώσει ἑαυτῷ τὴν ἁμαρτίαν, ὥσπερ αὐτὴ πρότερον κατεδούλωσεν αὐτόν.

16. Μακάριος ὅς, κυριεύσας τῶν σαρκικῶν ἐπιθυμιῶν, συντρίψει αὐτὰς πρὸς τὴν πέτραν, τουτέστι τὸν Χριστόν· «ἡ γὰρ πέτρα ἦν ὁ Χριστός[1]», καθὼς λέγει ὁ Ἀπόστολος.

«Ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΡΛΖ'.

1. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου.
2. Καὶ ἐναντίον τῶν ἀγγέλων ψαλῶ σε.
3. Ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου.
4. Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου·
5. Καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου,
6. Ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου·
7. Ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν [πάντας] τὸ ὄνομα τὸ ἅγιόν σου.
8. Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου·
9. Πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου.
10. Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντες οἱ βασιλεῖς τῆς γῆς·
11. Ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου.
12. Καὶ ᾀσάτωσαν ἐν ταῖς ὁδοῖς Κυρίου [ὁδοῖς σου, Κύριε].
13. Ὅτι μεγάλη ἡ δόξα Κυρίου.
14. Ὅτι ὑψηλὸς Κύριος καὶ τὰ ταπεινὰ ἐφορᾷ·
15. Καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει.
16. Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με [ζήσῃς με].
17. Ἐπ' ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖράς σου [χεῖρά σου].
18. Καὶ ἔσωσέ με ἡ δεξιά σου.
19. Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ.
20. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα·
21. Τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Ἀθανασίου Ἑρμηνεία.

1. Ὁ λαὸς τῶν φωτιζομένων λέγει· Ἐκδέδωκά σοι ἐμαυτόν.

2. Καὶ ἐπὶ τῶν ἁγίων ἀγγέλων τῶν παρεστώτων τῷ φωτίσματί σου ἀνυμνήσω σε.

3. Ὅτι προσεδέξω τὴν ἐξομολόγησίν μου καὶ ἠξίωσάς με τῆς χάριτός σου.

4. Εἰσελθὼν ἐν τῷ ἁγίῳ ναῷ σου προσκυνήσω σοι, μετὰ τὸ φωτισθῆναί με.

5. Καὶ ἐξομολογήσω ἐμαυτὸν δεδουλῶσθαι τῷ ὀνόματί σου,

---

1. Α' Κορ. 10, 4.

6. Διὰ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου, ἣν ἐποίησας εἰς ἐμέ.

7. Ὅτι και ἐπὶ πάντας δεδόξασται τὸ ὄνομά σου.

8. Ἀφ' οὗ ἠξίωσάς με τῆς υἱοθεσίας, μόνον βοῶ· «Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς[1]», εὐθὺς ἀκούεις μου.

9. Εἰς τὰς ὕψη ἐντολῶν σου ἀναγάγεις [ἀνάγαγε] τὴν ψυχήν μου τῇ δυνάμει σου.

10. Δοξάσουσί με πάντες οἱ πεπιστευκότες εἰς σέ.

11. Ὅτι ἐδέξαντο καὶ ἐπλήρωσας ἅπερ αὐτοῖς ἀπηγγείλω.

12. Καὶ ἐν ἀγαλλιάσει καρδίας ἀνυμνήσουσί σε, Κύριε.

13. Ὅτι ἀνεκλάλητός ἐστιν ἡ φιλανθρωπία τοῦ Θεοῦ.

14. Ὅτι τοσοῦτος καὶ τηλικοῦτος ὢν καὶ κατοικῶν ἐν τοῖς οὐρανοῖς, πρόνοιαν ποιῆσαι ἁμαρτωλῶν καὶ ταπεινῶν ἀνθρώπων, τουτέστιν ἡμῶν.

15. Καὶ τοὺς ἁγίους ἀπὸ προκαταβολῆς κόσμου προέγνω καὶ προώρισεν.

16. Ἐὰν ἐν τῇ ὁδῷ τῇ στενῇ τῶν ἐντολῶν σου πορευθῶ, ζήσεις με.

17. Ἐν τῷ τοὺς ἐχθρούς μου ζητεῖν με τοῦ ἀνελεῖν, ἀντελάβου μου διὰ τῆς παρουσίας σου.

18. Καὶ ἔσωσέ με ἡ χάρις σου.

19. Κύριος καταπολεμήσει τὰς ἐναντίας δυνάμεις, ὑπὲρ ὧν ἐπολέμησάν με.

20. Καὶ ἀληθάργητον τὸ ἔλεός σου τοῦτο, ὃ ἐποίησας τῷ γένει τῶν ἀνθρώπων.

21. Καὶ ἕως τέλους μὴ παρίδῃς, οὓς ἐποίησας κατ' εἰκόνα σήν.

«Εἰς τὸ τέλος τῷ Δαυίδ.» ΨΑΛΜ. ΡΛΗ'.

1. Κύριε, ἐδοκίμασάς με καὶ ἔγνως με.

2. Σὺ ἔγνως τὴν καθέδραν μου καὶ τὴν ἔγερσίν μου.

3. Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν.

4. Τὴν τρίβον μου καὶ σχοῖνόν μου σὺ ἐξιχνίασας,

5. Καὶ πάσας τὰς ὁδούς μου προεῖδες

6. Ὅτι οὐκ ἔστι δόλος ἐν γλώσσῃ μου.

7. Ἰδού, Κύριε, σὺ ἔγνως πάντα τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα·

8. Σὺ ἔπλασάς με καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου.

9. Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ·

10. Ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν.

11. Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου;

12. Καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;

13. Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ·

---

1. Ματθ. 6, 9.

14. Ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει.
15. Ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον.
16. Καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης·
17. Καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με·
18. Καὶ καθέξει με ἡ δεξιά σου.
19. Καὶ εἶπα· Ἄρα σκότος καταπατήσει με.
20. Καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου.
21. Ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ,
22. Καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται·
23. Ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς.
24. Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου·
25. Ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου.
26. Ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης.
27. Θαυμάσια τὰ ἔργα σου καὶ ἡ ψυχή μου γινώσκει σφόδρα.
28. Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ,
29. Ὃ ἐποίησας ἐν κρυφῇ.
30. Καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς.
31. Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου.
32. Καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται·
33. Ἡμέρας πλασθήσονται, καὶ οὐδεὶς ἐν αὐτοῖς.
34. Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός·
35. Λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν.
36. Ἐξαριθμήσομαι αὐτοὺς καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται·
37. Ἐξηγέρθην καὶ ἔτι εἰμὶ μετὰ σοῦ.
38. Ἐὰν ἀποκτείνῃς ἁμαρτωλούς, ὁ Θεός.
39. Ἄνδρες αἱμάτων, ἐκκλίνατε ἀπ' ἐμοῦ·
40. Ὅτι ἐρισταί ἐστε εἰς διαλογισμούς·
41. Λήψονται εἰς ματαιότητα τὰς πόλεις [σου].
42. Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα;
43. Καὶ ἐπὶ τοὺς ἐχθρούς σου [τοῖς ἐχθροῖς σου] ἐξετηκόμην;
44. Τέλειον μῖσος ἐμίσουν αὐτούς·
45. Εἰς ἐχθροὺς ἐγένοντό μοι.
46. Δοκίμασόν με, ὁ Θεός, καὶ γνῶθι τὴν καρδίαν μου·
47. Ἔτασόν με καὶ γνῶθι τὰς τρίβους μου.
48. Και ἴδε, εἰ ὁδὸς [εἰ ἔστιν ὁδὸς] ἀνομίας ἐν ἐμοί·
49. Καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ», ὅπερ ἑρμηνεύεται περὶ ἐπ' ἐσχάτων τῶν ἡμερῶν μελλόντων ἔσεσθαι, εἴρηται ὁ ψαλμὸς «τῷ ἱκανῷ τῇ χειρί», τῷ Υἱῷ τοῦ Θεοῦ.

1. Κύριε, διακρίνας τὰς ἐνθυμήσεις μου καὶ τὴν διάνοιαν τῆς καρδίας μου ἔγνως, ὁποῖος ἀποβήσομαι ἐνώπιόν σου.

2. Σύ ἔγνως, τί ἐστιν ἡ ἀνάπαυσις τῆς καρδίας μου καὶ ἡ προθυμία τῆς ψυχῆς μου.

3. Σὺ πρὸ τοῦ με γενηθῆναι εἴδης [οἶδας] ἅπερ μέλλω διαλογίζεσθαι.

4. Τὴν ἐν τῷ κόσμῳ τούτῳ συναναστροφήν μου καὶ ὁποίων ἔργων ἀγαθῶν, ἢ πονηρῶν ἤμελλον, ἢ μέλλω ἐκτελεῖν πλοκὴν ἐν ταῖς ἡμέραις μου, σὺ ἕως τέλους κατάλεπτον οἶδας τὴν ἀπόβασιν αὐτῶν.

5. Τὰς πράξεις μου προγινώσκεις.

6. Καὶ οἶδας, ὅτι οὐ λέγω ψευδῆ.

7. Σὺ γὰρ τὰ μέλλοντα ἔσεσθαι καὶ τὰ γεγονότα ἐπίστασαι. Ἔστι δὲ καὶ ἄλλως θεωρῆσαι τὸν στίχον, ὅτι κατὰ Προφήτην εἴρηται· «Ἰδού, Κύριε, σὺ ἔγνως πάντα τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα», τουτέστι, σὺ μέλλεις ἔχειν πάντα τὰ ἔσχατα ἔθνη καὶ τὰ ἀρχαῖα τῶν Ἰουδαίων γένη.

8. Σὺ ἐδημιούργησάς με καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν βοήθειάν σου σκέπουσάν με.

9. Μνησθεὶς τό, τίς ὑπάρχει ἡ δύναμίς σου, ἔξω ἐμαυτοῦ γέγονα ἀποθαυμάζων ἐν ἐμαυτῷ.

10. Ἀνείκαστος ὑπάρχει ἡ δύναμίς σου, οὐ δύναμαι ἀντιστῆναι πρὸς αὐτήν.

11. Ποῦ γὰρ δύναμαι κρυβῆναι ἀπὸ τὸ ἅγιόν σου Πνεῦμα, τὸ γινῶσκον [τοῦ ἁγίου σου Πνεύματος, τοῦ γινώσκοντος] τὰ πάντα;

12. Καὶ ἀπὸ σοῦ τὰ πάντα ἐφορῶντος, ποῦ δύναμαι φυγεῖν; ὅτι «πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς σου.[1]»

13. Ἀχώριστος εἶ τῶν πατρικῶν κόλπων.

14. Ἐθανατώθης γὰρ δι' ἐμέ.

15. Τοῦτό μοι μόνον περιλείπεται, ἐὰν ἄρα ἀναλάβω τὰς ἐνθυμήσεις τῆς καρδίας μου, καταφύγω ἐν τῷ φωτίσματι τῆς πίστεώς σου.

16. Καὶ δώσω ἐμαυτὸν εἰς τὸ βάπτισμα.

17, 18. Καὶ γὰρ ἐκεῖ ἡ χάρις σου ὁδηγήσει με καὶ περικρατήσει με.

19. Καὶ ἐλογισάμην κατ' ἐμαυτὸν λέγων· Ἆρα οὕτως ἀνάσχωμαι ἕως τέλους κυριεύεσθαι ὑπὸ τῆς ἁμαρτίας;

20. Καὶ ἐλογισάμην δοῦναι ἐμαυτὸν τῇ καταδύσει τοῦ βαπτίσματος, ὅτι φωτισμὸς καὶ τρυφή μού ἐστι τὸ λουτρὸν τῆς ἀθανασίας· ἐκεῖ γὰρ καταλιμπάνω τὰς ἁμαρτίας μου.

21. Ὅτι πᾶσα ψυχὴ ἐν σκότει καθημένη, ἐλθοῦσα ἐπὶ τὸ βάπτισμα, οὐκ ἔτι σκοτισθήσεται, ἀπὸ τοῦ σε τὸ ἀληθὲς φῶς ἐπιβῆναι ἐν αὐτῇ.

1. Ἑβρ. 4, 13.

22. Καὶ ἡ ἐν ἁμαρτίαις ἐπινοσοῦσα ψυχή, διεγερθεῖσα ἐν τῷ βαπτίσματι, ὡς ἡμέρα φωτισθήσεται, ἀνατείλαντός σου ἐν αὐτῇ.

23. Οὕτως γὰρ μιμεῖται ἐν τῷ βαπτίσματι πᾶσα ψυχὴ φωτιζομένη ὑπὸ σοῦ τὴν τριήμερον τοῦ θανάτου σου καὶ τῆς ἀναστάσεως νύκτα καὶ ἡμέραν.

24. Ὅτι σὺ ἐξηγόρασας πᾶσαν τὴν ἰσχύν μου τῷ τιμίῳ σου αἵματι.

25. Βοηθόν μοι δέδωκας εὐθέως ἀπὸ τῆς κολυμβήθρας τὸ Πνεῦμά σου τὸ ἅγιον.

26. Ἐκδώσω σοι ὅλον ἐμαυτόν, ὅτι ὑπερβαλλόντως δεδόξασαι.

27. Ἐκπλήξεως μετὰ [μεστὰ] ὑπάρχουσι τὰ παθήματά σου καὶ ἡ ψυχή μου πιστεύει ἐν αὐτοῖς ἕως τέλους.

28. Οὐ παρεωράθη παρὰ σοῦ τὸ ἀσθενὲς τῆς ψυχῆς μου,

29. Καὶ ἡ ὑπόστασις αὐτῆς ἡ παλαιωθεῖσα ἐν ἁμαρτίαις.

30. Ἀνεκαίνισας γάρ με ἐν κρυφῇ, τουτέστιν ἐν τῷ βαπτίσματι τὴν καρδίαν μου.

31. Τὸ διεφθαρμένον μου καὶ ἄχρηστον τῆς διανοίας οὐ παρεῖδες, ἀλλ' ἐποιήσω πρόνοιαν.

32. Καὶ οἱ ἀξιωθέντες τοῦ βαπτίσματός σου πάντες ἐν βίβλῳ σμιλίῳ ἐτάγησαν [τῆς ζωῆς ἐγράφησαν] ἐν τοῖς οὐρανοῖς.

33. Ἐν τῷ φωτὶ τοῦ βαπτίσματος ἀνακαινοῦνται καὶ οὐδεὶς ἄλλος ἐκεῖ εἰ μὴ σὺ μόνος ἐν αὐταῖς.

34. Ἐμοὶ δὲ τοῦ λοιποῦ τίμιοι ὑπάρχουσιν οἱ ἀπόστολοί σου, πρὸς οὓς εἰρήκαμεν· «Ὑμεῖς φίλοι ἐστέ.[1]»

35. Ἰσχυρῶς κατεδυνάστευσεν ἡ ἐξουσία τοῦ κηρύγματος αὐτῶν.

36. Δώδεκά εἰσι καὶ τὸν κόσμον ὅλον διὰ τοῦ λόγου αὐτῶν περιποιήσονται εἰς υἱοὺς καὶ θυγατέρας.

37. Ἐζωοποιήθην διὰ τοῦ βαπτίσματος καὶ ἀδιαλείπτως ἔσομαι μετὰ σοῦ.

38. Ἐὰν θανατώσῃς ταύτας τὰς ἐναντίας δυνάμεις, ὁ Θεός·

39. Τοῖς δαίμοσι λέγει· Αἱμοπόται μισάνθρωποι, ἀναχωρήσατε ἀπ' ἐμοῦ·

40. Ὅτι ἐνθυμήσεις πονηρὰς ὑποτίθεσθε πολεμοῦντες.

41. Αἰχμαλωτίζουσι τὰς ψυχὰς τῶν ἀνθρώπων εἰς μάτην· πάλιν γὰρ ἐπιστρέψουσι πρὸς σέ.

42. Ἐγὼ δὲ πάντας τοὺς ἀνθισταμένους τῇ ἀληθείᾳ σου, Κύριε, ἐμίσησα.

43. Καὶ ἐπὶ τοῖς ἀπειθοῦσιν ἐξετηκόμην ἀπὸ τοῦ ζήλου. Καὶ ἄλλως δὲ νοεῖται ὁ αὐτὸς στίχος· καὶ ἐπὶ ταῖς ἐναντίαις δυνάμεσι διὰ τῆς νηστείας καὶ ἐγκρατείας.

44. Οὔτε προσηγόρευον τοὺς ἐχθροὺς τῆς πίστεώς σου.

---

1. Ἰω. 15, 14.

45. Οὕτως ἐβδελυσσόμην αὐτούς, ὡς ἐπισυστῆναι αὐτοὺς ἅμα ἐπ' ἐμέ, εἰς τὸ φονεῦσαί με.
46. Ἐπίσκεψαι τὴν καρδίαν μου καὶ πρόσχες, εἰ εἰς πάντα ἐπακούει σου.
47. Ἀνάκρινον τὴν καρδίαν μου καὶ ἐπίγνωθι τὰς ἐνθυμήσεις μου.
48. Καὶ ἐὰν εὕρῃς ἐν ἐμοὶ ἐπιθυμίαν πονηράν, φυγάδευσον αὐτὴν τῇ χάριτί σου.
49. Καὶ ὁδήγησόν με ἐν τῇ αἰωνίῳ [αἰωνίᾳ] ζωῇ.

«Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΡΛΘ'.

1. Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ·
2. Ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με.
3. Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ·
4. Ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους.
5. Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως·
6. Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν.
7. Φύλαξόν με, Κύριε, ἐκ χειρὸς ἁμαρτωλοῦ.
8. Ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με·
9. Οἵτινες διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου.
10. Ἔκρυψαν ὑπερήφανοι παγίδα μοι·
11. Καὶ σχοινίοις διέτειναν παγίδα τοῖς ποσί μου·
12. Ἐχόμενα τρίβου σκάνδαλα ἔθεντό μοι.
13. Εἶπα τῷ Κυρίῳ· Θεός μου εἶ σύ.
14. Ἐνώτισαι, Κύριε, τὴν φωνὴν τῆς δεήσεώς μου.
15. Κύριε, Κύριε, δύναμις τῆς σωτηρίας μου,
16. Ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου.
17. Μὴ παραδῷς με, Κύριε, ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ.
18. Διελογίσαντο κατ' ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν.
19. Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν.
20. Κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς·
21. Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες·
22. Ἐν πυρὶ καταβαλεῖς αὐτοὺς [ἐν τῇ γῇ].
23. Ἐν ταλαιπωρίαις καὶ οὐ μὴ ὑποστῶσιν.
24. Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς·
25. Ἄνδρα ἄδικον κακὰ θηρεύσει [θηρεύσῃ] εἰς διαφθοράν.
26. Ἔγνων, ὅτι ποιήσει Κύριος τὴν κρίσιν τῶν πτωχῶν,
27. Καὶ τὴν δίκην τῶν πενήτων.
28. Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου·
29. Καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Εἰς τὸ τέλος τῷ Δαυὶδ ψαλμός», ὅπερ ἑρμηνεύεται περὶ τῶν ἐπὶ συντελείᾳ τῶν αἰώνων μελλόντων ἔσεσθαι τοῖς ἀνθισταμένοις τῇ ἀληθείᾳ, καὶ περὶ τῆς μισθαποδοσίας τῶν ἁγίων εἴρηται ψαλμὸς «τῷ ἱκανῷ τῇ χειρί», τουτέστιν τῷ Υἱῷ τοῦ Θεοῦ· τοῦτο γὰρ ἑρμηνεύεται «Δαυίδ», ὡς πολλάκις εἰρήκαμεν.

1. Λύτρωσαί με, Κύριε, ἐκ τῶν ἐχόντων μόρφωσιν μὲν εὐσεβείας τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι.

2. Ἀπὸ παντὸς ὁπλιζομένου κατὰ τῆς ἀληθείας·

3. Οἵτινες τὴν ὑπόκρισιν ἔχουσιν ἐν ἑαυτοῖς.

4. Ἀδιαλείπτως ταχινοί εἰσι τοῦ ἐκχέαι αἷμα.

5. Διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἀπατῶσι τὰς ψυχὰς τῶν ἀκάκων, ὥσπερ ὁ ὄφις διὰ τῶν λόγων αὐτοῦ Εὔαν ἐξηπάτησεν.

6. Ἡ διδασκαλία αὐτῶν καὶ ἡ νουθεσία θανατηφόρος τυγχάνει, ὡς ὁ ἰὸς τῆς ἀσπίδος.

7. Φύλαξόν με, Κύριε, ἐκ τῶν τοιούτων, ὅτι χεὶρ τοῦ διαβόλου ὑπάρχουσιν.

8. Ἀπὸ ἀνθρώπων «τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων [1]» ἐξελοῦ με.

9. Οἵτινες ἐσκέχαντο [ἐψεύσαντι] πιθανότητας λόγων ἀπὸ τοῦ καταγαγεῖν με ἀπὸ τῆς εἰς Χριστὸν πίστεως.

10. Συνήγαγον ἑαυτοὺς [ἑαυτοῖς] οἱ τῇ ἀληθείᾳ τοῦ Θεοῦ ἀνθιστάμενοι λόγους τινὰς ζητημάτων παγιδεῦσαί με θέλοντες.

11. Καὶ πλοκάς τινας τῶν διεστραμμένων αὐτῶν λόγων προσέτεινάν μοι ἐπὶ τὸ λαβέσθαι μου.

12. Καὶ ζητήσεις τινὰς βλαβερὰς καὶ ἀνωφελεῖς προσεβάλοντό μοι.

13, 14. Ἐγὼ δὲ εἶπα τῷ Κυρίῳ· Θεός μου εἶ σὺ ὁ σταυρωθείς· ἄκουσον, Κύριε, τοῦ στεναγμοῦ τῆς καρδίας μου.

15. Κύριε, Κύριε, τὰ παθήματά σου εἰσὶν εἰς σωτηρίαν μου.

16. Κατέπεμψας τὴν χάριν σου φρουρεῖν τὴν καρδίαν μου ἐν τῷ καιρῷ τῆς ἀντιθέσεως τῆς ψευδωνύμου αὐτῶν συνέσεως.

17. Μὴ συγχωρήσης, Κύριε, τῷ διαβόλῳ ἀποστῆσαί με τῆς πίστεώς σου· αὕτη γὰρ ὑπάρχει ἡ ἐπιθυμία μου.

18. Ἐσκέψαντό τινας ἐξερευνήσεις κατ' ἐμοῦ, πρὸς τὸ ἀπατῆσαί με· μὴ ἀντανέλης τὴν χάριν σου, μήποτε καυχήσωνται, ὡς ἠδικήσαντο.

19. Τὸ φρόνημα τῆς καρδίας αὐτῶν ἀσθενὲς ὑπάρχει.

20. Ἀσθενῆσαι ποίησαι [ποιήσει] καὶ τοὺς λόγους τῆς σοφίας αὐτῶν καὶ πεσοῦντε [ἐπιπεσοῦνται] ἅμα αὐτῶν.

---

1. Ῥωμ. 1, 18.

21. Οἱ γὰρ λόγοι τῆς χάριτος, οὓς λαλήσω πρὸς αὐτούς, ὡς ἄνθρακες [σου] ἐπιπεσοῦνται ἐπ' αὐτοὺς [σὺν αὐτοῖς].
22. Καὶ τῷ Πνεύματί σου τῷ ἁγίῳ νεκρώσεις αὐτούς.
23. Ἐν ταῖς ταλαιπωρίαις τῶν σεσοφισμένων αὐτῶν λόγων οὐ μὴ δυνηθῶσιν ἀντιστῆναι πρὸς σὲ [πρὸς] τὴν ἀλήθειαν.
24. Ἀνδριζόμενος κατὰ σοῦ καὶ λαλῶν διεστραμμένως οὐκ εἰσελεύσεται εἰς ἄνω Ἱερουσαλήμ.
25. Ἄνδρα ἀνθιστάμενον τῇ ἀληθείᾳ τοῦ Θεοῦ καὶ αἱ λοιπαὶ ἁμαρτίαι περικυκλώσουσι, φυλάττουσαι αὐτὸν εἰς ἀπώλειαν.
26. Οἶδα, ὅτι ποιήσει Κύριος τὴν ἐκδίκησιν τῶν ἁγίων αὐτοῦ.
27. Καὶ τὴν ἐκδίκησιν τῶν καταπονουμένων νῦν διὰ τὴν εἰς Χριστὸν ἐλπίδα.
28. Πλὴν γὰρ αὐτῶν τῶν ἁγίων οὐδεὶς ἕτερος τῶν ἀδίκων ἐστὶν ὁ δοξάζων σε.
29. Καὶ οὕτως πάντοτε ἔσονται [σὺν σοὶ] οἱ ἅγιοί σου χαρᾷ ἀνεκλαλήτῳ θεωροῦντες τὴν δόξαν σου καὶ ἀπαύστως ὑμνοῦντές σε.

«Ψαλμὸς τῷ Δαυίδ.» ΨΑΛΜ. ΡΜ'.

1. Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου·
2. Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου,
3. Ἐν τῷ κεκραγέναι με πρὸς σέ.
4. Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου·
5. Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή.
6. Θεοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου·
7. Καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.
8. Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας.
9. Τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις,
10. Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν·
11. Καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.
12. Παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με·
13. Ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου·
14. Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν.
15. Κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν·
16. Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἠδυνήθησαν [ἡδύνθησαν].
17. Ὡσεὶ πάχος γῆς ἐρράγη ἐπὶ τῆς γῆς·
18. Διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην.
19. Ὅτι πρὸς σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοί μου,
20. Ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.
21. Φύλαξόν με ἀπὸ παγίδος, ἧς συνεστήσαντό μοι,
22. Καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.
23. Πεσοῦνται ἐν ἀμφιβλήστρῳ οἱ ἁμαρτωλοί·
24. Καταμόνας εἰμὶ ἐγώ, ἕως ἂν [ἕως οὗ] παρέλθω.

'Αθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Δαυίδ», ὅπερ ἑρμηνεύεται «ψαλμὸς τῷ ἱκανῷ τῇ χειρί», τουτέστι τῷ Υἱῷ τοῦ Θεοῦ· τοῦτο γάρ, ὡς ἐν τοῖς ἔμπροσθεν εἰρήκαμεν, τὸ «τοῦ Δαυὶδ» ὄνομα· καὶ ἄλλας δὲ ἑρμηνείας ἔχει τὸ αὐτὸ ὄνομα· ἐνταῦθα τοῦτο ἑρμηνεύεται, ὡς προγέγραπται.

1. Κύριε, ἐν ὀδύνῃ τῆς καρδίας μου ἀνεβόησα πρὸς σέ, εἰσάκουσόν μου.

2. Πρόσχες τῷ πόνῳ τῆς καρδίας μου,

3. Ἐν τῷ στένειν αὐτὴν πρὸς σέ.

4. Ἀνειμησαμένη [Ἀνιμησαμένη] ἡ χάρις σου τὴν προσευχήν μου καὶ ἡδέως ἑλκύσασα πρὸς ἑαυτήν, ὡς θυμίαμα κατέχει παρ' ἑαυτῇ.

5. Ἡ ἀναβόησις τῆς καρδίας μου οὕτως εὑρεθῇ ἐνώπιόν σου, ὡς ἡ θυσία, ἣν ἀναπέμπουσιν οἱ ἅγιοι ἄγγελοί σου ἐπιστρέφοντες πρὸς σὲ ἀπὸ τῆς διακονίας τῶν μελλόντων κληρονομεῖν σωτηρίαν.

6, 7. Ἀσφάλισαι, Κύριε, τὸ στόμα μου καὶ τὴν χάριν σου δός μοι περὶ τὰ χείλη μου, ἵνα μὴ ἐκπορεύηται ἐκ τοῦ στόματός μου λόγος σαπρὸς καὶ ὑπὲρ ἀργοῦ λόγου εὑρεθῶ λόγον διδούς, ἀλλὰ μᾶλλον εἴ τι πρὸς οἰκοδομὴν τῶν ἀκουόντων ἵνα λέγω καὶ πληρωθῇ ἐν ἐμοὶ τό, «Διήνοιξε τὸ στόμα αὐτοῦ.»

8. Μὴ συγχωρήσῃς τὴν καρδίαν μου δοῦναι ἑαυτὴν εἰς λόγους ὑποκρίσεως,

9. Τοῦ συντιθεῖν τινας ἀφορμὰς ἔθελον εὐλόγους.

10. Μετὰ ἀνθρώπων τῶν μὴ πειθομένων τῷ νόμῳ σου, ἀλλ' ἀφόβως ἑαυτοὺς ποιμαινόντων·

11. Καὶ οὐ μὴ σύνθομαι [συνθῶμαι τῇ διδασκαλίᾳ] τὴν διδασκαλίαν τῶν ἱερέων αὐτῶν.

12. Παιδεύσει με πᾶς ποιῶν τὴν δικαιοσύνην καὶ λαλῶν ἀλήθειαν ἐν σπλάγχνοις Χριστοῦ και ἐπιπλήξει μοι.

13. Ἡ δὲ ἀγάπη καὶ ἡ κολακία τῶν ἐχθρῶν τῆς ἀληθείας μὴ πλησιάσει τῇ διανοίᾳ μου.

14. Ὅτι διὰ πάντων τοῦτο προσεύχομαι, τὸ τοῖς ἴχνεσι τῶν ἁγίων ἀκολουθῆσαι.

15. Ἀνηλώθησαν καταλειφθέντες ὑπὸ τῶν ἁγίων οἱ ἄρχοντες τῶν ἀσεβῶν.

16. Ἰσχύσει ἡ δέησίς μου ἐνώπιόν σου καὶ πληρωθήτω ἅπερ ᾐτησάμην σε.

17. Εἶδον τὸν Σατανᾶν πεσόντα ἐκ τοῦ οὐρανοῦ καὶ συντριβέντα ὡσεὶ βόλιν [βόλον] γῆς.

18. Πᾶσα ἡ ἰσχὺς αὐτῶν διεφθάρη ἐν ταῖς ἐπιθυμίαις τοῦ θανάτου.

19. Ὅτι πρὸς σέ, Κύριε, οἱ ὀφθαλμοὶ τῆς διανοίας μου ἀνατεταγμένοι ὑπάρχουσιν.

20. Ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν χάριν σου τὴν συνιστῶσαν τὴν ψυχήν μου.

21. Φύλαξόν με ἀπὸ πάσης αὐτῶν διδασκαλίας νομιζόμενον [νομιζομένης] ἔχειν τινὰ τροφὴν τῇ ψυχῇ, ἐν ἑαυτῇ οὔσης δὲ συλλήψεως εἰς θάνατον.

22. Καὶ ἀπὸ τῶν δαιμόνων τῶν ὑποτιθέντων μοι τὰς ἡδονὰς τοῦ βίου.

23. Συλληφθῶσιν ἐν ταῖς ἀπάταις τοῦ βίου οἱ ἐν τῷ πελάγει αὐτοῦ διάγοντες.

24. Οὐκ ἂν δουλώσω ἐμαυτὸν τῇ ἁμαρτίᾳ, ἕως ἂν τελέσω τὸν δρόμον μου.

«Συνέσεως τῷ Δαυίδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ προσευχόμενον»

ΨΑΛΜ. ΡΜΑ΄.

1. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα·
2. Φωνῇ μου πρὸς Κύριον [πρὸς τὸν Θεὸν] ἐδεήθην.
3. Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου·
4. Τὴν θλίψιν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.
5. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου,
6. Καὶ σὺ ἔγνως τὰς τρίβους μου.
7. Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.
8. Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον·
9. Καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.
10. Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ·
11. Καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.
12. Ἐκέκραξα πρὸς σέ, Κύριε,
13. Εἶπα· Σὺ εἶ ἡ ἐλπίς μου,
14. Μερίς μου εἶ ἐν γῇ ζώντων.
15. Πρόσχες πρὸς τὴν δέησίν μου·
16. Ὅτι ἐταπεινώθην σφόδρα.
17. Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με·
18. Ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.
19. Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου,
20. Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.
21. Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Συνέσεως τῷ Δαυὶδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ προσευχόμενον.» Τοῦτο οὖν ἐστι· τὸ «τοῦ Δαυὶδ» ὄνομα διαφόρως ἑρμηνεύεται, ὡς πολλάκις εἰρήκαμεν· ὅτε

γὰρ εἰς πρόσωπον τοῦ Κυρίου εὑρήσεις αὐτὸ κείμενον, ἑρμηνεύεται «ἱκανὸς χειρί·» ὅτε δὲ εἰς πρόσωπον τῶν δικαίων ἑρμηνεύεται «πεποθημένος»· ὅτε δὲ εἰς πρόσωπον τῶν ἁμαρτανόντων καὶ ἐπιστρεφόντων εὑρήσεις αὐτὸ κείμενον, «ἐξουθενημένον» διὰ τὰς ἁμαρτίας αὐτοῦ. [Ψαλμὸς οὖν εἴρηται] εἰς τὸν λαὸν τὸν ἡμαρτηκότα καὶ εἰς σύνεσιν ἐλθόντα καὶ ἐν σπηλαίῳ ἑαυτὸν κατακλείσαντα καὶ προσευχόμενον μετὰ δακρύων ἰσχυρῶν ἐξομολογούμενον· ὡς δὲ αὐτὸ τοῦτο δηλοῖ, ὁμοίως δὲ καὶ ὁ ψαλμὸς σαφῶς τοῦτο διδάσκει.

1. Ἐν ὀδύνῃ τῆς καρδίας μου ἐστέναξα πρὸς σέ.

2. Καὶ μὴ τολμῶ [τολμῶν] τὰ χείλη μου ἀνοῖξαι ἐνώπιον αὐτοῦ, στεναγμοῖς ἀλαλήτοις πρὸς αὐτὸν ἐδεήθην.

3. Διὸ δάκρυα τῆς ψυχῆς μου ἐνώπιον αὐτοῦ ἐκχεῶ.

4. Καὶ τὰς ἁμαρτίας μου, ἅσπερ οἶδε πρὸ τῶν ἐμῶν ῥημάτων, ἐνώπιον αὐτοῦ ἐξομολογήσομαι.

5. Καὶ νῦν καὶ εἰς τὰ ἔσχατα τῶν ἡμερῶν μου.

6. Καὶ σύ, καρδιογνῶστα πάντων, γινώσκεις τὰς πονηράς μου πράξεις.

7. Ἐν παντὶ χρόνῳ τῆς ζωῆς μου ἐνεφύτευσαν εἰς τὴν καρδίαν μου τὴν πονηρὰν τοῦ βίου ἐπιθυμίαν.

8. Καὶ ἀνανήψας ἐλογιζόμην ἐν ἑαυτῷ, εἰ ἄρα ἐποίησά τι ἀγαθὸν ἐνώπιόν σου.

9. Καὶ παντελῶς οὐκ ἦν ἐν ἐμοὶ ἀποκείμενον ἔργον ἀγαθόν.

10. Καὶ διελογιζόμην τὸ πρὸς τίνα φύγω καὶ ἐν ἀμηχανίᾳ ἤμην.

11. Οὐδὲ γὰρ ἦν πρόνοιάν μου ποιούμενος τῆς ψυχῆς.

12, 13. Ὡς οὖν εἶδον, ἐμαυτὸν ἀπήλπισα [ἀπηλπισμένον] καὶ μετὰ δακρύων ἀνεβόησα πρὸς σέ, Κύριε, καὶ εἶπα· Ἀπολογίαν οὐκ ἔχω ἐνώπιόν σου· εἰς δὲ τὴν φιλανθρωπίαν σου ἐλπίζω, ὅτι ἐλεήσεις με.

14. Κληρονομία εἶ ἐν τῇ ἄνω Ἱερουσαλὴμ τῇ πόλει τῶν ἁγίων σου.

15, 16. Πρόσχες πρὸς τὴν δέησίν μου καὶ πλήρωσον αὐτήν, ὅτι δεδουλωμένος εἰμὶ τῇ ἁμαρτίᾳ.

17. Ῥῦσαί με ἀπὸ τῶν ἐναντίων δυνάμεων τῶν θελόντων με ἀποστῆσαι ἀπὸ σοῦ.

18. Ὅτι, ἐμοῦ ἡμαρτηκότος, αὗται ἰσχυρότεραί μου γεγόνασιν.

19. Ἐξάγαγε ἐκ τῶν δεσμῶν καὶ τοῦ σκότους τῶν ἀνομιῶν τὴν ψυχήν μου·

20. Ὅπως, ἐλθὼν ἐν τῷ φωτί σου, δυνηθῶ ἐξομολογήσασθαί σοι, ἅπερ πέπρακταί μοι· πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστι.

21. Ἐμὲ ὑπομενοῦσι πάντες οἱ δίκαιοί σου καὶ αἱ ἅγιαί σου δυνάμεις, ἵνα ἐπιστρέψω, καὶ ἀντὶ τοῦ πένθους, οὗ ἔχω ἐν τῇ ψυχῇ μου, δώρησαί μοι εὐφροσύνην, συγχωρήσας μοι τὰ παραπτώματα, καὶ

λοιπὸν συνήθως χαρὰν ποιήσωσιν ὑμνοῦντές σε ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι [1], τουτέστιν ἐμοί.

«Ψαλμὸς τῷ Δαυίδ, ὁπότε κατεδίωκεν αὐτὸν Ἀβεσαλὼμ ὁ υἱὸς αὐτοῦ.»
ΨΑΛΜ. ΡΜΒ΄.

1. Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου·
2. Ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.
3. Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου,
4. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου·
5. Ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.
6. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου·
7. Ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.
8. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος,
9. Καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου·
10. Ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.
11. Ἐμνήσθην ἡμερῶν ἀρχαίων·
12. Ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου.
13. Ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.
14. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου·
15. Ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.
16. Ταχὺ εἰσάκουσόν μου, Κύριε·
17. Ἐξέλιπε τὸ πνεῦμά μου.
18. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ,
19. Καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.
20. Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου·
21. Ὅτι ἐπὶ σοὶ ἤλπισα.
22. Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι.
23. Ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.
24. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε,
25. Πρὸς σὲ κατέφυγον.
26. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.
27. Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ·
28. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με ἐν τῇ δικαιοσύνῃ σου.
29. Ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου,
30. Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.
31. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου·
32. Ὅτι ἐγὼ δοῦλός σου εἰμί.

1. Πρβλ. Λουκ. 15, 10.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Δαυίδ, ὁπότε αὐτὸν κατεδίωκεν Ἀβεσαλὼμ ὁ υἱὸς αὐτοῦ.» «Δαυὶδ» οὖν ἑρμηνεύεται ἔνθα «πεποθημένος», τουτέστι ὁ ἐπιστρέφων πρὸς τὸν Κύριον λαὸς τῶν Ἰουδαίων. Ἢ «τότε» [εἶτα, ὁπότε] «αὐτὸν κατεδίωκεν Ἀβεσαλὼμ ὁ υἱὸς αὐτοῦ·» «Ἀβεσαλὼμ» ἑρμηνεύεται «πατὴρ εἰρήνης·» τὸν λαὸν οὖν τὸν ἐπιστρέφοντα τῶν Ἰουδαίων κατεδίωκε ὁ πατὴρ τῆς εἰρήνης Ἰησοῦς ὡσανεὶ ὁ δρομέως [δρομεύς]· κατελήλυθεν Ἰησοῦς ἐκ τῶν οὐρανῶν τοῦ κατασχεῖν αὐτὸν εἰς σωτηρίαν. Τοῦτο γὰρ μεμνημένος ὁ Προφήτης ἔλεγεν· μετὰ δὲ τῆς ἄλλης ἑρμηνείας τῆς παρακειμένης τῷ στίχῳ τοῦ ὀγδοδεκάτου ψαλμοῦ ὁμοίως δὲ τοῦτο δηλῶν τὸ καταβεβηκέναι αὐτὸν ἐκ τῶν οὐρανῶν ἐν τῷ λέγειν αὐτόν· «Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν, ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ.» Αὕτη οὖν ἡ ἑρμηνεία τοῦ ἐπιγράμματος· Ψαλμὸς τῷ λαῷ τῶν Ἰουδαίων τῷ ἐπιστρέψαντι πρὸς τὸν Θεόν, ὅτε ὁ πατὴρ τῆς εἰρήνης Ἰησοῦς κατεδίωκεν ἀπὸ τῶν οὐρανῶν τὸ γένος τῶν ἀνθρώπων συλλαβεῖν αὐτοὺς εἰς σωτηρίαν. Τὸ δὲ εἰπεῖν ἐν τῷ ἐπιγράμματι, «ὅτε ὁ υἱὸς τὸν πατέρα αὐτοῦ κατεδίωκε», δῆλον εὑρήσεις τοῦτο. Ὁ γὰρ Πατὴρ τῆς εἰρήνης Ἰησοῦς, ὁ Υἱὸς γεγονὼς κατὰ χάριν ἰδίαν τῶν Ἰουδαίων, οὕτως ἐσπούδαζε συλλαβεῖν αὐτοὺς ὑπὸ τὰς πτέρυγας αὐτοῦ εἰς σωτηρίαν.

1, 2. Κύριε, πλήρωσον τὴν προσευχήν μου καὶ ἄκουσον τὴν δέησίν μου ἐν τῷ Υἱῷ σου ὑπάρχων.

3. Καὶ πλήρωσον αὐτὴν δι' αὐτοῦ.

4. Καὶ μὴ θελήσῃς συνᾶραι λόγον μετ' ἐμοῦ, τουτέστιν ἐξέτασιν ποιήσασθαι τῶν ἀνομιῶν μου.

5. Ὅτι οὐκ ἔστιν δίκαιος, οὔτε εἷς· «Πάντες γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης σου, δικαιούμενοι δωρεὰν τῇ σῇ χάριτι.[1]»

6. Συνέσχεν ὁ διάβολος τὴν ψυχήν μου.

7. Ἐθανάτωσεν εἰς τὰς γηίνας ἐπιθυμίας τὴν ψυχήν μου.

8. Ὡς τοὺς νεκροὺς ἐν τοῖς μνήμασιν ἀποκλείουσι καὶ ἐῶσιν αὐτοὺς ἐν τῇ δυσωδίᾳ τῆς διαφθορᾶς αὐτῶν, οὕτως πεποίηκέ μοι καὶ ὁ διάβολος. Ἀπέκλεισε γάρ με ἐν τῇ δυσωδίᾳ τῶν ἁμαρτιῶν μου διαφθείρεσθαι καὶ οὕτως προσώζουσα, ὥστε τὴν δυσωδίαν ὧν ἔπραξα μὴ φέρειν τὴν ψυχήν μου, ἀλλ' ἑαυτὴν βδελύττεσθαι.

9. Καὶ τὸ συνειδὸς τῆς καρδίας μου,

10. Μνησθέντος μου τῆς μελλούσης κρίσεως, φόβῳ συνεσχέθη.

11. Ἐμνήσθην γὰρ τῶν προτέρων μου ἡμερῶν τῶν παλαιωθεισῶν ἐν ἀνομίαις.

---

1. Ῥωμ. 3, 23-24.

12. Καὶ ἠρξάμην ἐπιστρέψας γυμνάζειν ἐμαυτὸν ἐν τοῖς ἔργοις τῆς εὐσεβείας.
13. Καὶ ὡς ἐξ ἀρχῆς ἐδημιούργησάς με, ἐπειρώμην τοιοῦτος εὑρεθῆναι ἐνώπιόν σου.
14. Ἀνατείνας τὴν καρδίαν μου, μετ' ὀδύνης ἐβοήθησα [ἀνεβόησα] πρὸς σέ.
15. Ἄκαρπος ὑπάρχει καὶ κεχώρισται μὴ ἔχουσα ἐν ἑαυτῇ τὸ Πνεῦμά σου τὸ ἅγιον.
16. Δέομαί σου, Κύριε· ταχὺ πλήρωσον ὅπερ αἰτοῦμαι.
17. Τεθανάτωμαι γὰρ ὑπὸ τῆς ἁμαρτίας.
18. Μὴ βδελύξῃ με διὰ τὸ ὄνομά σου.
19. Καὶ ὅμοιος γένωμαι τῶν μὴ ὁρώντων τοῦτο τὸ φῶς καὶ πιπτόντων εἰς βόθρον καὶ ἀπὸ τοῦ κἀμὲ οὕτως ἐμπίπτειν καὶ ἐναπομένειν τῇ ἁμαρτίᾳ.
20, 21. Ὅτι ἐπὶ σοὶ ἤλπισα, οὕτως ἐλέησόν με.
22. Ὥστε πάντας γνῶναι, ὅτιπερ ἠλέησάς με ἐν τῷ τὸ φῶς σου ἀνατεῖλαι ἐν ἐμοί.
23. Ὅτι σοι προσήγαγον τὴν ψυχήν μου, ὅτι ἀπὸ σκότους εἰμὶ [ἐσκοτισμένος] τῶν πρώτων μου ἁμαρτιῶν καὶ οὐκ οἶδα τὸ πῶς πορευθῶ πρὸς τὸ ἐγγίσαι σοι, δός μοι τὴν ὁδηγοῦσάν με πρὸς σέ.
24. Ἐξελοῦ με ἐκ τῶν δαιμόνων, Κύριε.
25. Ὅτι ὑπὸ τὴν σὴν δεσποτείαν θέλω εἶναι.
26. Καὶ ἐπειδὴ νήπιός εἰμι ἀκμὴν ἐν ταῖς ἐντολαῖς σου, κατήχησόν με, τί τὸ τέλειον καὶ εὐάρεστον ἐνώπιόν σου.
27. Σοῦ τοῦ ἀγαθοῦ τὸ ἀγαθὸν καὶ ἅγιον Πνεῦμα ὁδηγήσει με καταντῆσαι ἐν τῇ ἄνω Ἱερουσαλήμ.
28. Ὅτι ζῶν ὑπάρχων καὶ τοῦτο ὄνομά σοι, κἀμὲ τὸν νεκρωθέντα ζωοποίησον ἐν τῷ Υἱῷ σου τῷ δικαιοκρίτῃ.
29. Ἐξάξεις με ἐκ τοῦ σκότους καὶ τῶν δεσμῶν τῶν προκειμένων τῇ ψυχῇ μου.
30. Καὶ ὁρῶν τοὺς μώλωπας τῆς ψυχῆς μου, οὓς πεποίηκάν μοι οἱ ἐχθροί μου, εὐσπλαγχνίσθητι καὶ τῷ αἰωνίῳ πυρὶ παράδος αὐτούς.
31. Καὶ πάντας τοὺς ὑποτιθεμένους τῇ καρδίᾳ μου τὰς τοῦ βίου πονηρὰς ἐπιθυμίας ἀπώλεσον εἰς τὴν γέενναν τοῦ πυρός.
32. Ὅτι ἐγὼ τῷ τιμίῳ αἵματι ἐξηγοράσθην.

«Ψαλμὸς τῷ Δαυίδ, πρὸς τὸν Γολιάθ.» ΨΑΛΜ. ΡΜΓ'.

1. Εὐλογητὸς Κύριος ὁ Θεός μου, ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν.
2. Τοὺς δακτύλους μου εἰς πόλεμον,
3. Ἔλεός μου καὶ καταφυγή μου,
4. Ἀντιλήπτωρ μου καὶ ῥύστης μου,

5. Ὑπερασπιστής μου καὶ ἐπ' αὐτῷ ἤλπισα,
6. Ὁ ὑποτάσσων τὸν λαόν μου ἐπ' ἐμὲ [ὑπ' ἐμέ].
7. Κύριε, τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ;
8. Ἢ υἱὸς ἀνθρώπου, ὅτι λογίζῃ αὐτῷ [αὐτόν];
9. Ἄνθρωπος ματαιότητι ὡμοιώθη·
10. Αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι.
11. Κύριε, κλῖνον οὐρανοὺς καὶ κατάβηθι.
12. Ἅψαι τῶν ὀρέων καὶ καπνισθήσονται.
13. Ἄστραψον ἀστραπὴν καὶ σκορπιεῖς αὐτούς.
14. Ἐξαπόστειλον τὰ βέλη σου καὶ συνταράξεις αὐτούς.
15. Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους·
16. Ἐξελοῦ με καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν,
17. Ἐκ χειρὸς υἱῶν ἀλλοτρίων·
18. Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα,
19. Καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας.
20. Ὁ Θεός, ᾠδὴν καινὴν ᾄσομαί σοι.
21. Ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι·
22. Τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσι·
23. Τῷ λυτρουμένῳ Δαυὶδ τὸν δοῦλον αὐτοῦ ἐκ ῥομφαίας πονηρᾶς [ῥύσεται αὐτόν.]
24. Ῥῦσαί με καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων·
25. Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα,
26. Καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας.
27. Ὧν οἱ υἱοὶ αὐτῶν ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν.
28. Αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ.
29. Τὰ ταμιεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο.
30. Τὰ πρόβατα αὐτῶν πολυτόκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν·
31. Οἱ βόες αὐτῶν παχεῖς.
32. Οὐκ ἔστι κατάπτωμα φραγμοῦ οὐδὲ διέξοδος·
33. Οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν.
34. Ἐμακάρισαν τὸν λαόν, ᾧ ταῦτά ἐστι·
35. Μακάριος ὁ λαός, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ψαλμὸς τῷ Δαυίδ, πρὸς τὸν Γολιάθ·» τοῦτο οὖν λέγει τῷ λαῷ τῷ πεποθημένῳ ὑπὸ τοῦ Θεοῦ πρὸς τὸν διάβολον· ἑρμηνεύεται γὰρ τὸ τοῦ «Δαυίδ» ὄνομα «πεποθημένος», καὶ τὸ τοῦ «Γολιὰθ» ὄνομα «μετοικίζων», τουτέστιν «αἰχμαλωτίζων», ὅπερ σαφῶς ὁ διάβολός ἐστιν, ὁ πάντας αἰχμαλωτίζων.

1. Κατὰ φύσιν εὐλογητὸς ὁ Κύριος ὁ Θεός μου, ὁ τῇ χάριτι τοῦ

ἁγίου Πνεύματος αὐτοῦ διδάσκων τὴν καρδίαν μου εὐτρεπίζειν ἑαυτὴν πρὸς πάντα πειρασμόν.

2. Καὶ τὴν διάνοιάν μου ἀνθίστασθαι πρὸς πάντα τὰ βέλη τοῦ ἐχθροῦ τὰ πεπυρωμένα.

3. Ἀνάπαυσίς μου καὶ σκέπη μου.

4. Ὑπὲρ ἐμοῦ ἐδίδων [ὁ διδοὺς] ἑαυτὸν ἕως θανάτου καὶ ῥυόμενός με.

5. Πρόνοιάν μου ποιεῖται καὶ πᾶσαν τὴν μέριμνάν μου ἐπ᾿ αὐτὸν ἐπέρριψα.

6. Ὁ ἐκχύων με [ὁ ἐνισχύων με] ὑποπιάζειν μου τὸ σῶμα καὶ δουλαγωγεῖν αὐτό.

7. Κύριε, τί ἐστιν ἄνθρωπος, ὅτι κατηξίωσας αὐτῷ ὀφθῆναι ἐπὶ τῆς γῆς;

8. Ἢ τί ἐστι πάλιν υἱὸς πηλοῦ, ὅτι οὐκ ἐπιλανθάνεις αὐτοῦ, ἀδιαλείπτως καὶ πρόνοιαν αὐτοῦ τοσαύτην ποιούμενος.;

9. Ἕκαστος τῶν ἀνθρώπων τῷ κόσμῳ τούτῳ ὡμοιώθη.

10. Ἀνωφελεῖς καὶ ἀνυπόστατοι.

11. Κύριε, κλίνας σου τοὺς οὐρανούς, ἐλθὲ πρὸς ἡμᾶς.

12. Πλησίον μόνον γενοῦ τῶν ἐναντίων δυνάμεων καὶ εὐθέως ἄρξονται καταφλέγεσθαι.

13. Ὁράθητι μόνον ἐπὶ τῆς γῆς καὶ θεασάμενοι τὸ ἀπαύγασμα εἰς τὴν γῆν πεσοῦνται ὑπὸ τῶν ἀνθρώπων.

14. Ἀπόστειλον τοὺς ἀποστόλους σου κατ᾿ αὐτῶν ἠκονημένη [ὡς βέλη ἠκονημένα], ὀξεῖς ὄντας τῇ χάριτι τοῦ ἁγίου Πνεύματος καὶ ἀσθενεῖς εἰς αὐτοὺς ποιήσωσιν.

15. Τῷ Θεῷ Πατρὶ πάλιν προσεύχεται λέγων· Πέμψον τὸν Υἱόν σου ἐκ τῶν ἁγίων σου ὑψωμάτων.

16. Ἐλευθέρωσόν με δι᾿ αὐτοῦ ἀπὸ τῶν πνευμάτων τούτων πονηρῶν τῶν πολλῶν, τῶν βυθιζόντων με.

17. Ἐκ τῆς δυναστείας τῶν υἱῶν τοῦ πονηροῦ, τῶν ἐναντίων δυνάμεων·

18. Ὧν ἡ διδασκαλία πᾶσα οὐδὲν ζωοποιὸν ἔχει, ἀλλὰ πάντα εἰς διαφθορὰν καὶ ἀπώλειαν.

19. Οὐ μόνον τὰ ἀριστερὰ αὐτῶν ἀπώλειά ἐστιν, ἀλλὰ καὶ ἡ δεξιὰ αὐτῶν θανάτου [θάνατος] ὑπάρχει.

20. Καθαράν, ἄμωμον ὑπὲρ τοῦ πάθους σου.

21. Ἐν τῇ χάριτι τοῦ ἁγίου Πνεύματος ἐν ταῖς δέκα ἐντολαῖς καταρτίσας ἐμαυτόν, δοξάσω σε δι᾿ ἔργων ἀγαθῶν.

22. Τῷ ζωοποιοῦντι διὰ τῆς χάριτος αὐτοῦ τοὺς ἁγίους τοὺς ἐν τῇ γῇ βασιλεύοντας κατὰ τῆς ἁμαρτίας καὶ ἐν οὐρανῷ τοὺς ἀτελευτήτους αἰῶνας.

23. Τῷ δεδωκότι ἑαυτὸν ἀντίλυτρον τῷ θανάτῳ ὑπὲρ τοῦ λαοῦ τοῦ πεποθημένου, ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ διαβόλου.

24. Ῥῦσαι καὶ ἀπόσπασόν με ἐκ τῆς ἐξουσίας τῶν ἐναντίων δυνάμεων·

25. Ὧν ἡ διδαχὴ διέσπειρε ἀνομίαν καὶ ἁμαρτίαν ἐν τοῖς ἀνθρώποις.

26. Καὶ ἡ δύναμις αὐτῶν αὕτη ἐστίν, τί ἵνα ἁρπάσωσι καὶ βίᾳ καταδουλώσωνται.

27. Καὶ ἐν ταῖς ἐπιθυμίαις καὶ ταῖς ἀνομίαις τῶν δαιμόνων γεγεννημένοι, εὐθηνοῦσι πλούτῳ καὶ δόξῃ, ὁρώμενοι παρὰ τῶν ἀνθρώπων ἐν τῇ ἀπάτῃ αὐτῶν ἐπαινούμενοι ὡς νεόφυτα ἰσχυρὰ καὶ εὐθαλῆ.

28. Καὶ αἱ ψυχαὶ αὐτῶν πάσῃ περιβολῇ πολυτελεῖ ἠμφιεσμέναι καὶ χρυσῷ καὶ ἀργύρῳ καὶ λίθῳ πολυτελεῖ δορυφορούμεναι.

29. Αἱ καρδίαι αὐτῶν πεπληρωμέναι πάσης ἀνομίας καὶ ἁμαρτίας καὶ ἐκ τούτου τοῦ πονηροῦ ἐπιτηδεύματος εἰς ἄλλο δεινότερον μετέρχονται ἐπιθύμημα.

30. Οἱ αὐτοὶ ἄνθρωποι, τῆς ἁμαρτίας ὄντες ἐπιθυμηταί, ἐφευρεταί εἰσι κακῶν, ἐξάγοντες ἐκ τῆς καρδίας αὐτῶν διαλογισμοὺς πονηρούς.

31. Οἱ διδάσκαλοι αὐτῶν σπαταλῶντες ἐν ταῖς εὐωχίαις αὐτῶν καὶ μεγαλαυχοῦντες κατὰ τῆς ἀληθείας.

32. Οὐκ ἔστι τινὰ ἐπιμεῖναι τοῖς κτήμασιν αὐτῶν οὐδὲ παρελθεῖν ἑαυτοῖς· πάσῃ γὰρ φυλακῇ τηροῦνται.

33. Οὐδέ τινα τολμῆσαι ἐν ταῖς οἰκίαις αὐτῶν· τοσοῦτον φόβον ἔχουσιν.

34. Καὶ λοιπὸν οἱ ἄνθρωποι ἐμακάρισαν, ᾧ ταῦτα ὑπῆρξεν.

35. Ἐγὼ δὲ λέγω· Μακάριος ὁ λαός, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ, πλοῦτος αὐτοῦ καὶ δόξα ὑπάρχων. Καὶ ἄλλως δὲ ἔστι θεωρῆσαι τοὺς προκειμένους στίχους πάλιν εἰς τοὺς ἁγίους αὐτοῦ· ὅτι τῶν μὲν δαιμόνων τὰ πρόβατα καὶ οἱ βόες εἰσί, καθὰ ἑρμηνεύεται περὶ αὐτῶν· ἐν δὲ τοῖς δικαίοις οὐκ ἔτι τὴν βοήθειαν [βόσκημα] αὐτῶν παλαιωθῆναι καὶ πεσεῖν [βόσκειν]· οὐδὲν γὰρ ὑπερηφανίας ἐν ταῖς διανοίαις αὐτῶν· ἐμακάρισαν αἱ Γραφαί, ᾧ ταῦτα ὑπάρχει λέγουσαι· «Μακάριος ὁ λαός, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ.»

«Αἴνεσις τῷ Δαυίδ.» ΨΑΛΜ. ΡΜΔ'.

1. Ὑψώσω σε, ὁ Θεός μου ὁ βασιλεύς μου·
2. Καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα,
3. Καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
4. Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε,
5. Καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα,
6. Καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
7. [Γαμὲλ] Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα,
8. [Δαλὲθ] Καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας.
9. Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου.
10. [Ἢ] Καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι.

11. Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι.
12. [Οὐαῦ] Καὶ τὰ θαυμάσιά σου διηγήσονται
13. Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι,
14. [Ζηεὶ] Καὶ τὴν μεγαλωσύνην σου διηγήσονται [καὶ τὴν δυναστείαν σου λαλήσουσιν].
15. Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται.
16. [Ἢθ] Καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται.
17. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος.
18. Μακρόθυμος καὶ πολυέλεος.
19. Χρηστὸς Κύριος τοῖς σύμπασι,
20. Καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.
21. [᾿Ιὼθ] ᾿Εξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου,
22. [Χὰμ] Καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε.
23. Δόξαν τῆς βασιλείας σου ἐροῦσι.
24. [Σαβὲδ] Καὶ τὴν δυναστείαν σου λαλήσουσι.
25. Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου.
26. Καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου.
27. Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων,
28. Καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.
29. [Σὰμ] Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ,
30. Καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.
31. [Χὰμ] Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας,
32. Καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους.
33. [Μεὶ] Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι,
34. Καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ [αὐτοῖς ἐν εὐκαιρίαις]·
35. [Φὴ] ᾿Ανοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῷον εὐδοκίας.
36. Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ,
37. Καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.
38. [Κὼφ] ᾿Εγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν,
39. Πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.
40. [Ῥὴς] Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει,
41. Καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται καὶ σώσει αὐτούς.
42. [Σὲμ] Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν.
43. Καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει.
44. [Θαῦ] Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου,
45. Καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.
46. Εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

᾿Αθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει «Αἴνεσις τῷ Δαυίδ», τουτέστι

«τῷ ἱκανῷ τῇ χειρί», τῷ Υἱῷ τοῦ Θεοῦ· τοῦτο γὰρ ἑρμηνεύεται «Δαυίδ», ὡς πολλάκις εἰρήκαμεν.

1. Δοξάσω σε, ὁ Θεὸς ὁ βασιλεύς μου, ὁ διδάξας με γνῶναι· τὸ γὰρ παρακείμενον τῷ στίχῳ ὄνομα τὸ «Ἀλὲφ» ἑρμηνεύεται «διδασκαλία.»

2. Ἐν τῷ νῦν,

3. Καὶ ἐν τῷ μέλλοντι αἰῶνι.

4. Καθ' ἑκάστην πρᾶξιν τοῦ φωτός σου δοξάσω σε ἐν τῇ καρδίᾳ μου· τοῦτο γὰρ δηλοῖ ἡ συλλαβὴ ἡ παρακειμένη τῷ στίχῳ· ἑρμηνεύεται γὰρ τὸ «Βήθ», «οἶκος», ὅπερ ἐστὶν ἡ καρδία.

5. Οὐ διαλείψῃ ὕμνος ἐκ τοῦ στόματός μου ἐκπορευόμενος ἐν τῷ νῦν αἰῶνι.

6. Καὶ ἐν τῇ κρίσει καὶ εἰς τοὺς αἰῶνας τῆς αἰωνίου αὐλῆς σου.

7. Θώραξ μου ἐν πολέμῳ ὁ Κύριος καὶ αἰνετός ἐστι τῇ καρδίᾳ μου ἕως τέλους· τοῦτο γὰρ σημαίνει τὸ «Γαμὲλ» ὄνομα τὸ τῷ στίχῳ παρακείμενον· ἑρμηνεύεται γὰρ «θώραξ», ὅπερ ἐστὶν ὁ «Κύριος ἡμῶν», καθὼς εἶπεν ὁ Ἀπόστολος.

8. Καὶ οὐκ ἔστιν κτίσις ἡ χωροῦσα αὐτόν.

9. Οἱ γεννώμενοι ἐκ τῆς χάριτός σου θαυμάσουσι τὰ προστάγματά σου· τὸ γὰρ παρακείμενον τῷ στίχῳ ὄνομα τὸ «Δαλὲθ» ἑρμηνεύεται «γέννησις».

10. Ἡ συλλαβὴ ἡ τῷ στίχῳ παρακειμένη «Ἢ» λεγομένη ἑρμηνεύεται «ἀλῶναι», ὅπερ ἐστὶν ὁ «Κύριος», καὶ πάλιν ἑρμηνεύεται «δέξασθε·» ὁ λαός, οὖν, ἅμα τὰς ἑρμηνείας τῆς συλλαβῆς συνάψας, εὑρήσεις, Κύριός ἐστιν, δέξασθε. Διὸ καὶ ὁ στίχος αὐτὸ τοῦτο δηλοῖ λέγων· Ὅτι Θεὸς εἶ, κηρύξουσί σε.

11, 12. Τὸ ἀπαύγασμα τῆς δόξης τοῦ προσώπου σου διηγήσονται, ὅτε μετεμορφώθης ἔμπροσθεν αὐτῶν καὶ τὰ θαύματά σου, ἃ ἐποίησας ἐν τῇ παρουσίᾳ σου, διηγήσονται ἐν τῇ οἰκουμένῃ· ἑρμηνεύεται γὰρ «Οὐαῦ», «ἐν αὐτῇ», τουτέστιν ἐν τῇ παρουσίᾳ καὶ ἐν τῇ οἰκουμένῃ·

13, 14. Καὶ τὴν δύναμιν τῶν ἰάσεών σου τῶν φοβερῶν λέξουσιν ἐν Εὐαγγελίῳ καὶ τὸ ἀμέτρητόν σου ἔλεος διηγοῦνται· τὸ γὰρ παρακείμενον τῷ στίχῳ, ὃ λέγεται «Ζαΐν», ἑρμηνεύεται «ἔλεος».

15. Τὸ μνημόσυνον τῆς ἀμετρήτου σου ἀγαθότητος κηρύξουσιν, ὅτι Θεὸς ὢν «ὑπέμεινας σταυρόν, αἰσχύνης καταφρονήσας.[1]»

16. Καὶ τῇ ἀνατροφῇ, [ἀναστροφῇ] ᾗ ἀνετράφης [ἀνεστράφης] ἐν τῷ κόσμῳ, μαθόντες ἐν αὐτῇ πολιτεύσονται. Ἡ γὰρ τῷ στίχῳ παρακειμένη συλλαβή, ἡ λεγομένη «Χήθ», ἑρμηνεύεται «ἔκστασις»· ἔκστασις γὰρ εἶχε καὶ ἔχει πάντας, ὅτι ἐστὶ Θεὸς και τοῖς ἀνθρώποις ἐπὶ τῆς γῆς συνανεστράφη.

---

1. Ἑβρ. 12, 2.

17, 18. 'Από τῶν παθημάτων, ὧν ὑπέμεινεν ὑπὲρ ἡμῶν, δείκνυται.

19. 'Αγαθὸς Κύριος τοῖς πᾶσιν ἀνθρώποις.

20. Καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα ἄνθρωπον.

21. 'Εξομολογήσουσι πάντες οἱ ἄνθρωποι ὅτι σὺ εἶ κυριεύων πάντων· τοῦτο γὰρ βούλεται τὸ τῷ στίχῳ παρακείμενον ὄνομα τὸ λεγόμενον «'Ιώθ», ὃ ἑρμηνεύεται «κυριεύων».

22. Καὶ οἱ τῷ πνεύματι ζῶντες καὶ κοπιῶντες ἐν τοῖς ἔργοις τῆς δικαιοσύνης δοξάσουσί σε. Τὸ γὰρ τῷ στίχῳ παρακείμενον «Χὰμ» ἑρμηνεύεται «θέρμη», καὶ [κόπον] ὅμως, τουτέστι τὸ θερμὸν τῆς πίστεως καὶ ἐπίπονον τῶν ἁγίων ἐνταῦθα δηλοῖ.

23, 24. Καὶ τὴν αἰώνιον κόλασιν ἀναγγελοῦσι· τὸ γὰρ παρακείμενον τοῦτο δηλοῖ, ἐπειδὴ ἑρμηνεύεται «Σαμὲς» [Λαμὲδ] «ῥάβδος», τουτέστι «βάσανος»

25, 26. Τοῦ σημᾶναι πᾶσι τὴν κρίσιν τῆς παρουσίας σου καὶ τὴν ἀνταπόδοσιν τῶν αἰωνίων ἀγαθῶν ἐν τῇ βασιλείᾳ σου.

27. 'Ατελεύτητος,

28. Καὶ ἐπὶ τοὺς πιστεύσαντας τῷ λόγῳ τοῦ Εὐαγγελίου καὶ ἐπὶ τοὺς μὴ πιστεύσαντας.

29. 'Αληθής, ἑδραῖος, ἀμετακίνητος, ἐφ' οἷς ὥρισεν ἐν τῇ κρίσει· τοῦτο γὰρ βούλεται ἡ συλλαβὴ ἡ λεγομένη «Σάμ», ὅ ἐστιν «ἐστήριξε», καὶ πάλιν ἑρμηνεύεται «ἐκεῖ», τουτέστιν ἐν τῇ κρίσει.

30. Καὶ ἄμεμπτος ἐν πᾶσιν, οἷς ἐδημιούργησεν καὶ ἐν πᾶσι τοῖς προστάγμασιν αὐτοῦ καὶ ἐν πᾶσιν, οἷς κατεδέξατο καὶ πέπονθε διὰ τὴν ἡμετέραν σωτηρίαν.

31. 'Υποτίθησι Κύριος τὴν χάριν αὐτοῦ.

32. Καὶ ἀνέστησε πάντας τοὺς καταπίπτοντας ἐπὶ τὰ πρόσωπα, τουτέστιν ἐπὶ τὰς καρδίας αὐτῶν καὶ ἀσθενοῦντας ἐν τῇ ἁμαρτίᾳ· ἡ δὲ παρακειμένη συλλαβὴ ἡ λεγομένη «Χὰμ» ὅμως ἑρμηνεύεται, ὡσανεὶ ὑποτίθησιν ἑαυτὸν ὁ Κύριος καὶ βαστάζει τοὺς ἀσθενεῖς, ὡς ὁ στίχος δηλοῖ· καὶ τοὺς ἐναπομείναντας τῇ διανοίᾳ εἰς τὴν ἁμαρτίαν, ὡς ἐξ ὕπνου διεγείρει, κατανύγων αὐτοὺς τῇ χάριτι αὐτοῦ καὶ ἀναστάντας αὐτοὺς ἐξομολογεῖσθαι καὶ νήφειν τοῦ λοιποῦ τοῦ μὴ ἁμαρτάνειν.

33. Αἱ καρδίαι πάντων τῶν πιστευόντων εἰς σὲ τὴν χάριν ἀπεκδέχονται.

34. Καὶ σύ, ὅταν ἡσυχάζει ὁ νοῦς αὐτῶν ἀπὸ πάσης βιωτικῆς φροντίδος καὶ ἐπιθυμίας, φωτίζεις αὐτοὺς τὴν γνῶσιν τῶν προσταγμάτων σου.

35. Πλουσίως δώρησαι τὴν χάριν τοῦ ἁγίου Πνεύματος παντὶ ἀνθρώπῳ προκειμένῳ τῷ θελήματί σου· τὸ γὰρ «Φὴ» ἑρμηνεύεται «στόμα», τουτέστι τὸ ἐμφυσᾶν αὐτὸν εἰς τὰ πρόσωπα τῶν ἁγίων καὶ λέγειν· «Λάβετε Πνεῦμα ἅγιον.[1]»

---

1. 'Ιω. 20, 22.

36. Ἀβαρὴς ἐν πάσαις ταῖς ἐντολαῖς αὐτοῦ· βαρεῖαι γὰρ οὐκ εἰσίν.

37. Καὶ ἐπαινεθήσεται ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

38. Μόνον εἰ θεάσηταί τινα μέλλοντα ἀναβοᾶν πρὸς αὐτόν, εὐθέως παραγίνεται αὐτὸς πρὸς αὐτόν· ἡ συλλαβὴ γὰρ ἡ λεγομένη «Κὼφ» ἑρμηνεύεται «ἐκκροῦμα», τουτέστιν ἀναβόησις.

39. Πᾶσι τοῖς ἐκ πίστεως ἀδιακρίτως αὐτὸν ἐπικαλουμένοις.

40. Ἡ συλλαβὴ ἡ παρακειμένη τῷ στίχῳ ἡ λεγομένη «Ῥὴς» ἑρμηνεύεται «κεφαλὴ» καὶ «ὁρατός»· σωτηρία οὖν ἐστι τοῖς φοβουμένοις αὐτὸν καὶ γνωστὸς αὐτοῖς πάλιν ἔσεται ὁ Κύριος.

41. Καὶ τὴν ἀναβόησιν, ἣν ποιοῦνται νυκτὸς καὶ ἡμέρας ἐκφυγεῖν τὴν μέλλουσαν κρίσιν, πληρώσει ὁ Κύριος· ἀξιώσει γὰρ αὐτοὺς τῆς αἰωνίου χάριτος.

42. Ἡ συλλαβὴ ἡ παρακειμένη τῷ στίχῳ ἥτις ἐστὶν «Σέμ», ἑρμηνεύται «ὄνομα·» τὸ ὄνομα οὖν τοῦ Κυρίου ἐπικεκλημένον ἐπὶ τοὺς ἀγαπῶντας αὐτὸν φυλάττει αὐτούς.

43. Παραδώσει τῷ αἰωνίῳ πυρί.

44. Ἡ τῷ στίχῳ παρακειμένη συλλαβὴ ἡ λεγομένη «Θαῦ» ἑρμηνεύεται «σημεῖον», καὶ «κλίσις», ἢ «συντέλεια»· τὴν δόξαν οὖν τοῦ σταυροῦ αὐτοῦ καὶ τὴν συντέλειαν τοῦ αἰῶνος ἐν τῷ ψαλμῷ, λέγει, διηγήσομαι.

45. Καὶ δοξαζέτω δι' ἔργων ἀγαθῶν πᾶς ἄνθρωπος τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

46. Καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι.

«Ἀλληλούϊα. Ἀγγαίου καὶ Ζαχαρίου.» ΨΑΛΜ. ΡΜΕ'.

1. Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον,
2. Αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου·
3. Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.
4. Μὴ πεποίθατε ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων οἷς οὐκ ἔστι σωτηρία.
5. Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ,
6. Καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ·
7. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ.
8. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ·
9. Ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ,
10. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·
11. Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα·
12. Ποιοῦντα κρῖμα τοῖς ἀδικουμένοις·
13. Διδόντα τροφὴν τοῖς πεινῶσι,

14. Κύριος λύει πεπεδημένους·
15. Κύριος σοφοῖ τυφλούς·
16. Κύριος ἀνορθοῖ κατερραγμένους·
17. Κύριος ἀγαπᾷ δικαίους·
18. Κύριος φυλάσσει τοὺς προσηλύτους.
19. Ὀρφανὸν καὶ χήραν ἀναλήψεται,
20. Καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ.
21. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου Σιών,
22. Εἰς γενεὰν καὶ γενεάν.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει «Ἀλληλούϊα, Ἀγγαίου καὶ Ζαχαρίου·» «ἀλληλούϊα» οὖν ἑρμηνεύεται «αἰνέσατε, ὑμνήσατε τὸν ὄντα Θεόν·» «Ἀγγαίου» δὲ ἑρμηνεύεται «ἑορτάζοντος·» «Ζαχαρίου» δὲ ἑρμηνεύεται «νίκη λέοντος.» Αἰνέσατε οὖν τὴν ἑορτὴν τῶν παθημάτων τοῦ λέοντος τοῦ νικητοῦ, Ἰησοῦ τοῦ Κυρίου ἡμῶν. Διὸ καὶ ὁ προφήτης αὐτὸ τοῦτο ἄρχεται διὰ τοῦ λέγειν· «Αἴνει, ἡ ψυχή μου.»

1. Ἐπαίνους ἀξίους ἀνάπεμπε τῷ Δεσπότῃ σου τῷ ἐξαγοράσαντί σε τῷ ἰδίῳ αἵματι.

2, 3. Ἀνυμνήσω αὐτὸν ἕως ἂν δέξηται τὸ πνεῦμά μου καὶ πάλιν μετὰ τὸ δέξασθαι αὐτὸν τὸ πνεῦμά μου, ἐκεῖ ἀνυμνήσω αὐτόν.

4. Μὴ καταφύγετε ἐπὶ τὴν βοήθειαν αὐτῶν [τῶν] ἐν ὑπεροχῇ ὄντων, μηδὲ ἐπὶ υἱοὺς ἀνθρώπων, τοὺς μὴ δυναμένους ἑαυτοὺς σῶσαι· ἀλλ᾽ ἐπ᾽ ἐκεῖνον ἐλπίσατε τὸν λεγόμενον Υἱὸν ἀνθρώπου διὰ τὴν οἰκείαν φιλανθρωπίαν, Σωτῆρα δὲ ὄντα τοῦ γένους τῶν ἀνθρώπων.

5, 6. Ἑκάστου ἀνθρώπου τελευτήσαντος ὑποστρέφει ὑπόστασις εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη· ἐκεῖνος δὲ Υἱὸς τοῦ ἀνθρώπου καὶ μετὰ τὸ θανεῖν αὐτὸν δι᾽ ἡμᾶς καὶ ἄφθαρτος διέμεινεν οἰκείᾳ δυνάμει καὶ τοὺς νεκροὺς ἐζωοποίησεν.

7. Ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως τὰ κρυπτὰ τῶν ἀνθρώπων κρινεῖ ὁ Θεός, κατηγορούντων τῶν λογισμῶν ἕκαστον περὶ τῶν ἔργων αὐτοῦ.[1]

8. Μακάριος ὁ ἄνθρωπος, οὗ ὁ Θεός του ἀπελάστου [ἀπέλαστος] βοηθὸς αὐτοῦ ἐστιν.

9. Καὶ πᾶσαν τὴν μέριμναν αὐτοῦ ἐπιρρίψει ἐπ᾽ αὐτόν.

10. Τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, τὸν Δημιουργὸν τῶν ἀοράτων καὶ ὁρατῶν πάντων.

11. Τὸν ἀψευδῆ Θεὸν τὸν φρουροῦντα πᾶσαν καρδίαν τῶν ἁγίων αὐτοῦ.

12. Ποιοῦντα ἐκδίκησιν καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι τοῖς καταπονουμένοις ἢ ὑπὸ ἀνθρώπων ἢ ὑπὸ τῶν ἐναντίων δυνάμεων.

---

1. Πρβλ. Ῥωμ. 2, 15-16.

13. Τὸ μὲν ἰδικὸν δῆλόν ἐστιν, ὅτι αὐτὸς τρέφει πᾶσαν σάρκα· ὅμως δὲ καὶ τοῦτο θεωρεῖται, ὅτι τοῖς ποθοῦσι τὴν χάριν αὐτοῦ πλουσίως αὐτὴν παρέχει.

14. Τοὺς συνεσφιγμένους ὑπὸ τῶν ἰδίων ἁμαρτιῶν ἀπαλλάττει αὐτοὺς διὰ τῆς χάριτος αὐτοῦ.

15. Τοὺς πεπηρωμένους τὴν διάνοιαν σοφοῖ αὐτούς, οὐ τὴν σοφίαν τοῦ κόσμου τούτου, ἀλλὰ τὴν ἀνίκητον [ἀκίνητον] καὶ ἀτελεύτητον.

16. Κύριος ἀνεγείρει τοὺς καταπεσόντας ἐν ταῖς ἁμαρτίαις.

17. Ὥστε καὶ τὴν ψυχὴν αὐτοῦ θεῖναι ὑπὲρ αὐτῶν.

18. Τοὺς προσφεύγοντας αὐτῷ σκέπει τῇ χάριτι αὐτοῦ.

19. Τὸ μὲν εἰδικὸν δῆλόν ἐστιν, ὅτι ὀρφανὸν καὶ χήραν ἀναλαμβάνεται· περὶ δὲ τοῦ νεανίσκου λέγει, οὗ ἀνέστησεν ὁ Κύριος ἐν τῇ Ναΐν, καὶ τῆς τούτου μητρός.

20. Καὶ πᾶσαν τὴν ἐπιθυμίαν καὶ τὴν ἀπάτην καὶ τὴν διδασκαλίαν τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου συντελέσει.

21, 22. Ἀτελευτήτως ὁ Θεός σου ἡ ἄνω Ἱερουσαλήμ, ἔνθα τὸ ἐπουράνιον θυσιαστήριον ὑπάρχει· «Σιὼν» γὰρ ἑρμηνεύεται «τόπος ὅπου ἡ σκηνή», τουτέστιν ὅπου τὸ ἐπουράνιον θυσιαστήριον.

«Ἀλληλούϊα. Ἀγγαίου καὶ Ζαχαρίου.» ΨΑΛΜ. ΡΜϚ'.

1. Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸν ψαλμός·
2. Θεῷ ἡδυνθείη αἴνεσις.
3. Οἰκοδομῶν Ἱερουσαλὴμ ὁ Κύριος·
4. Τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει.
5. Ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν·
6. Καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν.
7. Ὁ ἀριθμῶν πλήθη ἄστρων,
8. Καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν.
9. Μέγας ὁ Κύριος ἡμῶν,
10. Καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ,
11. Καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός.
12. Ἀναλαμβάνων πραεῖς ὁ Κύριος·
13. Ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως τῆς γῆς.
14. Ἐξάρξατε τῷ Κυρίῳ ἐν ἐξομολογήσει·
15. Ψάλατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ.
16. Τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις,
17. Τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετόν.
18. Τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον,
19. Καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.
20. Διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν,
21. Καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν.

22. Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει·
25. Οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκιεῖ.
24. Εὐδοκεῖ Κύριος ἐν τοῖς φοβουμένοις αὐτόν,
25. Καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ἀλληλούϊα, Ἀγγαίου καὶ Ζαχαρίου·» «ἀλληλούϊα» οὖν ἑρμηνεύεται «αἶνος καὶ ὕμνος·» «Ἀγγαίου» δὲ ἑρμηνεύεται «ἑορτάζοντος·» «Ζαχαρίου» δὲ ἑρμηνεύεται «μνήμης Κυρίου.» Σαφῶς οὖν τοῦτο λέγει, αἶνος καὶ ὕμνος τῷ ὄντι Θεῷ παρὰ τοῦ ἑορτάζοντος λαοῦ τὴν μνήμην τῶν παθημάτων αὐτοῦ.

1. Αἰνεῖτε τὸν Κύριον, ὅτι ἡδὺ τῷ Θεῷ τὸ ψάλλειν αὐτῷ.

2. Τερφθήσεται γὰρ ἐπὶ τῇ τοιαύτῃ αἰνέσει ὁ Θεός.

3. «Ἱερουσαλὴμ» ἑρμηνεύεται «ὅρασις εἰρήνης», ὅπερ ὑπάρχει καρδία πιστή· ἑκάστην οὖν τοιαύτην καρδίαν οἰκοδομεῖ ὁ Κύριος. Ὅμως δὲ τὴν ἄνω Ἱερουσαλὴμ αὐτὸς ἐδημιούργησε, καὶ τὸ πλῆθος δὲ τῶν ἀγγέλων λέγεται Ἱερουσαλὴμ καὶ δῆλόν ἐστι πᾶσι, ὅτιπερ αὐτὸς αὐτοὺς οἰκοδομεῖ οἶκον πνευματικόν, καθὼς εἶπεν ὁ Ἀπόστολος.[1]»

4. Τὰ διεσκορπισμένα μέλη τῶν ἁγίων, τουτέστι τοὺς ἐξ Ἰουδαίων λαοὺς καὶ τοὺς ἐξ ἐθνῶν, ἐπισυνάξει διὰ τοῦ πάθους αὐτοῦ. Καὶ ἄλλην δὲ τῷ αὐτῷ στίχῳ ἑρμηνείαν λέξομεν. «Ἰσραὴλ» ἑρμηνεύεται «ὁρῶν Θεόν·» τῆς διανοίας οὖν τῆς ὁρώσης αὐτὸν πᾶσαν αἰχμαλωσίαν ἐπισυνάξει καὶ εἰς τὴν αὐτῆς αὐτεξουσιότητα αὐτὸν ἀποκαταστήσει.

5, 6. Καὶ τὰς ἐπιθυμίας αὐτῶν τὰς πρότερον συντριβούσας τὰς καρδίας τῶν ἀνθρώπων δεσμεύων δεσμοῖς ἀιδίοις καὶ παραδιδοὺς τῷ αἰωνίῳ πυρί, τουτέστι τὰς ἐναντίας δυνάμεις.

7, 8. Δῆλον μέν ἐστιν, ὅτι, ὡς πεποιηκώς, οἶδε τὴν ποσότητα ὧν πεποίηκεν. Καὶ εἰς τοὺς ἁγίους δὲ θεωρεῖται ὁ τούτων ἀριθμὸς καὶ ὁμοίως πάλιν καὶ αὐτῶν γινώσκει τὸν ἀριθμόν. Εἰ μὴ γὰρ προΐδῃ πόση ἔσται ἡ ποσότης αὐτῶν, οὐκ ἂν προητοίμασεν αὐτοῖς πόλιν τὴν δυναμένην αὐτοὺς δέξασθαι. Ὁ ἀριθμῶν οὖν πλήθη ἄστρων, ὁ θεωρῶν καὶ δοκιμάζων ποῖον χάρισμα καὶ πόσον δύναται δέξασθαι ἕκαστος τῶν ἁγίων καὶ οὕτω παρέχων. Εἶτα, «Καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν·» ἔθνος γὰρ ἐν τῇ Ἐκκλησίᾳ τοὺς ἁγίους αὐτῆς τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ διδασκάλους· εἶτα δυνάμεις, οἵτινες ὑπάρχουσιν οἱ διάκονοι· εἶτα τοὺς ἐπιτελοῦντας τὰς ἰάσεις· εἶτα ἀναγνώστας· εἶτα τοὺς ἑρμηνεύοντας ἀπὸ τῆσδε τῆς γλώσσης εἰς τήνδε τὰς Γραφάς. Τοῦτο οὖν ἐστι τό, πᾶσιν αὐτοῖς ὀνόματα καλῶν.

---

1. Πρβλ. Α' Πέτρ. 2, 5.

9, 10. Ὁ διὰ τοῦ θανάτου αὐτοῦ καταργήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον.

11. «Ὢ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ! ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ! Τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;[1]» σὺν τῷ Πατρὶ γὰρ καὶ τῷ ἁγίῳ Πνεύματι βουλευσάμενος, θανατωθεὶς ἐζωοποίησε τοὺς νεκρούς.

12. Προσκαλεῖται πρὸς ἑαυτὸν τοὺς μὴ ἀνθισταμένους τοῖς προστάγμασιν αὐτοῦ.

13. Παραδοὺς δὲ τὸν διάβολον τηρεῖσθαι καὶ τοὺς ἀγγέλους αὐτοῦ καὶ τοὺς πειθομένους αὐτοῖς ἐν τοῖς κατωτάτοις τῆς γῆς.

14. Διανοίξατε τὰς καρδίας ὑμῶν τῷ Κυρίῳ, ἐξομολογούμενοι αὐτῷ.

15. Νεκρώσαντες τὰ μέλη ὑμῶν, δοξάσατε αὐτὸν ἐν αὐτοῖς.

16. Τῷ σκέποντι τὸν χορὸν τῶν ἁγίων αὐτοῦ ἐν τοῖς χαρίσμασιν τοῦ Πνεύματος τοῦ ἁγίου. Καὶ ἄλλως δὴ λέξωμεν· Τὸν πληροῦντα τὸν παράδεισον τῶν ἁγίων αὐτοῦ.

17. Τῷ εὐτρεπίζοντι τὸ κήρυγμα αὐτοῦ τῇ οἰκουμένῃ. Ὅμως καὶ ἄλλως λέξωμεν. Τῷ ἑτοίμως παρέχοντι καρδίᾳ πιστῇ τὴν χάριν αὐτοῦ.

18. Τὰ ἄνθη τῶν χαρισμάτων αὐτοῦ ἐν τοῖς ἔθνεσιν.

19. Καὶ τὰ λόγια αὐτοῦ εἰς ἀνάπαυσιν ταῖς ψυχαῖς καὶ τοῖς μέλεσι τῶν ἀνθρώπων.

20. Διδόντι τοῖς ἀσυνέτοις σύνεσιν τοῦ μεταλαμβάνειν τῶν προσταγμάτων αὐτοῦ τῶν ζωοποιούντων αὐτούς.

21. Καὶ τοῖς τῶν μεμελανωμένων καὶ ἀκαθάρτων ἐθνῶν τέκνοις διδοὺς τροφὴν τὴν χάριν αὐτοῦ, τοῖς διὰ τῆς πίστεως ἀναβοῶσι πρὸς αὐτόν.

22. Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἀσυνέτου θελήσει ἐνοικῆσαι τὴν χάριν αὐτοῦ.

23. Οὐδὲ τῷ μεγέθει καὶ τῇ καρδίᾳ ἑκάστου τέρπεται.

24. Ἀλλ' ἐν καρδίᾳ συντετριμμένῃ, τεταπεινωμένῃ ὑπὸ τοῦ φόβου αὐτοῦ εὐδοκεῖ καὶ κατοικεῖ.

25. Καὶ ἐν τοῖς μὴ πεποιθόσιν ἐν ἑαυτοῖς, ὅτι εἰσὶ δίκαιοι ἐλπίζοντας· διὸ καὶ [ἀλλ' ἐν τοῖς ἐλπίζουσιν, ὅτι καὶ] διὰ τὴν ἀγαθότητα αὐτοῦ ἀξιωθήσονται ἐλέους.

«Ἀλληλούϊα. Ἀγγαίου καὶ Ζαχαρίου.» ΨΑΛΜ. ΡΜΖʹ.

1. Ἐπαίνει, Ἱερουσαλήμ, τὸν Κύριον,
2. Αἴνει τὸν Θεόν σου, Σιών.
3. Ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου·

---

1. Ῥωμ. 11, 33.

4. Εὐλόγησε τοὺς υἱούς σου ἐν σοί.
5. Ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην,
6. Καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε.
7. Ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ·
8. Ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ.
9. Διδόντος χιόνα αὐτοῦ ὡσεὶ ἔριον·
10. Ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος.
11. Βάλλοντος κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμούς·
12. Κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται;
13. Ἐξαποστελεῖ τὸν λόγον αὐτοῦ καὶ τήξει αὐτά·
14. Πνεύσει τὸ πνεῦμα αὐτοῦ καὶ ῥυήσεται ὕδατα.
15. Ὁ ἀπαγγέλλων τὸ λόγιον αὐτοῦ τῷ Ἰακώβ,
16. Δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ.
17. Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει.
18. Καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ἀλληλούϊα, Ἀγγαίου καὶ Ζαχαρίου», ὡς προείρηκα, καὶ πάλιν λέγω, «ἀλληλούϊα» ἑρμηνεύεται «αἰνεῖτε τὸν Θεόν·» «Ἀγγαίου» δὲ ἑρμηνεύεται «νίκη λέοντος» Ἰησοῦ τοῦ Κυρίου ἡμῶν, ἣν ἐποιήσατο διὰ τῆς παρουσίας καὶ τῶν παθημάτων αὐτοῦ.

1. Ὅρασις τῆς εἰρήνης, δόξασον τὸν Κύριον, τουτέστιν ἡ ἐξ ἐθνῶν Ἐκκλησία, ἐν ᾗ ἑωράθη καὶ ὁρᾶται εἰρήνη τοῦ παντὸς κόσμου ὁ Κύριος ἡμῶν Ἰησοῦς· «Ἱερουσαλὴμ» γὰρ ἑρμηνεύεται «ὅρασις εἰρήνης.»

2. Αἴνει τὸν Θεόν σου, ἡ αὐτοῦ Ἐκκλησία, ἔνθα τὸ ἁγίασμα τῆς χάριτος αὐτοῦ ἐστι· «Σιὼν» γὰρ ἑρμηνεύεται «τόπος ὅπου ἡ σκηνή.»

3. Ὅτι ἐνεδυνάμωσε τὰς δυναστείας τῶν ἀποστόλων, δι' ὧν πάντες εἰσέρχονται πρὸς σέ.

4. Ἡγίασεν αὐτοὺς ἐν τῇ γαστρί σου, τουτέστιν ἐν τῇ κολυμβήθρᾳ.

5. Πύλαι γὰρ ᾅδου οὐ κατισχύσουσί σε.[1]

6. Καὶ τὸ στέαρ τοῦ ἐπουρανίου σίτου ἐμπιπλῶν σε, τοῦ ἀποθανόντος ἐν τῇ γῇ, καὶ ἀνατείλαντος τοὺς στάχυας αὐτοῦ ἐν ὅλῳ τῷ κόσμῳ.[2]

7, 8. Ὁ ἀποστέλλων τὸ κήρυγμα αὐτοῦ διὰ τῶν προφητῶν τῆς συναγωγῆς τῇ γηΐνῃ [τῇ γῇ], ἕως, τοῦ κόσμου τοῦ ἐν τάχει παριόντος, κηρυχθήσεται ὁ λόγος αὐτοῦ.

---

1. Πρβλ. Ματθ. 16, 18. 2. Πρβλ. Ἰω. 12, 24-25.

9. Τὸ καθαρὸν τοῦ λόγου λέγει καὶ ἀπαλὸν τοῖς βουλομένοις, καὶ ὅτιπερ τοῖς ἐπιμελῶς ἐργαζομένοις λόγον γίνεται, ὡς ἀπὸ ἐρέας, περιβόλαιον τῇ ψυχῇ.

10. Τὸ λεπτότατον καὶ δυσνόητον ἐν τοῖς λόγοις αὐτοῦ ἐγκείμενον δηλοῖ· ὅτιπερ τὰ πλησίον ὄντα τοῦ ἀναγινώσκοντος λόγια οὐ συγχωρεῖται ἡ διάνοια αὐτοῦ καθορᾶν διὰ τὴν οὖσαν ἐν ἑαυτοῖς λεπτότητα, ὥσπερ ὁμίχλης ἐπικειμένης ἐν αὐτοῖς· χρεία οὖν ἵνα ἀνατείλῃ ἐν τῇ διανοίᾳ ἥλιος δικαιοσύνης καὶ παραγάγῃ τὴν ἐπικειμένην ὁμίχλην, ἵν' οὕτω δυνηθῇ καθαρῷ τῷ ὄμματι τῆς καρδίας ἰδεῖν ὁ ἀναγινώσκων τὸν ἐγκείμενον νοῦν.

11. Τὸ σκληρὸν τοῦ λόγου αὐτοῦ καὶ τηλαυγές, ὥσπερ τὸ κρύσταλλον· σημαίνει δὲ καὶ τὸ ζωοποιοῦν αὐτοῦ, ὥσπερ ὁ ψωμός.

12. Τὸ φρικῶδες καὶ φοβερὸν τοῦ νόμου ἐδήλωσεν, ὡς νομίζω.

13. Ἐξαποστελεῖ τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ τὸν ἥλιον τῆς δικαιοσύνης καὶ διαλύσει αὐτά, ἑρμηνεύων ἡμῖν τὰ σκληρὰ καὶ δυσνόητα τοῦ νόμου.

14. Ἐπιφοιτήσει τὸ Πνεῦμα τὸ ἅγιον αὐτοῦ ἐν τοῖς ἀνθρώποις καὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτῶν ποταμοὶ ὕδατος ζῶντος.[1]»

15. Ὁ φανερῶν τὸν Υἱὸν αὐτοῦ τῷ λαῷ τῷ ἐσχάτῳ. «Ἰακὼβ» γὰρ ἑρμηνεύεται «κρατῶν ἔσχατα.»

16. Καὶ τὰ προστάγματα αὐτοῦ φανερῶν τοῖς ὁρῶσιν αὐτὸν τῇ διανοίᾳ.

17. Ἕως γὰρ τῆς παρουσίας αὐτοῦ οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, τὸ τὸν λόγον αὐτοῦ ἀκοῦσαι ἐκ στόματός μου.

18. Καὶ οὕτω τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν, ὡς τοῖς ἐπ' ἐσχάτων τῶν ἡμερῶν πιστεύσασιν εἰς αὐτόν.

«Ἀλληλούϊα. Ἀγγαίου καὶ Ζαχαρίου.» ΨΑΛΜ. ΡΜΗ'.

1. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν·
2. Αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις·
3. Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ.
4. Αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ·
5. Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη·
6. Αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.
7. Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν.
8. Καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.
9. Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου·
10. Ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν·
11. Αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν.
12. Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα.

---

1. Πρβλ. Ἰω. 7, 38-39.

13. Καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·
14. Πρόσταγμα ἔθετο καὶ οὐ παρελεύσεται.
15. Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς,
16. Δράκοντες καὶ πᾶσαι ἄβυσσοι.
17. Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος,
18. Τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ,
19. Τὰ ὄρη καὶ πάντες οἱ βουνοί,
20. Ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι,
21. Τὰ θηρία καὶ πάντα τὰ κτήνη,
22. Ἑρπετὰ καὶ πετεινὰ πτερωτά,
23. Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί,
24. Ἄρχοντες καὶ πάντες κριταὶ γῆς,
25. Νεανίσκοι καὶ παρθένοι,
26. Πρεσβύτεροι μετὰ νεωτέρων,
27. Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου·
28. Ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.
29. Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ,
30. Καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.
31. Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ,
32. Τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ἀλληλούϊα, Ἀγγαίου καὶ Ζαχαρίου·» εἴρηκα δὲ πολλάκις, ὅτι τὸ «ἀλληλούϊα» ἑρμηνεύεται «αἰνεῖτε τὸν Θεόν·» «Ἀγγαίου» δὲ ἑρμηνεύεται «ἑορτάζοντος·» «Ζαχαρίου» δὲ ἑρμηνεύεται «μνησκομένη [μνημονευομένου] Κυρίου», καὶ πάλιν «νίκη τοῦ λέοντος.» Οὐκοῦν αἶνος Θεῷ τῶν ἑορταζόντων τὴν μνήμην καὶ τὴν νίκην τοῦ λέοντος, τουτέστι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν παρουσίαν καὶ τὸ πάθος.

1-4. Ἡνίκα γὰρ ἐτέχθη ἐπὶ τῆς γῆς διὰ τὴν ἡμετέραν σωτηρίαν ὁ Θεός, ἀνεβόησαν ἐκ τῶν οὐρανῶν καὶ ἐκ τῶν ὑψίστων πᾶσαι αἱ οὐράνιαι στρατιαί «Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία·[1]» ὁμοίως καὶ καθ' ἑκάστην ἀνυμνοῦσιν αὐτόν. Ὃ δὲ λέγει νῦν ὁ προφήτης, σαφῶς ἀπὸ τῆς Γραφῆς ἀποδέδεικται· ὅτι τὴν γενομένην ὑπὸ τῆς οὐρανίου στρατιᾶς δοξολογίαν ἐπὶ τῆς παρουσίας αὐτοῦ ἐδήλωσεν ἡμῖν ἐνταῦθα, καθὼς γέγραπται.

5, 6. Τὸ μὲν εἰδικὸν δῆλόν ἐστιν, ὅτι διὰ τῆς θέας καὶ τοῦ τελεῖν αὐτὰ τὸν προσταχθέντα αὐτοῖς δρόμον, δοξάζουσιν αὐτὸν τὸν ποιήσαντα τὰ αὐτά· «Ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.[2]» Ὅμως τὸ εἰρημένον ἐπὶ

1. Λουκ. 2, 14. 2. Ματθ. 5, 16.

τοῦ προκειμένου, ὡς ἀπὸ τῆς ἐπιγραφῆς ἔστι συνιδεῖν, ὅτι τὴν ἐν τῷ πάθει αὐτοῦ γενομένην αἴνεσιν ὑπὸ τῶν φωστήρων καὶ τοῦ φωτὸς ἐδήλωσεν ἡμῖν· ἡνίκα γὰρ ὑπῆρχε πεπηγὼς ἐπὶ τοῦ σταυροῦ, σκοτισθέντα ἀπέδειξαν ἐκεῖνον τὸν τὴν ὑπόστασιν τοῦ εἶναι αὐτὰ φῶς δημιουργήσαντα.

7. Σαφῶς καὶ οἱ οὐρανοὶ τῶν οὐρανῶν ᾔνεσαν αὐτόν, κλίναντες μὲν ἑαυτοὺς τῇ αὐτοῦ δυνάμει ἐν τῇ πρὸς ἡμᾶς ἐπιδημίᾳ, ἀνεῳγότες δὲ πάλιν αὐτῷ, ὅταν ἀφ' ἡμῶν ἀνῄει, ὅθεν κατελθὼν ἀχώριστος ἔμεινεν. Ὅμως δὲ καὶ ἄλλην σοι παραγάγω θεωρίαν περὶ τούτου, ἀγαπητέ· «Αἰνεῖτε» γὰρ «αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν·» τουτέστιν, οἱ ἀπόστολοι οἱ ὑψηλότεροι πάντων τῶν ἁγίων, αἰνέσατε αὐτὸν διὰ τοῦ κηρύγματος ὑμῶν.

8, 9. Τὸ μὲν ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν ᾔνεσεν αὐτὸν ἐπὶ τοῦ Νῶε, σαφῶς ἀποδεῖξαν τὴν δύναμιν τοῦ Δημιουργοῦ, ὅτι προστάγματι αὐτοῦ καὶ καταβέβηκεν εἰς τὴν γῆν, ὅθεν ἀνήχθη ἐν τῇ κοσμοποιΐᾳ καὶ πάλιν ἀναβέβηκε μετὰ τὸν κατακλυσμόν, ὅθεν κατελήλυθεν, τουτέστιν ἐκ τῶν οὐρανῶν· ὅμως τάχα νῦν εὑρήσεις τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν [δηλοῦν] τὸ τοῦ βαπτίσματος ὕδωρ, τὸ ὑπὲρ κεφαλῆς μὲν εὑρισκόμενον τῶν οὐρανῶν, ὡσανεὶ τῶν πεπιστευκότων, ἐκχεόμενοι δὲ πάλιν ἑαυτοὺς [ἐκχεόμενον δὲ ὑπὲρ αὐτούς]· ὡς γὰρ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν κατέκλυσε καὶ ἀπώλεσε πάντας τοὺς ἐχθροὺς τοῦ Θεοῦ· οὕτω τὸ καὶ τοῦ βαπτίσματος εὑρισκόμενον ὑπεράνω, λέγω δὲ ὑπὲρ κεφαλῆς τῶν πιστευσάντων, κατακλύζει καὶ ἀπόλλυσι τὰς ἐναντίας δυνάμεις· ὡς ἐν τῷ κατακλυσμῷ πεποίηκεν ἐπὶ τοὺς ἀνόμους τὸ ὑπεράνω τῶν οὐρανῶν τὸ ὕδωρ.

10. Αὐτὸς γὰρ εἶπεν ἀναγεννηθῆναι αὐτοὺς δι' ὕδατος καὶ Πνεύματος.

11. Αὐτὸς γὰρ ἐνετείλατο τοῖς ἀποστόλοις αὐτοῦ λέγων· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος[1]», καὶ οὕτως ἀνεκαινοποιήθησαν ἐν τῷ βαπτίσματι.

12, 13. Δῆλα μέν εἰσι τὰ περὶ τῶν εἰδικῶν· ἡ δὲ προφητεία περὶ ὧν ἡμῖν ὁ λόγος ἐστίν, δηλοῖ, ὅτι τοὺς ἐν τῷ βαπτίσματι ὁ Κύριος προσέταξε ζῆν ἀτελευτήτως, καθὼς ἐν Εὐαγγελίῳ εἴρηκεν· «Πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται.[2]»

14. Τὴν ἡμέραν τῆς δικαίας ἀνταποδόσεως.

15. 16. Αἱ τοῦ ἐχθροῦ δυνάμεις αἱ ἕρπουσαι ἐπὶ τῆς γῆς συντριβεῖσαι ὑπ' αὐτοῦ καὶ μὴ βουλόμεναι ὁμολογεῖν τῆς ἀιδίου θεότητος αὐτοῦ αὐθεντίαν τε καὶ δύναμιν βοῶσαι· «Ἔα, τί ἡμῖν καὶ σοί, Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ, ἦλθες πρὸ καιροῦ ἀπολέσαι ἡμᾶς;[3]» καὶ ὅπως κριτὴν τοῦ μέλλοντος καὶ μὴ βουλόμεναι ὁμολογεῖν αὐτόν, καθὰ προείπαμεν.

---

1. Ματθ. 28, 19. 2. Ἰω. 11, 25. 3. Μάρκ. 1, 24. Λουκ. 4, 35.

17, 18. Δηλονότι τῷ πυρὶ ἐοίκασιν οἱ ἅγιοι ἀπόστολοι, τὰς ἐναντίας δυνάμεις καταφλέγοντες· ἐπειδὴ καὶ ἐκ τοῦ πυρὸς ταῦτα πάντα καταναλίσκοντος ἐτάχθησαν καὶ ἐνεπληρώθησαν, τουτέστι Πνεύματος ἁγίου. Ὁμοίως καὶ χάλαζα τυγχάνουσιν οἱ αὐτοὶ ἀπόστολοι· ἐμπίπτοντες γὰρ εἰς τοὺς ὄφεας καὶ σκορπίους καὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, κατεπάτουν αὐτοὺς καὶ τὴν αὐτῶν δύναμιν·[1] χιὼν δὲ πάλιν ὑπάρχουσι διὰ τὸ καθαρὸν αὐτῶν τῆς καρδίας καὶ κρύσταλλός εἰσι διὰ τὸ τηλαυγὲς αὐτῶν καὶ ἰσχυρὸν τῆς πίστεως· οὐκοῦν πῦρ, χάλαζα, χιών, κρύσταλλος ὑπάρχουσιν ἐνταῦθα οἱ ἀπόστολοι, καθὼς ἀποδέδεικται. Πνεῦμα δὲ καταιγίδος εὑρήσεις ἐκεῖνο τὸ ὑπακοῦσαν αὐτῷ ἐν τῷ κλύδωνι τῆς θαλάσσης, ὅτε ἔλεγον οἱ ἀπόστολοι· «Τίς ἐστιν οὗτος, ὅτι καὶ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ;[2]» περὶ οὗ καὶ ὁ προφήτης ἔλεγεν ἐν βίβλῳ Ψαλμῶν· «Καὶ ἐπέταξε τῇ καταιγίδι καὶ ἔστη εἰς αὔραν καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς.[3]» Οἱ ἀπόστολοι οὖν ἐμοῦ καὶ ὁ ἄνεμος ἦν ἐπαναυτὸν [ἐπὶ τὸ αὐτὸ] τότε· οἱ μὲν ἀπόστολοι ἑωρακότες τὸ θαῦμα, ὁ δὲ ἄνεμος καταπτήξας τῷ λόγῳ τοῦ προστάγματος· διὰ γὰρ τοῦτο ἐπάγει περὶ τῶν ἀποστόλων καὶ τοῦ πνεύματος τῆς καταιγίδος· «Τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.»

19, 20. Οἱ ὑψηλοὶ ταῖς ἐντολαῖς καὶ οἱ ταπεινοὶ τῇ καρδίᾳ ποιοῦντες καρπὸν δικαιοσύνης καὶ ἄσηπτοι διαμένοντες.

21. Ἐν ταῖς ἐρήμοις διαιτώμενοι καὶ πραεῖς τῇ καρδίᾳ.

22. Τὰ σώματα καὶ αἱ ψυχαὶ τῶν ἁγίων.

23. Οἱ ἐπίσκοποι καὶ πάντες λαοὶ οἱ πιστεύοντες.

24. Οἱ πρεσβύτεροι καὶ οἱ τῷ κόσμῳ ἀποταξάμενοι.

25. Οἱ ἀνθιστάμενοι τῷ πονηρῷ καὶ ἁγνὴν ἔχοντες τὴν καρδίαν.

26. Οἱ προηλπικότες ἐν τῷ Χριστῷ καὶ τῇ γνώσει τελείως φερόμενοι καὶ οἱ ἀνθοῦντες περὶ τὴν πίστιν.

27. Ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ ἀνυμνήσουσι τὸ ὄνομα Κυρίου πάντες.

28. Ὅτι τὸ ὄνομα αὐτοῦ ἀπεδείχθη κυριεῦον πάντων.

29. Καὶ ἐπὶ γῆς γὰρ ὄντες αὐτῷ ἐξομολογούμεθα τὰς ἁμαρτίας ἡμῶν καὶ πάλιν ἐν οὐρανῷ «πάντας ἡμᾶς δεῖ παραστῆναι τῷ βήματι αὐτοῦ τοῦ Χριστοῦ», καθὼς εἶπεν ὁ Ἀπόστολος.[4]

30. Καὶ τὴν βασιλείαν τοῦ λαοῦ ἀτελεύτητον ποιήσει.

31. Ἔπαινος πᾶσι τοῖς ὁσίοις.

32. Τοῖς υἱοῖς τῶν ἁγίων ἀποστόλων, τῶν ὁρώντων αὐτὸν τῇ διανοίᾳ· τοῦτο γὰρ ἑρμηνεύεται «Ἰσραήλ, ἀνὴρ ὁρῶν Θεόν.»

---

1. Πρβλ. Λουκ. 10, 19. 2. Ματθ. 8, 27. 3. Ψαλμ. 106, 29.
4. Πρβλ. Ῥωμ. 14, 10. Β΄ Κορ. 5, 10.

«Ἀλληλούϊα.» ΨΑΛΜ. ΡΜΘ΄.

1. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν·
2. Ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.
3. Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν,
4. Καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.
5. Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ,
6. Ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.
7. Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ,
8. Καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.
9. Καυχήσονται ὅσιοι ἐν δόξῃ·
10. Καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.
11. Αἱ ὑψώσεις [ἢ ὕψωσις] τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν.
12. Καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.
13. Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν,
14. Ἐλεγμοὺς ἐν τοῖς λαοῖς.
15. Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις,
16. Καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.
17. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον·
18. Δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ περιέχει· «Ἀλληλούϊα», ὅπερ ἑρμηνεύεται «αἰνέσατε, ὑμνήσατε τὸν ὄντα Θεόν.»

1. Ὕμνον ἀναπέμψατε τῷ Κυρίῳ καθαρόν· ὅμως καὶ ἄλλως νοεῖται ὁ αὐτὸς στίχος, ὅτι ὕμνον δόξης εἴπατε τῷ Κυρίῳ ὑπὲρ τοῦ πάθους αὐτοῦ, ὃν οὐδεὶς εἴρηκε τῶν ἔμπροσθεν γενεῶν, εἰ μὴ μόνον ἡμεῖς, οἱ θεασάμενοι καὶ ἀκούσαντες τὸν Θεόν.

2. Ἡ γὰρ αἴνεσις αὐτοῦ λέγεται ἐν ἐκκλησίᾳ ὁσίων, τουτέστιν ἐν συστροφῇ τῶν ἁγίων. Ὅμως καὶ ἄλλως νοεῖται ὁ αὐτὸς στίχος· Ἡ αἴνεσις αὐτοῦ ἐν ταῖς καρδίαις καὶ ἐν τοῖς μέλεσι τῶν ἁγίων. Ὑμεῖς γάρ, φησὶν ὁ Ἀπόστολος, «ναὸς Θεοῦ ἐστε·[1]» καὶ πάλιν· «Οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν ναός ἐστι τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματος, οὗ ἔχετε ἀπὸ Θεοῦ.[2]»

3. Εὐφρανθήτω ὁ λαὸς ὁ πεφωτισμένος τὴν διάνοιαν ἐπὶ τῷ Κυρίῳ τῷ ποιήσαντι αὐτὸν καὶ ἐν ἀρχῇ καὶ ἐν τῷ βαπτίσματι· «Ἰσραὴλ» γὰρ ἑρμηνεύεται, ὡς πολλάκις εἰρήκαμεν, «νοῦς ὁρῶν Θεόν».

4. Καὶ οἱ υἱοὶ τῆς ἐπουρανίου Ἱερουσαλὴμ πόλεως ἀγαλλιάσθωσαν ἐπὶ τῷ Κυρίῳ Ἰησοῦ τῷ βασιλεῖ αὐτῶν· «Σιὼν» γὰρ ἑρμηνεύεται «τόπος ὅπου ἡ σκηνή.»

---

1. Α΄ Κορ. 3, 16. Β΄ Κορ. 6, 16. 2. Α΄ Κορ. 6, 19.

5. Αἰνεσάτωσαν αὐτὸν ἐν ὅλῃ καρδίᾳ καὶ ἐν ὅλοις τοῖς μέλεσιν αὐτῶν· ὡς γὰρ ὁ χορὸς ὑπόκειται ὑπὸ διαφόρων ἀνθρώπων, οὕτω καὶ τὰ μέλη σύγκεινται ἐν τῷ ἀνθρώπῳ· ἐν ὅλοις οὖν τοῖς σώμασι καὶ ἐν τῇ καρδίᾳ αἰνέσατε αὐτὸν δι' ἔργων ἀγαθῶν.

6. Καὶ νεκρώσαντες ἑαυτοὺς καὶ πλησθέντες Πνεύματος ἁγίου ἀνυμνήσουσιν αὐτόν.

7. Ὅτι θέλημα αὐτοῦ ἐν αὐτοῖς ἐστι.

8. Καὶ δοξάσει τοὺς ὑπακούοντας ἐν ταῖς ἐντολαῖς αὐτοῦ εἰς ζωὴν αἰώνιον.

9. Καυχήσονται οἱ ἀπόστολοι ἐν αὐτῷ τῷ Κυρίῳ καὶ ἐν τῷ σταυρῷ αὐτοῦ, καθώς φησιν ὁ Ἀπόστολος· «Ὁ δὲ καυχώμενος ἐν τῷ Κυρίῳ καυχάσθω·[1]» καί, «Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.[2]»

10. Καὶ ἀγαλλιάσονται εἰς τὰς αἰωνίους ἀναπαύσεις.

11. Τὸ κήρυγμα τῶν παθημάτων τοῦ Θεοῦ ἀναβοῶσιν.

12. Τῆς Παλαιᾶς καὶ Νέας Διαθήκης τὰ νοήματα ἐν ταῖς καρδίαις αὐτῶν. Ὅμως δὲ ἄλλως νοεῖται· [ὅτι] ὧν τὰ χαρίσματα τοῦ ἁγίου Πνεύματος ἐν ταῖς χερσὶν αὐτῶν. Ὅσοις γὰρ ἐπέθηκαν τὰς χεῖρας χρείαν ἔχουσιν, ἐδίδουν αὐτοῖς Πνεῦμα ἅγιον· καὶ ὅσοις ἀρρώστοις ἐπετίθουν τὰς χεῖρας, ἰῶντο αὐτούς. Τὰ γὰρ πάθη, τουτέστι τὰς ἐναντίας δυνάμεις, ἐθανάτουν τῇ δυνάμει τοῦ ἁγίου Πνεύματος.

13. Τοῦ ἐλευθερῶσαι τὰ ἔθνη ἀπὸ τῶν ἐναντίων δυνάμεων τῶν τὸ πρότερον καταδυναστευόντων αὐτῶν.

14. Τοῦ ἐλέγξαι ἐν τοῖς λαοῖς τὴν τόλμαν αὐτῶν, τὴν κατὰ τοῦ Θεοῦ γεγενημένην.

15. Τοῦ δῆσαι τοὺς δαίμονας τοὺς βασιλεύοντας αὐτῶν διὰ τῆς ἁμαρτίας.

16. Τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τοῦ ἐχθροῦ «δεσμοῖς ἀιδίοις ὑπὸ ζόφου παρέδωκαν τηρεῖσθαι εἰς ἡμέραν κρίσεως.[3]»

17, 18. Τοῦ ποιεῖν ἐν τοῖς λαοῖς καὶ ἐν τοῖς ἔθνεσιν ἐκδίκησιν.

«Ἀλληλούϊα.» ΨΑΛΜ. ΡΝ'.

1. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ·
2. Αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.
3. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ·
4. Αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.
5. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος·
6. Αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.
7. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ·
8. Αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ·

---

1. Α' Κορ. 1, 31. 2. Γαλ. 6, 14. 3. Πρβλ. Ἰούδ. 6.

9. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις·
10. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.
11. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ἀθανασίου Ἑρμηνεία.

Ἡ προκειμένη ἐπιγραφὴ ἡ διὰ τῆς κινναβάρεως περιέχει· «Ἀλληλούϊα», ὡς προείρηκα καὶ πάλιν λέγω· «Αἰνέσατε, ὑμνήσατε τὸν ὄντα Θεόν·»

1. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ ἐν τοῖς ἁγίοις προστάγμασιν αὐτοῦ.

2. Αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Ἐν τῇ πίστει τῆς χάριτος αὐτοῦ.

3. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ·

Ἐν τοῖς παθήμασιν αὐτοῦ.

4. Αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Καθὼς ἀνίκητος ὑπάρχεις.

5. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος·

Ἐν τῷ κηρύγματι αὐτοῦ.

6. Αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ἐν τῇ χάριτι τοῦ Πνεύματος τοῦ ἁγίου ἀνυμνοῦντες αὐτὸν ἐν τῇ καρδίᾳ καὶ τῇ γλώσσῃ καὶ τοῖς χείλεσιν ὑμῶν.

7. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ·

Τῇ νεκρώσει παντὸς τοῦ σώματος ὑμῶν ἀνυμνήσατε αὐτόν.

8. Αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Χορδαί, λογίζομαι, νεῦρά ἐστι, καθ' ἑαυτὰ μὲν νεκρὰ ὄντα καὶ ἀποδεδεμένα ἐν ξύλῳ τινί· κινούμενα δὲ ὑπό τινος τῶν τεχνιτῶν, φωνὴν ἀποτελοῦσιν· ὄργανον δὲ αὐλοὶ συγκείμενοί εἰσι καὶ ἀλλήλοις μεταδίδωσι τὸ μέλος ἐμπνεόμενα ὑπὸ τοῦ πνεύματος, ἡνίκα ἔχουσι τοὺς πρὸς τοῦτο αὐτοὺς κινοῦντας. Αἰνεῖτε οὖν αὐτὸν ἐν ταῖς ἐντολαῖς ταῖς λεπταῖς καὶ ἰσχυραῖς καὶ ταῖς ἀποδεδεμέναις τῇ νεκρώσει τοῦ σώματος καὶ ἐν τῇ ἀγάπῃ τῇ ἐνεργουμένῃ ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου καὶ μεταδιδοῦσα ἀπὸ τούτου εἰς τοῦτο καὶ πληροῦσα πάσας ὁμοῦ τὰς ἐντολὰς καὶ πᾶσιν ἀκουομένη, εἰ διατυγχάνει ὡσεὶ τοῦ ὀργάνου φωνή.

9. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις·

Ἀνυμνεῖτε αὐτὸν ἐν τοῖς χείλεσι τοῦ σώματος ὑμῶν.

10. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.

Καὶ ἐν στεναγμοῖς ἀλαλήτοις τῆς διανοίας ὑμῶν.

11. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ψάλατε τῷ πνεύματι, ψάλατε καὶ τῷ νοΐ, τουτέστι, δοξάσατε δὴ τὸν Θεὸν καὶ τῇ ψυχῇ καὶ τῷ σώματι ὑμῶν.

ΠΙΝΑΞ

ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ*

* Τὰ χωρία τῆς Παλαιᾶς Διαθήκης καταριθμοῦνται κατὰ τὸ κείμενον τῶν Ο΄.

Π Ι Ν Α Ξ

ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ Ἐπισκόπου Ἀχαΐας Παντελεήμονος Καρανικόλα.)

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος.— β) Ὅταν εὑρίσκηται πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.— γ) Ὅπου ἀπαντᾷ πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σ ἢ σ-ς, αἱ σελίδες δὲν ἔχουν τοὺς στίχους ἠριθμημένους.

27-28. 357,12. 359,7. 361,18. 363,23. 366,21-22.

Γενικὴ ἐπιστασία, σημειώσεις τῶν παραπομπῶν εἰς τὰ βιβλία τῆς Ἁγίας Γραφῆς καὶ καταρτισμὸς τοῦ πίνακος τῶν Ἁγιογραφικῶν χωρίων τοῦ Καθηγητοῦ τοῦ Πανεπιστημίου Βασ. Βέλλα.

Ὑπεύθυνος διὰ τὰς διορθώσεις τῶν δοκιμίων ὁ φιλόλογος Κ. Α. Παπαχρίστος.